Τὴν ἄλλην ἡμέραν, ἤτις ἦτο Κυριακή, πάλιν ἔβγάνουν τὸν Μάρτυρα ἀπὸ τὴν φυλακήν, συναχθέντες πλῆθος πολὺ ἐκ τῆς θρησκείας των καὶ πάλιν παρασταίνουν εἰς τὸ κριτήριον τὸ πρόβατον τοῦ Χριστοῦ· ἦν δὲ ὥρα τρίτη τῆς ἡμέρας, καὶ τὸν ἐρωτοῦν. «Ἤλθες εἰς τὸν ἑαυτόν σου, ἐμετανόησες;» Καὶ ὁ Μάρτυς· «ἐγὼ σᾶς εἶπα, ὅτι εἰς τὸν ἑαυτόν μου εἶμαι, τὸν νοῦν μου τὸν ἔχω· τί μὲ πειράζετε» Πάλιν τοῦ λέγουν· «ἄλλον καιρὸν πλέον δὲν ἔχεις νὰ συλλογισθῇς· ἔφθασε τὸ τέλος σου». Καὶ ὁ Μάρτυς πρώτῃ φωνῇ ἀπεκρίθη, «ἐγὼ τὸν Ἰησοῦν μου δὲν τὸν ἀρνοῦμαι, Χριστιανὸς ἐγεννήθην, Χριστιανὸς θέλω νὰ ἀποθάνω». Καὶ αὐτοὶ τότε «αἴ, παιδί μου, τοῦ λέγουν, καιρὸς δὲν ἔμεινεν ἄλλος, ἔχομεν νὰ σὲ κρεμάσωμεν». «Τὸ ἠξεύρω ἀπεκρίθη ὁ Μάρτυς». Καὶ αὐτοί: «δὲν λυπεῖσαι τὴν παληκαριάν σου, τὴν εὐμορφιά σου, τὴν νεότητά σου;» Αὐτὸς ἀπεκρίθη, «αὐτὰ ὅλα εἶναι ματαιότης» τὸν Ἰησοῦν μου, τὸν Ἰησοῦν θέλω. Χριστιανὸς εἶμαι, Χριστιανὸς θέλω νὰ ἀποθάνω, δὲν ἀρνοῦμαι τὴν πίστιν μου· δὲν ἀρνοῦμαι τὸν Ἰησοῦν μου». Καὶ αὐτοὶ πάλιν τοῦ λέγουν. «αἴ παιδί μου, νὰ ἡ φοῦρκα, στοχάσου τι ἔχεις νὰ χάσῃς», τοῦ ἔδειξαν καὶ τὸ σχοινίον. Ὁ Μάρτυς τοὺς λέγει «αὐτὸ ζητῶ καὶ ἐγώ». Ἐκεῖνοι δὲ ἔλεγαν ἀνάμεσόν τους, ἄλλοι, «φράγκος εἶναι καὶ ἔχει τόσον γινάτι», ἄλλοι πάλιν ἔλεγαν. «τοῦτοι οἱ Ρωμαῖοι μίαν φορὰν ὅταν εἰποῦν τὸν λόγον, δὲν τὸν πέρνουν ὀπίσω», καὶ κἀθε ἕνας ἔλεγε τὸν λόγον του. Τότε ἐβγαίνει καὶ ἕνας ζηλωτὴς ἐξ αὐτῶν, καὶ λέγει εἰς τὸν Μάρτυρα: «Δέκα χρόνια ὅπου ἐτούρκισες, δὲν ἔκαμες ναμάζι ποτέ· ἤκουα δὲν ἐπροσκύνησες τὸ προσκύνημά μας;» Λέγει ὁ Μάρτυς· «ὄχι, ὄχι». «Ἀμὲ τοῦ μπαϊράμιου τὸ ναμάζι, δὲν τὸ ἔκαμες;» (προβάλλοντας τοῦτο ὡσὰν μεγάλον τι πρᾶγμα). Ὁ δὲ Μάρτυς βλέπων, ὅτι ὁ καθ' ἕνας μὲ τὰ λόγια του, ἐμποδίζαν αὐτὸν ἀπὸ τὴν προσευχήν, ἐπειδὴ νοερῶς ἐπροσηύχετο ὁ μακάριος, καὶ ὅλον εἰς τὸν Θεὸν εἶχε στηλωμένον τὸν νοῦν„ βλέπων, λέγω, ὅπου τὸν ἐμπόδιζαν, ἀπεκρίθη μετὰ σφοδρότητος εἰς τὸν ἐρωτήσαντα. «Τί μὲ πειράζεις ἄνθρωπε;» Ἐκεῖνος τοῦ λέγει: «Θὰ σὲ φουρκήσουν, θὰ σὲ κρεμάσουν». Καὶ ὁ Μάρτυς· «αὐτὸ ζητῶ καὶ ἐγώ, καὶ ἂς ὑπέγωμεν» καὶ οὕτως ἐπερπάτησεν ἕως δέκα βήματα· ὦ γενναιότης ἀθλητική! ὦ ἀνδρεία μαρτυρική! ὦ σπουδὴ καὶ προθυμία οὐρανίων ἐπαίνων ἀξία! Τὸν ἅρπαξαν λοιπὸν μὲ ὁρμὴν καὶ ἀγριότητα, ἔβγαλαν τὰ φορέματά του, ἔδεσαν ὀπίσω τὰς χεῖρές του, ἔβαλαν τὴν θηλιὰν εἰς τὸν λαιμόν του, καὶ τὸν ἐπαράδωκαν διὰ νὰ κρεμασθῇ. Ἄλλοι ἔτρεχαν ἐμπρός, ἄλλοι ὀπίσω,ἄλλοι τοὺς ἔκαμναν μίαν μεγάλην σύγχυσιν ἀνάμεσόν τους ἐπὶ τούτου, τάχα διὰ νὰ δειλιάσῃ ὁ Μάρτυς· αὐτὸς δὲ ὅλον τὸ ἐναντίον ἔμενεν ἄφοβος παντελῶς,καὶ ἀκατάπληκτος, ὕθεν καὶ μυκτηρίζοντάς τους ὡς ἄφρονας, εἶπε πρὸς αὐτούς. «Ὦ ἀσύνετοι, ἐγὼ ἦλθα μόνος μου αὐτόκλητος καὶ τώρα φοβεῖσθε νὰ μὴ φύγω», φορῶν δὲ ὁ Μάρτυς τὴν φοῦρκαν εἰς τὸν λαιμὸν ὡς κατάδικος,

ΙΕΡΟΣ ΒΙΒΛΙΟΣ ΑΓΙΟΝΤΟΡΗΣ ΠΑΠΑΔΗΜΗΤΡΑΚΟΣ

καὶ ἔχων δεδεμένας τὰς χεῖρας, ἦλθεν εἰς τὸν τόπον τῶν καταδίκων. Καὶ πάλιν ἄλλοι ἑτοίμαζαν τὸν τόπον, ἄλλοι τὸν ἐρωτοῦσαν ἂν ἐμετανόησεν. Ὁ δὲ Μάρτυς τοὺς ἀπεκρίθη μὲ τὴν αὐτὴν ἀροβίαν. «Ταλαίπωροι, ἡ πίστις σας εἶναι πλέγη εἶναι ὅλη ματαιότητες· εἶσθε ἄνθρωποι ὅλοι σάρκες, ἔχετε νὰ κολασθῆτε εἰς τὴν γέενναν τοῦ πυρός. Ἐγὼ διὰ ταῦτα ὅπου μοῦ κάμνετε ὑπάγω εἰς τὸν Παράδεισον». Ἐκεῖνοι δὲ ὠνόμαζαν τὴν ἀνδρείαν τοῦ Μάρτυρος γινάτι, ἤγουν πεῖσμα. Ἀλλὰ καὶ κατὰ ἀλήθειαν πεῖσμα ἦτον· πεῖσμα ὅμως ὄντως ἅγιον, πεῖσμα σωτήριον, πεῖσμα τὸ ὁποῖον πρέπει, καὶ ἀνάγκη εἶναι κάθε Χριστιανὸς νὰ τὸ ἔχῃ ἐναντίον τοῦ Σατανᾶ, διὰ νὰ δύναται νὰ τελειώνῃ τὸ Θεῖον θέλημα. Καὶ λοιπὸν οὕτω κατηχημμένοι, τοῦ εἶπαν τελευταῖον : «Ἄλλος καιρὸς πλέον δὲν σοῦ ἔμεινε, καὶ ἔχεις νὰ τὸ μετανοήσῃς». Ὁ δὲ Μάρτυς ἀπεκρίθη τριπλασιάζοντας ἐν ταὐτῷ τὴν ὄντως μακαρίαν καὶ ἁγίαν ταύτην φωνήν : «Χριστιανός, Χριστιανός, Χριστιανὸς εἰμαι». Τότε σηκώσαντες αὐτὸν ἀπὸ τὴν γῆν, ἐτράβηξαν τὸ σχοινίον, καὶ οὕτως ἔλαβεν, ὁ ἀοίδιμος Πολύδωρος τὸν δι' ἀγχόνης μαρτυρικὸν στέφανον.

Ἐκείνην τὴν νύκτα τινὲς ἐξ αὐτῶν ἀπὸ μιᾶς ἀπάνθρωποι, χωρὶς νὰ ἐντραποῦν κἂν αὐτὴν τὴν ἰδίαν φύσιν τῆς ἀνθρωπότητος, ἐπῆραν τὰ ροῦχα τοῦ Μάρτυρος, καὶ ἄφησαν ὁλόγυμνον τὸ ἅγιον λείψανον, καὶ τὴν ἡμέραν ἔδεσαν μόνον μὲ ἕνα παλαιόπανον τὰ κρύφια μέλη του. Ἔπειτα μετὰ τρεῖς ἡμέρας ἐπρόσταξαν ἕνα Χριστιανὸν νὰ τὸν κατεβάσῃ ἀπὸ τὴν κρεμάλαν, ἔβαλαν δὲ καὶ δύο Ἀράπηδες καὶ τὸν ἐσήκωσαν μὲ τὴν σκάλαν, καὶ ὁμοῦ καὶ Τοῦρκοι ὀλίγοι καὶ μερικοὶ Χριστιανοί, τὸν ἔθαψαν ἐπάνω ἀπὸ τὰ μνήματα τῶν Ἀρμενίων. Καὶ εἰς μὲν τοὺς Χριστιανοὺς ἔγινεν ὁ Μάρτυς μέγα στήριγμα εἰς τὴν εὐσέβειαν, εἰς δὲ τοὺς Ὀθωμανοὺς ἔγινε τόση μεγάλη καταισχύνη, ὅπου ἄλλην φορὰν δὲν τοὺς ἠκολούθησε τοιαύτη. Ὅθεν μερικοὶ ἀπὸ αὐτοὺς ἐντόπιοι θαυμάζοντες ἔλεγον : «τοῦτο ἀληθῶς εἶναι μεγάλο πρᾶγμα· τούτη ἡ ἀνδρεία δὲν ἐστάθη εἰς ἄλλον ποῖος ἠξεύρει τὰς κρίσεις τοῦ Θεοῦ ;

Αὐτὸ εἶναι ἀδελφοὶ τὸ ἀνδρειωμένον καὶ γενναιότατον μαρτύριον τοῦ Ἁγίου Μάρτυρος Πολυδώρου. Ὁ δὲ τῶν αὐτοῦ Ἁγίων καὶ τῶν Μαρτύρων Θεός, ὁ δοξάζων τοὺς Αὐτὸν δοξάζοντας, καθὼς τὸ ὑπόσχεται μόνος του· «τοὺς δοξάζοντάς με δοξάσω» (α΄ Βασ. β΄. 32), ἀφ' ἑνὸς μέν, θέλοντας νὰ δείξῃ πόσον εὐηρέστησεν εἰς αὐτὸν διὰ τοῦ μαρτυρίου ὁ Ἅγιος Πολύδωρος, καὶ ἀκολούθως πόσον εὐάρεστοι γίνονται εἰς τὴν μεγαλειότητά του καὶ ὅλοι οἱ ἄλλοι ὅπου μαρτυροῦν διὰ τὸ ὄνομά του, κἂν καὶ τὸν ἀρνήθησαν πρότερον, καθὼς καὶ διὰ νὰ ἐμφράξῃ τὰ στόματα τινῶν ἀνοήτων, οἵτινες φλυαροῦν, ὅτι δὲν πρέπει νὰ τιμῶνται ὡς μάρτυρες οἱ τὸν Χριστὸν ἀρνηθέντες πρότερον, διὰ ταῦτα, λέγω, τὰ αἴτια ἐνήργησε τὸ θαῦμα τοῦτο, μετὰ τὸν θάνατον τοῦ Ἁγίου, τὸ ὁποῖον ἔγινε τοιουτοτρόπως, καθὼς μᾶς τὸ ἐδιηγήθη ὁ εἷς τοῦτο ὑπηρετήσας ἀξιόπιστος Ἱερομόναχος.

Κατὰ τὴν προρρηθεῖσαν Νέαν Ἔφεσον ὅπου ἐμαρτύρησεν ὁ Ἅγιος Πολύδωρος, ἦτον ἕνας Χριστιανός, τὸ ὄνομά του Νικόλαος, ὅστις ἔπασχεν ἀπὸ δαιμόνιον φοβερὸν τὸ ὁποῖον ἐλάλει διὰ τοῦ στόματός του, καὶ ἐφανέρωνε πολλάκις καὶ αὐτὰ τὰ ἀπόκρυφα καὶ μυστικά. Ὅθεν „βλέποντας αὐτὸν ὁ ῥηθεὶς Ἱερομόναχος, ὁ ὁποῖος εἶχε μέρος ἀπὸ τὰ Ἅγια λείψανα καὶ μέρος ἀπὸ τὸ σχοινίον, μὲ τὸ ὁποῖον ἐκρέμασαν τὸν Ἅγιον Μάρτυρα Πολύδωρον, ἐσυμπόνεσε τὴν συμφορὰν τοῦ δαιμονισμένου, ὡς συμπαθὴς καὶ φιλάδελφος· καὶ βάνοντας τὸ μὲν σχοινίον μέσα εἰς τὴν πυξίδα μην του, τὸν δὲ δάκτυλον τοῦ Μάρτυρος μέσα εἰς τὸν κόλπον του, ἐπῆγεν εἰς τὸν πάσχοντα. Καὶ ὦ τοῦ θαύματος ! εὐθὺς μόνον ὅπου ἐμβῆκεν εἰς τὴν θύραν τοῦ οἴκου του, καὶ τὸν εἶδεν ὁ δαιμονισμένος, ἠγριώθη τὸ δαιμόνιον, καὶ μὲ μεγάλας φωνὰς ἔκραξε: «τί ἦλθες ἐδῶ νὰ μὲ βασανίσῃς;(καλῶν αὐτὸν ἐξ ὀνόματος) ἐκάηκα, ἐκάηκα». Ὁ δὲ Ἱερομόναχος, πλησιάσας κοντήτερα, καὶ ἐκβαλὼν τὸ καμηλαύχιόν του ἐπετίμησε τὸ δαιμόνιον ἐν ὀνόματι τοῦ Κυρίου, διὰ νὰ εἰπῇ διατὶ φωνάζει τοιουτοτρόπως ; Ὁ δαίμων βιαζόμενος ἀπὸ ἀόρατον τοῦ Θεοῦ δύναμιν ὁμολόγησε, καὶ μὴ θέλων, τὴν ἀλήθειαν, λέγων,ὅτι «ἐκάηκα ἐπειδὴ μοῦ ἔφερες ἐδῶ τὸν δάκτυλον καὶ τὸ σχοινίον τοῦ Μάρτυρος Πολυδώρου». Καὶ οὕτω φωνάζων ἐβγῆκεν ἀπὸ τὸν πάσχοντα, καὶ ἔμεινεν ἐις τὸ ἑξῆς ὁ ἄνθρωπος ὑγιὴς διὰ τῆς χάριτος τοῦ Ἰησοῦ Χριστοῦ, τῆς ἐνοικούσης καὶ μετὰ θάνατον εἰς τὰ τίμια λείψανα τοῦ Ἁγίου αὐτοῦ Μάρτυρος Πολυδώρου. Οὗ ταῖς πρεσβείαις λυτρωθείημεν καὶ ἡμεῖς ἀπὸ πάσης ἐπηρείας δαιμονικῆς, καὶ ἀξιωθείημεν τῆς βασιλείας τῶν Οὐρανῶν.

Ἀμήν.

ὨΙδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Μὲ καλεσέτε μου φρενόληπτον παράφρονες : Μάρτυς Πολύδωρε, ἐβόας τοῖς δικασταῖς· ἐπίγνωστε ἄνομοι οὐκ ἐξέστηκα, τὴν δ' εὐσέβειαν, οὐδέποτε ἀρνήσομαι, κἂν πολλάκις ἀποθάνω.

Ὅλος ἔνθεος, γενόμενος Πολύδωρε, τοῖς ἀπειλοῦσί σοι, Ὀθωμανοῖς εὐθαρσῶς,ἐβόας τὰ βάσανα,ἃ μοι προτείνετε, ξίφος, θάνατον, ἀγχόνην οὐδὲν ἤγημαι δι' ἀγάπην Ἰησοῦ μου.

Τ'κεσίαις σου, ταῖς θείαις ἐλευθέρωσον Μάρτυς Πολύδωρε, τοὺς ὑμνητάς σου ἡμᾶς, ἐκ πάσης κακώσεως ἐν ὅσῳ πνέομεν, καὶ ἐκλείποντας, εἰς τὰς μονάς σου πρόσδεξαι, κἂν τὸ αἴτημα ᾖ μέγα.

Θεοτοκίον.

Σοῦ πανύμνητε,τῆς μεσιτείας ἄνευθεν, νόων βροτῶν τε οὐδείς, ἔχει ἐλθεῖν πρὸς Θεόν, σὺ γὰρ μόνη γέγονας καινὸν μεθόριον, κτιστῆς φύσεως, καὶ τῆς ἀκτίστου Πάναγνε· ὦ πραγμάτων παραδόξων.

ὨΙδὴ ς΄. Τοῦ ϐ΄. Ἡ Κάμινος Σωτήρ.

Εἰς τὸ τέλος τὸν ἐχθρὸν κατετρόπωσας, ἐπεὶ τῆς εὐσεβείας τῷ ϑώρακι, σὺ καϑωπλίσϑης μάκαρ, ἀϑλοφόρε Πολύδωρε.

Π'πάτημαι, ἐβόας Πολύδωρε, ἐπεὶ τὸν Ἰησοῦν μου ἠθέτησα, ἀναλαβεῖν δι' ὁ τοῦτον, εὖ πάλιν ἐπείγομαι.

Πᾶ ἔπαϑλα τῶν ἄϑλων σοὶ δέδωκε,τῶν ὅλων ὁ Δεσπότης καὶ Κύριος,ὑπὲρ αὐτοῦ ϑεόφρον, γενναίως ἀϑλήσαντι.

Θεοτοκίον.

Τ'κέτευε ὃν ἔτεκες Κύριον, ὡς εὔσπλαγχνον τῇ φύσει ὑπάρχοντα, ϑεογεννῆτορ,σῶσαι,τὰς ψυχὰς τῶν ὑμνούντων σε.

ὨΙδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Λ αμπρὰ ἡ πρὸς ἄϑλησιν ὁρμή σου, λαμπρὰ δὲ καὶ ἡ παράστασίς σου γέγονε, λαμπρὰ καὶ ἡ ἄϑλησις, λαμπρὰ καὶ τὰ τρόπαια κατὰ τοῦ πολεμήτορος ἅπερ ἀνέστησας, τοῦ τρόποις ἐν ποικίλοις τρισμάκαρ, πρὸς τὴν ἄϑλησίν σου ἐμποδὼν γενομένου.

Ὅλοι ἀσελγεῖς καὶ ὅλοι σάρκες· ὅλοι ῥεματαιωμένοι ὄντως πέλετε, τοῖς ἀπίστοις ἔλεγες ἔνδοξε Πολύδωρε· καὶ εἰς πῦρ καλασϑήσεσϑε ἂν μὴ πιστεύσητε, Χριστῷ, τῷ ἀληϑεῖ Θεοῦ λόγῳ, καὶ ποιητῇ κόσμου, ἐάσαντες τὴν πλάνην.

Γενναῖε περόνῃ διεπάρης, τὸ κρύφιον μέλος τὸ ἐπιδεξάμενον, πλάνης τὸ ἐκσφράγισμα, καὶ ἡδέως ἤνεγκας, τὰς ἀλγηδόνας Ἅγιε καὶ ἀνεκραύγαζες, τὸ μέσος διὰ ταύτης ἐκτρίψω, ὃ φέρειν οὐκ ἔχω ἐπὶ τῷ σώματί μου.

Θεοτοκίον.

Ὅλος Γαβριὴλ ὁ ϑεῖος λάμπων, λαμπρύτητι, ἀρχαγγελικῶς ϑεόνυμφε, σοῦ τῇ ὑπὲρ Ἄγγελον,ἁγνείας λαμπρότητι ἀντελλαμφϑεὶς νενίκηταί σε ἀσπαζόμενος, καὶ γέγονε, ϐραχὺ ὥσπερ ἄστρον, κρυϐὲν τῇ ἐλλάμψει ἀνέσχοντος ἡλίου.

ὨΙδὴ η΄. Τοῦ ϐ΄. Ὃν φρίττουσιν.

Ε'φέσει Πολύδωρε Χριστοῦ κατασχεθείς, τὴν Ἔφεσον ἔνδοξε κατέλαϐες σκιρτῶν, ἀνόμους δὲ ἐλέγξας, ὑπ' αὐτῶν ἀϑλητά, ἀγχόνῃ ἀνηρτήϑης, ἐν ᾗ καὶ τελειοῦσαι.

Π'ὸ ὄντως ἀκρότατον πάντων τῶν ἐφετῶν, κατειληφὰς ἔνδοξε τὸν μόνον Ἰησοῦν· ὑσώπησον τοῦτον τοῦ ῥυσϑῆναι πυρός, καὶ ἀξιωϑῆναι ἡμᾶς ζωῆς ἀλύπου.

Εἰσδέξαι ϐάπτισμα, Πολύδωρε σοφέ,δευτέροις χρανίνομενος ἐν ῥύποις μηδαμῶς, ἁπάντων τῶν ἄλλων ϐαπτισμάτων σαφῶς, ἀσφαλέστερόν τε καὶ φέρετρον.

Θεοτοκίον.

Ἀ ναστήσον κείμενον, εἰς ϐάϑη με κακῶν· τοὺς νῦν πολεμοῦντας με, πολέμησον ἐχθροὺς· τρωϑεῖσαν ἀτόποις ἡδοναῖς τὴν ψυχὴν ἀγνὴ μὴ παρίδῃς, ἀλλ' οἰκτειρον καὶ σῶσον.

ὨΙδὴ ϑ΄. Ἅπας γηγενής.

Τ'ερποὶ χοροί, Ἀγγέλων ηὐφράνθησαν ἐν τῇ ἀνόδῳ σου· τάγματα Μαρτύρων δέ, ᾠσὶν ὡς σκιρτῶντα σὲ ὑπεδέξαντο, εἰς ἑαυτῶν σκηνώματα ὡς ἐναϑλήσαντα, ψυχῆς γνώμῃ, ἀνδρείᾳ Πολύδωρε καὶ ἀνόμων τὴν πλάνην ἐλέγξαντα.

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΡΗΣ ΠΑΠΑΣΤΑΘΗ

Στήριγμα πιστῶν, καὶ δόξα καὶ καύχημα Μάρτυς Πολύδωρε, διὰ τῆς ἀθλήσεως, τῆς σῆς ἐδείχθης τύπος γενόμενος, αὐτοῖς ὑπὲρ τῆς πίστεως ἀθλεῖν στερρότατα· τῶν δ' ἀπίστων, αἰσχύνη αἰώνιος, ἣν οὐδέποτε ἄλλοτε ἔπαθον.

Ἔχεις ἀληθῶς, ἔχεις τὸν Παράδεισον νῦν ὃν ἐπόθησας, περὶ οὗ προέλεγες, ζῶν ἐν τῷ βίῳ Μάρτυς Πολύδωρε· ἀλλὰ καὶ ἡμᾶς, πρέσβευε, τοὺς ἀγαπῶντάς σε, παραδείσου γενέσθαι οἰκήτορας, μετὰ σοῦ εἰς αἰῶνα τὸν ἅπαντα.

Θεοτοκίον.

Ὕμνοις σὲ ἀγνή, ὑμνῶ τὴν Ἰανύμνητον, ἣν ἡ ἐγκόσμιος, γλῶσσα καὶ πᾶσα πνοὴ γεραίρουσιν, ὡς τὸν Θεὸν γεννήσασαν τὸν ὑπερύμνητον, ὃν ὑμνοῦσι χιλιάδες χίλιαι, μυριάδες τε μύριαι ἄγγελοι.

Ὠδὴ θ'. τοῦ ϛ'. Τὴν Ζωοδόχον πηγήν.

Ὡς εὐωδέστατον κρῖνον Πολύδωρε, τοῦ νοητοῦ Παραδείσου γενόμενος, εὐωδίαις ἀθλων σου, τὴν ψυχήν μου εὔφρανον, τὴν δυσωδίαν αὐτῆς ἀποδιώξας, ἣ ἐκ πταισμάτων καὶ παθῶν αὐτῇ προσγίνεται.

Ἐν οὐρανοῖς ἐντρυφῶν παμμακάριστε, τῆς ἀκηράτου καὶ θείας λαμπρότητος, τὴν ψυχήν μου φώτισον, ἔνδοξε Πολύδωρε, τῶν σῶν ἀγώνων ἀκτῖσι ταῖς φανωτάταις, καὶ τῶν παθῶν τὸν σκοτασμὸν Μάρτυς μείωσον.

Τοῦ Ἰησοῦ τῇ δυνάμει καὶ χάριτι, σὺ τὸν ἀγῶνα θεόφρον διήνυσας, σταθερῶς Πολύδωρε, καὶ στεφάνων ἔτυχες, καὶ τοῖς χοροῖς συναγάλλῃ τῶν Μαρτύρων, δι' ὃ ἡμῶν τῶν ὑμνούντων σε μέμνησο.

Θεοτοκίον.

Θεῖσαι ἡμῶν τῶν ὑμνούντων σου Κύριε, τὴν ἐκ Παρθένου ἀνέκφραστον γέννησιν, πειρασμῶν ῥυόμενος καὶ παθῶν καὶ θλίψεων ταῖς ἱκεσίαις αὐτῆς, τοὺς σοὺς ἱκέτας, ὡς εὐεργέτης καὶ μόνος φιλάνθρωπος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ὅπου ἦχος ἀκούεται, ἑορταζόντων ἁγίε· ὅπου τρυφῇς ὁ χειμάρρους, εἰρηνικῶς πελαγίζει, τοὺς μακαρίους ἅπαντας· ὅπου χαρὰ ἀνέκφραστος, ἐκεῖσε κατασκηνῶσαι Πολύδωρε ἠξιώθης.

Θεοτοκίον.

Πορφύρα Θεοῦφαντος, καὶ στολὴ Θεοποίκιλτος, χρυσοειδὴς διπλοΐς τε τοῦ λόγου τοῦ ἀνδρωθέντος· καὶ ὕλη παναρμόνιος, τῆς θείας σωματώσεως, σὺ Μαριὰμ ἀνεδείχθης, ὑπὲρ κατάληψιν πᾶσαν.

Εἰς τοὺς Αἴνους.

Ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος

Ὦ τοῦ παραδόξου θαύματος! πῶς ἐν ὑστέροις καιροῖς, ὁ γενναῖος Πολύδωρος, πρὸς τὰ τῆς ἀθλήσεως ἠτοιμόλησε σκάμματα! καὶ τὴν τυράννων πλάνην κατήσχυνε, καὶ εὐσεβείας κήρυξ γεγένηται! Δόξα σοι δόξα σοι, Παντοκράτορ Κύριε, ὅτι καὶ νῦν, ἐφ' ἡμῶν τὸ ὄνομα, σοῦ ἐθαυμάστωσας.

Δεῦτε τιμήσωμεν ἄσμασι, τὸν μαργαρίτην Χριστοῦ, καὶ πολύτιμον ἄνθρακα, τὸν νέον Πολύδωρον, Λευκωσίας τὸ καύχημα· ἐξωμοσάντων, τύπον τὸν ἄριστον· πιστῶν ἁπάντων, τὸ μέγα στήριγμα· πίστεως φύλακα, Ἐκκλησίας στέφανον καὶ χαρμονήν, καὶ δόξης ὑπόθεσιν, Θεοῦ ὑπάρχοντα.

Σοῦ προσκυνοῦμεν τὰ λείψανα, καὶ τὴν εἰκόνα πιστῶς, ὦ γενναῖε Πολύδωρε, καὶ σὲ ἱκετεύομεν, ἀπὸ πάσης κακώσεως, ὀργῆς καὶ βλάβης παντοίας λύτρωσαι, ἡμᾶς τοὺς πόθῳ ἀνευφημοῦντάς σε· καὶ μετὰ θάνατον, ῥῦσαι τῆς κολάσεως καὶ οὐρανῶν, βασιλείας ποίησον μετόχους Ἅγιε.

Ὡς ἑωσφόρος ἐφαίδρυνας, τὸ νοητὸν τοῦ Χριστοῦ, Ἐκκλησίας στερέωμα, ἀθλητὰ Πολύδωρε, ταῖς ἀκτῖσι τῶν ἄθλων σου, καὶ πάντα, μάκαρ, λέαν ἐθέρμανας, πρὸς θεῖον πόθον, οἷα περ ἥλιος, τὰ χριστεπώνυμα, τῶν βροτῶν συστήματα, ὅθεν τὴν σὴν, σεβασμίαν ἄθλησιν πανηγυρίζουσι.

Δόξα, ἦχος πλ. δ'.

Τὰκωβον τὸν Πέρσην, καὶ Μύρακα τὸν Αἰγύπτιον, τοὺς ἐξωμόσαντας πρίν, καὶ ὑπὲρ Χριστοῦ ὕστερον ἀναφανέντας μάρτυρας, καὶ ὑπὸ τῆς πανταχοῦ Ἐκκλησίας δοξαζομένους, ζηλώσας νεομάρτυς Πολύδωρε, τὸν διὰ βασάνων καὶ ἀγχόνης μαρτυρικὸν ὑπὲρ Χριστοῦ ὑπέμεινεν θάνατον, καὶ τῶν ἴσων στεφάνων ἐκείνοις τετύχηκας. Ὅθεν, σὲς μὴ προσείπῃ σε νέον ἀθλητὴν τοῦ Χριστοῦ καὶ μάρτυρα· Ἡ τίς ἐκ τοῦ ἴσου μὴ δοξάσῃ δικαίως τὴν μνήμην σου· Μάρτυς οὖν ἀληθὴς ὑπάρχων, καὶ μαρτυρικὴν ἔχων τὴν παρρησίαν πρὸς Χριστόν, τὸν σὲ στεφανώσαντα, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά. Εἰς τοὺς Μακαρισμοὺς τὴν γ'. ᾠδὴν τοῦ α' Κανόνος· τὴν ϛ'. τοῦ β'. Μετὰ τὸ τρισάγιον τὸν Ἀπόστολον, καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Μεγαλυνάρια τοῦ Ἁγίου.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τοὺς λαμπροὺς ἀγῶνας, Πολυδώρου τοῦ ἀθλητοῦ, τοῦ ἐν ταῖς ἐσχάτοις καιροῖς ἀναφανέντος, Μάρτυρος θεηγόρου, τῆς θείας πίστεως.

Δέξαι εὐσυμπάθητε τὰς λιτάς, ἡμῶν τῶν σῶν δούλων, ἃς ἐκ στόματος ῥυπαροῦ καὶ γλώσσης βεβήλου, προσάγομεν αἰτοῦντες, ἁμαρτημάτων λύσιν τῇ μεσιτείᾳ σου.

Δόξῃς ἀπροσίτου μαρμαρυγαῖς, καὶ θείαις ἀκτῖσιν, ἐλλαμπόμενος ἀθλητά, Πολύδωρε μάκαρ, τῆς τριλαμποῦς καὶ θείας, Τριάδος ταῖς εὐχαῖς σου, ἡμᾶς καταύγασον.

Μάρτυς ἀθλοφόρε ταῖς πρὸς Θεόν, ἱεραῖς εὐχαῖς σου, διατήρει τοὺς εὐλαβῶς, τῇ σῇ θείᾳ σκέπῃ, προσφεύγοντας ἐκ πάντων, παθῶν τε καὶ κινδύνων, ψυχῆς καὶ σώματος.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΕΡΓΑΣΤΗΡΙΟ ΒΙΒΛΙΟΓΡΑΦΙΑΣ
ΕΠΙΜΕΛΕΙΑ: ΓΙΩΡΓΟΣ ΠΑΠΑΔΡΑΚΗΣ

ΑΚΟΛΟΥΘΙΑ

Εἰς τὸ ὑπερφυὲς θαῦμα ὅπερ ἐνήργησεν ἡ Ὑπεραγία Θεοτόκος καὶ ἀειπαρθένος

ΜΑΡΙΑ

Διὰ τῆς πανσέπτου καὶ θείας αὐτῆς εἰκόνος τῆς ἐπιλεγομένης

ΜΥΡΤΙΔΙΩΤΙΣΣΗΣ

Ἐν τῇ νήσῳ τῶν Κυθήρων, ὅτε τὸν παράλυτον ἤγειρε μετὰ τεσσαράκοντα ἡμέρας τῆς ἁγίας αὐτῆς Κοιμήσεως.

Ποίημα Σωφρονίου Ἐπισκόπου Κυθήρων τοῦ Παγκάλου, ἀντιγραφεῖσα δὲ παρὰ τοῦ ἐλαχίστου δούλου αὐτῆς μακαρίτου εὐγενοῦς Δομενίκου Βαλερίου πλείστοις καὶ ἐξαισίοις τερατουργήμασιν εὐεργετηθέντος παρὰ τῆς αὐτῆς ἁγίας εἰκόνος. (1).

ΤΗ ΚΔ΄ ΤΟΥ ΣΕΠΤΕΜΒΡΙΟΥ ΜΗΝΟΣ

Μνήμην ἐπιτελοῦμεν τοῦ ῥηκτοῦ θαύματος τῆς Ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ γεγονότος ἐν τῷ πανσέπτῳ αὐτῆς Ναῷ τῶν Μυρτιδίων, ἐν τῇ νήσῳ Κυθήρων, ὅτε τὸν παράλυτον ἤγειρε.

Ἑσπέρας, ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ· μετὰ τὸν προοιμιακὸν τὴν Α΄ Στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ἡ καὶ ψάλλομεν τὰ ἀκόλουθα στιχηρὰ προσόμοια.

Ἦχος α΄. Ἐξ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, τοῦ φανέντος ἡμῖν ἐν τῇ μνήμῃ σήμερον, τῆς μόνης τὸν Ποιητὴν ἡμῶν καὶ Κύριον, τεκούσης ἄνευ σπορᾶς, ἀνερμηνεύτως ἀρρήτως ὡς ἄνθρωπον, καὶ πόθῳ τοὺς εὐσεβεῖς, πρὸς εὐφροσύνην καὶ ἧχον ἑορτιον, καὶ πρὸς εὐωχίαν θείαν προσκαλοῦνται ἅπαντας, τῇ Παρθένῳ κραυγάζειν, χαῖρε πάντων ἡ ἀντίληψις.

Βαθαὶ τῶν σῶν θαυμασίων ἀγνή· ὅτι ἀνεδείχθη πηγὴ θαυματόῤῥυτος, ὁ πάνσεπτος καὶ τερπνός, καὶ θεῖος οἶκός σου· συνδράμωμεν οὖν πιστοὶ καὶ χαρμοσύνως οἱ πάντες ὑψώμεθα, τὸ μέγα καὶ θαυμαστόν, καὶ ὑπερένδοξον ἔργον γεραίροντες, τῆς πανυπεράγνου Κόρης τὸ λαμπρὸν τεράστιον, ἣν πιστῶς προσκυνοῦμεν· τὸν παράλυτον γὰρ ἤγειρε.

Τὴν σὴν ὑμνοῦσι μετάστασιν, Θεομῆτορ Κόρη, ἀσωμάτων τάξεις τε, τὴν δόξαν σου καὶ λαμπρότητα γεραίρουσαι· συμφώνως οὖν καὶ ἡμεῖς, πάντων τὰ στίφη πιστῶς συγκροτοῦμέν σοι, ἐν φόβῳ τε καὶ χαρᾷ, τὴν θαυματόῤῥυτον ταύτην πανήγυριν, τῆς σῆς πανενδόξου μνήμης τεσσαρακονθήμερον, καὶ πιστῶς προσκυνοῦμεν, τὴν παγσέβαστον εἰκόνα σου.

Χαῖρε τῶν πιστῶν τὸ καύχημα, ὅτι σὺ ὑπάρχεις πάντων τῶν προσφύγων σου, ἡ σκέπη τε καὶ ἐλπὶς καὶ καταφύγιον· διὸ τιμῶμεν τὴν σὴν τεσσαρακονθήμερον πάντες ἑόρτιον, Παρθένε Μῆτερ Θεοῦ, καὶ εὐφροσύνως δοξάζομεν ἅπαντες, τὸ ὑπερφυές σου θαῦμα, ὅτι τὸν παράλυτον, πολυχρόνιον ὄντα ὑγιῆ ὅλον ἐτέλεσας.

Ἕτερα προσόμοια.

Ἦχος ὁ αὐτός. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Κυθηραίων ἡ νῆσος, σήμερον τέρπεται, ἐν τῇ μεγαλουργίᾳ καὶ θαυματοποιΐᾳ, τῆς πάντων Βασιλίσσης μητρὸς τοῦ Θεοῦ, ὅτι πηγὴ ἀνεξάντλητος, νῦν ἐπεφάνη ὁ θεῖος ταύτης ναός, ἰαμάτων τοῖς προστρέχουσι.

(1) Ὁ ἁοίδιμος ἱδρυτὴς τῆς ἐν Χίῳ Μονῆς τῆς Παναγίας Μυρτιδιωτίσσης Ἀρχιμανδρίτης Χριστοφόρος Σερέμελης ἐξέδωκε τύποις ἐν Πειραιεῖ τὸ 1902 εἰς ἰδιαίτερον φυλλάδιον τὴν Ἀκολουθίαν ταύτην, ἐκεῖθεν δὲ ἐγένετο ἡ ἀνατύπωσις αὐτῆς ἐν τῷ παρόντι.

Δεῦτε πιστοὶ ἐπαξίως, χειρας κροτήσωμεν, ἐν πίστει τε καὶ πόθῳ, τῇ Παρθένῳ βοῶντες· χαῖρε ἡ ζωοδόχος θεία πηγή, τὰς ἰάσεις ἡ βλύζουσα, τοῖς ἀδιστάκτως αἰτοῦσι, καὶ τῷ ναῷ, τῷ πανσέπτῳ σου προστρέχουσι.

Ῥεῖθρα ἰάσεων βλύζεις τοῖς Κυθηραίοις ἀγνή καὶ πᾶσιν ὀρθοδόξοις, τοῖς πιστῶς σε τιμῶσι, καὶ πόθῳ προσιοῦσι τῷ σῷ ναῷ· καὶ γὰρ πηγὴ ἀνεξάντλητος, πάντων θαυμάτων ὑπάρχει ζωοποιὸς καὶ παράλυτον συνέσφιγξε.

Ῥητορεῦσαι βρότειος γλῶσσα οὔτε μὴν ἄυλος, ἀξίως τὰ σὰ κόρη, δύναται μεγαλεῖα, ἀλλ' οὖν νῦν ὁλοψύχως πόθῳ πολλῷ, μακαρίζομεν ἄχραντε, τῶν θαυμασίων τὴν ἄβυσσον οἱ πιστοί, καὶ τιμῶμεν τὴν εἰκόνα σου.

Δόξα καὶ νῦν ἦχος πλ. δ΄.

Τίς μὴ θαυμάσει; τίς μὴ δοξάσει, Θεοτόκε ἀειπάρθενε, τὰ πολλὰ καὶ ὑπὲρ φύσιν σου τερατουργήματα; Σὺ μόνην γὰρ παράλυτον προσελθόντα σοι πιστῶς, θαυμασίως ἐάτρευσας, ἀλλὰ καὶ νῦν πάντοτε, τοῖς αἰτοῦσί σε πόθῳ, τὰ αἰτήματα παρέχεις. Διὸ ἄχραντε Θεόνυμφε, εὐχαρίστως σε γεραίροντες, τὴν ἀνωτέραν τῶν Χερουβείμ, καὶ καθαρωτέραν τῶν Σεραφείμ, ἀσυγκρίτως πόθῳ δεόμεθα· τὴν σὴν βοήθειαν ἡμῖν δώρησαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἔξοδος. Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ ἀνάγνωσμα.

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρράν· καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἐφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτήν, ὁ δὲ Κύριος ἐπεστήριχτο ἐπ' αὐτῇ καὶ εἶπεν: Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου καὶ ὁ Θεὸς Ἰσαὰκ μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου· καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ λίβαν, καὶ βορρᾶν καὶ ἐπὶ ἀνατολάς, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ οὗ ἐὰν πορευθῇς καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλείψω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι· καὶ ἐξηγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν· καὶ ἐφοβήθη καὶ εἶπεν· ὡς φοβερὸς ὁ τόπος οὗτος, οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ Πύλη τοῦ οὐρανοῦ.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὁδοῦ, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ἡμῶν, καὶ τὰ τοῦ σωτηρίου ἡμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη, καὶ εἶπε Κύριος πρός με· ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς καὶ ἔσται κεκλεισμένη· διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐπ' αὐτῇ τοῦ φαγεῖν ἄρτον· κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς πρὸς βορρᾶν κατέναντι τοῦ οἴκου καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπῆρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὡς ἐπὶ κρατῆρα λέγουσα· ὅς ἐστιν ἄφρων ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν· ἀπολίπετε ἀφροσύνην καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν ἵνα βιώσητε καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει· ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακοὺς ἵνα μὴ μισήσωσί σε. Ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀ-

φορμὴν καὶ σοφώτερος ἔσται. Γνώριζε δικαίῳ καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας φόβος Κυρίου καὶ βουλὴ ἁγίων σύνεσις. Τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς· ιούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἰς τὴν λιτὴν ἰδιόμελα ἦχος α΄.

Παρθενικὴ πανήγυρις σήμερον ἀδελφοί, σκιρτάτω ἡ κτίσις, χορευέτω ἡ ἀνθρωπότης, συνεκάλεσε γὰρ ἡμᾶς ἡ Ἁγία Θεοτόκος. Τὸ ἀμόλυντον κειμήλιον τοῦ λόγου τῆς Παρθενίας, ὁ λογικὸς παράδεισος τοῦ δευτέρου Ἀδάμ, τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν δύο φύσεων, ἡ πανήγυρις τοῦ σωτηρίου συναλλάγματος, ἡ παστὰς ἐν ᾗ ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα. Ἡ ὄντως κούφη νεφέλη, ἡ τὸν ἐπὶ τῶν Χερουβεὶμ μετὰ σώματος βαστάσασα. Ταῖς αὐτῆς ἱκεσίαις Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Μέγα καὶ παράδοξον θαῦμα τοῖς πᾶσιν ἐπέλαμψε, τῆς Θεοτόκου ὁ Ναός· ἐν τούτῳ γὰρ προστρέχοντες ἐν πίστει ἀδιστάκτῳ, τὰ αἰτήματα λαμβάνομεν πρὸς τὸ συμφέρον τῆς αἰτήσεως. Ἡ γὰρ χάρις κατῴκησε τῆς Πανάγνου ἐν αὐτῷ· διὸ πάντες προσείπωμεν· Δέσποινα ἁγνὴ τοὺς σὲ τιμῶντας καὶ ἑορτάζοντας περιφρούρει καὶ σκέπε, ἐκ πάντων κινδύνων καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄ ὁ αὐτός.

Μέγας ἦχος τῶν ἑορταζόντων πέφηνεν, ἡ θαυματούργησις, ἁγνή, τῆς πανσέπτου καὶ παντίμου σου Εἰκόνος, Ὅτι τὸν παράλυτον ἤγειρε, καὶ τὴν Νῆσον ταύτην περιέπει ἀπὸ παντοίων κινδύνων. Διό πάντες πιστοὶ ἐν φωναῖς ἀγαλλιάσεως μεγαλύνομεν τὸ ὄνομά σου Δέσποινα καὶ δοξολογοῦμέν σε πᾶσαι αἱ γενεαὶ τῶν πιστῶν.

Δόξα καὶ νῦν ἦχος πλ. β΄.

Σήμερον συγκαλεῖται ἡμᾶς, τὰς ὁμηγύρεις τῶν πιστῶν, ἡ πανέορτος καὶ πανθαύμαστος πανήγυρις τῆς πανυμνήτου Θεομήτορος. Δεῦτε οὖν φιλέορτοι καὶ φιλόθυλοι, τῆς ἡμῶν Δεσποίνης ἑορτάσωμεν ψαλμικῶς τὴν πάνσεπτον μεγαλουργίαν αὐτῆς, ἐπὶ τῇ θείᾳ νεύσει τῇ χαριτοβρύτῳ τῆς παντίμου αὐτῆς Εἰκόνος. Ἰδοὺ γὰρ οἱ προστρέχοντες πίστει καὶ πόθῳ πρὸς αὐτήν, κορέννυνται ἰάματα ψυχῶν τε καὶ σωμάτων· οὐ μόνον γὰρ παράλυτον θαυμασίως συνέσφιγξεν, ἀλλὰ καὶ πᾶσαν αἴτησιν τοῖς πᾶσι χορηγεῖ· πάντες οὖν ἐκβοήσωμεν. «Φύλαξον ἡμᾶς, πανάχραντε Θεοτόκε, ἐκ τῶν ἀθέων βαρβάρων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν φιλέορτοι, δεῦτε πιστῶν πάντων σύλλογος, δεῦτε ᾄσμασι μέλψωμεν, δεῦτε ἐπαινέσωμεν, μητρόθεον Κόρην, διάσωσμα πάντων, δεῦτε συμψάλωμεν θερμῶς, αὐτῆς τὰ θεῖα μεγαλουργήματα, καὶ πόθῳ μελῳδήσωμεν, τὸν ὕμνον τὸν Ἀρχαγγελικόν· Χαῖρε Νύμφη ἀνύμφευτε, μετὰ σοῦ ὁ Θεὸς ἡμῶν.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Τεσσαρακονθήμερον, τῆς Παναγίας κοιμήσεως, τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν· δεῦτε νῦν φιλέορτοι, τιμήσωμεν πάντες, ἐν πίστει καὶ πόθῳ καὶ εὐλαβείᾳ προσευχῇς, αὐτῆς ὑμνήσωμεν τὰ θαυμάσια, καὶ πάντες προσκυνήσωμεν, αὐτὴν τὴν πάντων βασίλισσαν, καὶ σὺν φόβῳ βοήσωμεν χαῖρε θαῦμα παγκόσμιον.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Νῦν σε μακαρίζομεν καὶ εὐλαβῶς προσκυνοῦμέν σε, μετὰ φόβου καὶ πίστεως, θερμῶς μεγαλύνοντες, Θεομῆτορ Κόρη, τὰ σὰ μεγαλεῖα, αἱ γενεαὶ πᾶσαι πιστῶν· ὅτι παρέχεις θεῖα δωρήματα, τοῖς πόθῳ προσιοῦσί σοι, καὶ ἰατρεύεις νοσήματα, καὶ παράλυτον ἤγειρας, τὸν πιστῶς προσελθόντα σοι.

Δόξα καὶ νῦν. Ἦχος πλ. α΄.

Ὢ τῶν πολλῶν σου θαυμάτων ἁγνή· πῶς ταύτῃ τῇ τῶν Κυθηραίων νήσῳ, δέδωκας εἰς ἐπίσκεψιν τὴν θείαν σου εἰκόνα· πηγὴ γὰρ θαυμάτων τοῖς προστρέχουσιν ὑπάρχει· δι' ἧς ἡμῖν τὰς ἐνεργείας τὰς σὰς φανεροῖς· καὶ γὰρ τὸν προσιόντα σοι παράλυτόν ποτε ζεούσῃ τῇ ψυχῇ, λαμπρῶς ἰάτρευσας, καὶ τὴν τῶν ἄρθρων ῥώσιν δέδωκας αὐτῷ· ἀλλ' ἡ πάντα τὰ πρὸς βοήθειαν ἡμῖν ἀπονέμουσα, οὐ μόνον αὐτὸν ὑγιῆ ἐτέλεσας, ἀλλὰ καὶ πάντας τοὺς πίστει τε καὶ πόθῳ σοι προστρέχοντας, χαρίσμασιν ἰάσεων πλουτίζεις· ἐν ἀνάγκαις γὰρ κατεύθυνας, τοῖς ὀφθαλμοῖς ἐναργῶς τὴν ἐπικουρίαν σου καὶ ἀνομβρίας αὐχμόν, καθ' ἑκάστην θεραπεύεις· διὸ καὶ αἱ καρδίαι ἡμῶν πρὸς τὸν πόθον σου ἀναφλέγονται· καὶ μετὰ πίστεως συναθροισθέντες τῷ σῷ Ναῷ, δοξάζομεν τὰ μεγαλεῖά σου, καὶ πόθῳ δεόμεθα ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον, ἦχος δ΄.

Δεῦτε νῦν κροτήσωμεν, δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ᾄσωμεν ᾄσμασι τῇ Θεομήτορι, ἐν πόθῳ κραυγάζοντες· χαῖρε ἡ προστασία πάντων τῶν δεομένων, χαῖρε ἡ σωτηρία τῶν τιμώντων σε πόθῳ· χαῖρε ἡ τῷ παραλύτῳ τὴν ἴασιν βραβεύσασα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ἡ συνήθης στιχολογία.
Εἰς τὴν πρώτην στιχολογίαν. Κάθισμα.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Δεῦτε πάντες οἱ πιστοί, δεῦτε θεάσασθε θερμῶς, θαῦμα παράδοξον καὶ γάρ, σήμερον ἔλαμψεν ἡμῖν, ἐν τῇ πανσέπτῳ καὶ τεσσαρακονθημέρῳ, ἡμέρᾳ τῆς ἁγνῆς, θείας κοιμήσεως, ἐν ᾗ λαμπρῶς τελοῦμεν τὴν πανήγυριν, πᾶς ὁ λαὸς καὶ παῖδες τῶν Κυθηραίων· καὶ γὰρ παράλυτον ἤγειρεν ἡ Θεοτόκος, ἐν τῷ ἁγίῳ τῶν Μυρτιδίων Ναῷ αὐτῆς. (Δίς)

Εἰς τὴν δ΄. στιχολογίαν. Κάθισμα.
Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τῶν ὀρθοδόξων ὁ πιστὸς σύλλογος θεῖος, ἐν τῷ πανσέπτῳ σου Ναῷ Κόρη πανάχραντε, μετὰ πόθου προθύμως νῦν προσπελάζων, Παρθένε, Μήτηρ Κυρίου, κράζει θερμῶς, ἐν ὥρᾳ τῆς καταδίκης τε καὶ ὀργῆς, τῆς μελλούσης κολάσεως, λύτρωσαι πάντας τοὺς πιστούς, καὶ σωτηρίαν δώρησαι τοῖς πιστῶς προσκυνοῦσί σε.

Εἰς τὸν Πολυέλαιον. Κάθισμα, ἦχος δ΄.
Ὁ ὑψωθείς.

Ἀϋτικῶς νῦν οἱ πιστοὶ μελῳδοῦμεν, τὰ μεγαλεῖά σου ἁγνὴ Θεοτόκε, καὶ μετὰ πόθου κράζομεν βοῶντες θερμῶς, ὅτι σὺ παρίστασαι ὡς παντάνασσα Κόρη, ἐκ δεξιῶν πανάχραντε τοῦ Υἱοῦ καὶ Θεοῦ σου· διὸ μὴ παύσῃ πᾶσι βοηθεῖν, τοῖς ἀνυμνοῦσι τὰ θεῖά σου θαύματα.

Οἱ ἀναβαθμοί. Τὸ ά. Ἀντίφωνον τοῦ δ΄. ἦχου. Προκείμενον ἦχος δ΄. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Στίχ. Ἀκουσον θύγατερ καὶ ἴδε. Εὐαγγέλιον Θεομητορικόν. Ὁ Ν΄. Δόξα καὶ νῦν. Καὶ τὸ ἰδιόμελον. Ἦχος β΄. Μέγα καὶ παράδοξον θαῦμα. (Ζήτει εἰς τὴν λιτήν).

ΕΙΤΑ οἱ κανόνες, καὶ ὁ μὲν πρῶτος συντεθεὶς παρὰ τοῦ πανοσιωτάτου κὺρ Μελετίου Καλλονᾶ Καθηγουμένου τῆς Ἀγκαράνθου ἁγίας Μονῆς καὶ πρωτοσυγγέλου τῆς καθολικῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας περιέχει τοὺς ἑξήκοντα δυνατοὺς κατὰ τὸν μέγαν Ἰωάννην τὸν Δαμασκηνόν, λέγοντα εἰς τὸν Ὀκτώηχον εἰς τὸν πλ. δ΄. ἦχον, εἰς τὸν Ὄρθρον τῆς τετάρτης, Ὠδὴ θ΄.

Ἡ θεία κλίνη Σολομών, ἣν κυκλοῦσι δυνατοὶ νῦν ἑξήκοντα, ῥήσεις τῆς θείας γραφῆς. Οὗ ἡ ἀκροστιχίς.

Ὕμνον ᾄδω σοι κανὸν Παρθένε Μαρία ἁγνή, Μελέτιος Καλλονᾶς.

Οἱ δὲ ἕτεροι συντέθησαν παρὰ τοῦ ἡηθέντος Σωφρονίου Κυθηραίων.

ΕΘΝΙΚΟ ΜΑΚΑΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΙΩΑΝΝΗΣ ΝΤΟΡΗΣ ΠΑΠΑΔΑΤΟΣ

Ὠδὴ, ά. ἦχος ά. Ὠδὴν ἐπινίκιον.
Ἴδοὺ καὶ οἱ δυνατοί. Βάτον.

Ὑμνήσωμεν ἅπαντες πίστει καὶ πόθῳ, Μαρίαν τὴν ἄχραντον, Βάτον ἀκατάφλεκτον, ἣν εἶδε πάλαι Μωσῆς, καὶ ὡς Μητέρα τοῦ Θεοῦ πάντες δοξάσωμεν.

Ῥάβδον

Μαρία πανάχραντε Θεοκυῆτορ, σὲ Ῥάβδον γινώσκομεν τὴν Ἀαρωνῆτιδα, ἐβλάστησας γὰρ σαρκὶ, ἄνευ σποράς τὸν Ἰησοῦν, καὶ σὲ δοξάζομεν.

Στάμνον, καὶ Στήλην

Μομὴν τὴν φερέσβιον πᾶσι παρέχει, ἡ Στάμνος ἡ φέρουσα μάννα τὸ οὐράνιον. Στήλη, φωτίζουσα φῶς, τὸν νέον Κύριον Ἰσραήλ. διὸ σε δοξάζομεν.

Πλατυτέραν οὐρανῶν, καὶ Θρόνον

Ὁ κύριος ἔδειξέ σε πλατυτέραν Οὐρανῶν παντάχραντε, Θρόνον τε Χερουβικὸν, ἐν ᾧ αὐτὸς ὁ Χριστὸς ἐπαναπαύσατο· διὸ πιστῶς σὲ δοξάζομεν.

Νεφέλην, καὶ Λύχνην μυστικήν.

Νεφέλη ὁλόφωτε σὺ φωτιεῖς μου τὸν τὸν ἐν πάθεσιν ἡδονῶν σκοτούμενον· ὡς γὰρ Λύχνη μυστική, φέρεις τὸν ἥλιον Χριστὸν, μεθ' ὃν σὲ δοξάζομεν.

Ἄνασσαν.

Ἄνακτων τὸ καύχημα Νύμφη, τοῦ Λόγου. Ἄνασσα, δεῖξόν με ἀνώτερον τῶν ἐμοὶ κραταιῶς βασιλευόντων παθῶν, ἵνα δοξάζω σε.

Ἕτερος Κανών, Σωφρονίου Κυθήρων, οὗ ἡ ἀκροστιχίς.
Τὴν Μητέρα μέλψωμεν ἀῤῥήτου Λόγου.
Ἦχος ὁ αὐτός. Ὠδὴν ἐπινίκιον.

Θεῖαν παράσχου μοι Λόγε σοφίαν, ὑμνῆσαι τὴν ἄχραντον, τὴν ἀῤῥήτως τετοκυῖαν, σὲ τὸν ζωῆς χορηγὸν, ἀνακηρύττειν τε πιστοῖς τὰ μεγαλεῖα αὐτῆς.

Ἠκούσθη ἐξαίσιον θαῦμα παρθένου, παράλυτος ἔρρωται ἐν τοῖς καθ' ἡμᾶς καιροῖς, καὶ ἤλατο ἀληθῶς, ὥσπερ δορκὰς ὑμνολογῶν τὴν εὐσπλαχνίαν αὐτῆς.

Ναῷ νῦν προσέλθετε τῆς Ἀναλώμου, οἱ νόσοις τρυχόμενοι, δεινοῖς καὶ στερούμενοι, δυνάμεων φυσικῶν, ὅπως ὑγείαν ποθητὴν λάβητε πάντων κακῶν.

Μητέρα πανάσπιλον γεγενηκυῖαν, Υἱὸν Θεοῦ ἄναρχον, εὐφημοῦντες ἄσωμεν, τῶν χαρισμάτων πηγήν· ῥέει γὰρ ῥεῖθρα μυστικῶς πᾶσι τὴν ἴασιν.

Ἕτερος Κανὼν τοῦ αὐτοῦ, ἦχος β'.
Ἐν βυθῷ κατέστρωσέ ποτε.

Ἁγνὴν καθάρισον ἁγνή, τοῦ νοός μου Δέσποινα, καὶ καταλάμπρυνον νῦν τὴν σκοτόμαιναν, καὶ τὸν ζόφον τῆς καρδίας μου, σὺ δίδουσά μοι λόγον, ἡ τὸν λόγον τετοκυῖα· ἵνα ἐν αἰνέσει χαίρων σου ὑμνήσω τὰ θαυμάσια.

Ἁγία τετοκυῖα Θεὸν πάντων ἁγιώτατον σὺ καθοδήγησον Κόρη τὸν λόγον μου καὶ τὴν γλῶτταν κίνησον, μεγαλύναι εὐφροσύνως τὰ θαύματα, καὶ δοξολογῆσαι μόνην σε Δέσποινα τοῦ σύμπαντος.

Θαυμαστὸς καὶ λίαν εὐκλεὴς, δέδεικται Πανάχραντε, τῶν Μυρτιδέων ὁ πάνσεπτος οἶκός σου, εἰς τὸν κόσμον ἅπαντα· ἐν αὐτῷ καὶ γὰρ πᾶσι τοῖς προσπελάζουσι, ῥύσεις ἰαμάτων ἄφθονα χαρίσματα Θεόνυμφε.

Ὅλοψύχως ἤχθημεν πρὸς σέ, πάντες μετὰ πίστεως, τοῦ ἀνυμνῆσαι τὰ θεῖα θαυμάσια, καὶ τὰ μεγαλεῖά σου· διὸ ἄχραντε Θεοτόκε πᾶσιν ἡμῖν, δώρησαι πταισμάτων καὶ πλημμελημάτων τὴν συγχώρησιν.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.
Ὠδὴ γ'. Λέθον ὃν ἀπεδοκίμασαν.
Χαρὰν καὶ Σωτηρίαν.

Δεῦτε πάντες εὐφημήσωμεν, τὴν Χαρὰν τοῦ Κόσμου, ὅτι σωτηρία πᾶσιν ἐπεφάνη, τοῖς πάλαι αἰχμαλώτοις ἀλόγοις ἐν πάθεσι, καὶ τὴν ἀπάθειαν διδοῦσα, ἅπαντας πιστοὺς ἐστερέωσε.

Παρθένον.

Ὡραῖον Παρθενικὸν ἀπάνθισμα, τὸ τῆς παρθενίας καύχημα καὶ κλέος, καὶ μητέρων δόξα· σὺ γὰρ τῆς παρθενίας τὰ κλεῖθρα πεφύλαξαι, Χριστὸς ἐκ σοῦ κόρη τεχθείς, ἅπαντας πιστοὺς ἐστερέωσε.

Παράδεισον. Λειμένα.

Σὺ εἶ λογικὸς Παράδεισος, πάντες σὲ ὑμνοῦμεν, Λειμὼν τῶν ἐν ζάλῃ κλυδωνιζομένων, θαλάσσης κυμαινούσης τοῦ βίου πλωτήρων τε σῶσον Παρθένε τῶν δεινῶν, ἅπαντας πιστοὺς καὶ στερέωσον.

Σκηνήν.

Ὅλος οὐρανόθεν ἦλυθεν ὁ Λόγος τοῖς κάτω, καὶ Σκηνὴν ἁγίαν καθαρὰν εὑρών σε, ὅλως ἐν σοὶ Παρθένε ἀῤῥήτως κατῴκησεν, οὐδόλως τῶν ἄνωθεν ἀπών· σῶσόν με, διὸ καὶ στερέωσον.

Κλίμακα.

Εἶδεν Ἰακὼβ σε Κλίμακα, οὐρανοῦ Παρθένε, δι' ἧς καὶ κατέβη ὁ Θεὸς τῶν ὅλων, καὶ σάρκα τὴν βροτείαν ἀῤῥήτως προσείληφε καὶ καθηγίασεν αὐτὴν, καὶ τῷ Πατρὶ φίλην κατέστησε.

Κολυμβήθραν.

Κάθαρσιν ψυχῆς καὶ σώματος, δὸς κἀμοὶ Παρθένε· σὺ γὰρ ἐκκαθαίρεις μολυσμοὺς πταισμάτων, ὅτι Κολυμβήθρα σωτήριος δείκνυσαι, δι' ἧς σωζόμεθα πιστοὶ καὶ σωτηρίᾳ στερεούμεθα.

Ὁ αὐτός. Στερεωθήτω ἡ καρδία μου

Νῦν ἐπληρώθη ῥῆσις λέγουσα. Ἡσαΐου τότε ὡς ἔλαφος, χωλὸς ἁλεῖται· ἰδοὺ γὰρ παραλύτου ὡς ἔοικε, σφυρὰ διελύθησαν, ὄντως θαῦμα παράδοξον.

Πὴν πρὸ τοῦ τόκου θεονύμφευτον, ἐν δ' αὐτῷ τῷ τόκῳ πανάφθορον, καὶ μετὰ τόκον ἀληθῶς, ἀειπάρθενον ἅπαντες, ἀνυμνήσωμεν βοῶντες· χαῖρε κόσμου διάσωσμα.

Εὖα τὸ πρὶν κατάρας γέγονε, καὶ φθορᾶς αἰτία τοῖς ἅπασι, σὺ δὲ Παρθένε τηλαυγῶς, εὐλογίας καὶ χάριτος, πέλαγός τε ἰαμάτων, καὶ πηγὴ ἀνεξάντλητος.

Ῥήσεις σε κλίνην Σολομόντειον, δυνατῶν κυκλούντων σε Πάναγνε, ἀνακηρύττουσι φαιδρῶς, ἐξ ἧς πᾶς προσερχόμενος, μετὰ πίστεως λαμβάνει, αἰτημάτων τὰ ἔπαθλα.

Ἄλλος. Τῆς πίστεως ἐν πέτρᾳ.

Εὐχόμενος ἐν πνεύματι καὶ καρδίᾳ ὁρῶν αὐτὸν τελείως ἐατρευθέντα, παράλυτος ὑπάρχων πρὶν ὁ σὸς δοῦλος ἀγνὴ ἐδόξαζε τὰ μεγαλεῖά σου, σὺ μου, εἶ βοήθεια, κράζων, Πανάχραντε.

Ὁ πλεῖστος ὄχλος κόρη τῶν Κυθηραίων, συνήχθη μετὰ πόθου ἐν τῷ ναῷ σου, ὑμνῶν καὶ μεγαλύνων ἀκαταπαύστως τὴν θαυματούργησιν, ὅτι συνέψυξας τὸν ποτὲ παράλυτον, δόξα τῇ δόξῃ σου.

Μεγάλως ἐδοξάσθη ὁ θεῖος οἶκος, ὁ σὸς Θεοκυῆτορ τῶν Μυρτιδίων, ἐν ταύτῃ σου τῇ νήσῳ τῶν Κυθηραίων, ἐν κόσμῳ δὲ παντὶ μακαριοῦσί σε, ἐν αὐτῷ γὰρ ἤγειρας τὸν παράλυτον.

Καλῶς προεμηνύθης ἡ κολυμβήθρα, προβατικὴ ἡ πάλαι τῶν ἰαμάτων· πηγὴ γὰρ ἀνεδείχθης ὥσπερ ἐκείνη ἤγειρε παράλυτον, καὶ σὺ πανάχραντε, σήμερον ἐάτρευσας τὸν νέον παράλυτον.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.
Κάθισμα ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη εὐλαβῶς, τῶν Κυθηραίων ὁ λαὸς, καὶ ἐλάμβανεν εἰς νοῦν, τῶν

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΑΣ ΚΑΙ ΓΡΑΜΜΑΤΩΝ ΙΔΡΥΜΑ ΑΝΤΩΝΙΟΥ Γ. ΛΟΥΚΟΠΟΥΛΟΥ ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΤΡΑΓΑΣ

ἀκενώτων δωρεῶν, πηγήν σε εἶναι Θεότυμφε καὶ Παρθένε, ἀνανδρον, Παρθένον καὶ πανέντιμον, πύλην κεκλεισμένην τοῦ Θεοῦ ἡμῶν, καὶ ἱερὸν παλάτιον τοῦ Λόγου, καὶ πλάστου Πατρὸς τοῦ Ὑψίστου, τοῦ γεννηθέντος, σπέρματος δίχα, ἐκ τῆς νηδύος σοῦ τῆς Θεόπαιδος.

Δόξα, καὶ νῦν, ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Μαρία καθαρόν, τοῦ Σωτῆρος δοχεῖον, καὶ πάντων τῶν πιστῶν καύχημά τε τὸ θεῖον, συμφώνως γεραίρομεν, εὐφημοῦντες τὴν δόξαν σου· σὺ γὰρ πέφηνας τῶν ἀσθενούντων ἡ ῥῶσις· σὺ δὲ γέγονας ἁμαρτωλῶν σωτηρία, καὶ πάντων βοήθεια.

Ἑωθινὸν δ'. Ἐν πνεύματι προβλέπων.

Ἀστέρα.

Ἀνέτειλεν ἐν κόσμῳ λαμπρότατος Ἀστήρ, ἡ Παρθένος Μαρία, ἐμφαίνουσα πιστοῖς, δικαιοσύνης τὸν ἥλιον Χριστὸν Δεσπότην, καὶ καταυγάζουσα πόθῳ πάντας κραυγάζειν, δόξα σοι ἀγνὴ θεοδόξαστε.

Αὐχένα ὁδηγόν.

Ἰδοὺ πάντες σε ἔγνωμεν, Αὐχένα φωτεινὴν τὸ φῶς ἀστράπτουσαν τὸ θεῖον τοῖς πιστοῖς, καὶ ὁδηγὸς σωτηρίας σὺ ἁγνὴ ὑπάρχεις· διὸ πρὸς φῶς ὁδήγησον καμέ σοι κράζειν, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Νεφέλην ὀμβροτόκον.

Νεφέλην ὀμβροτόκον σε εἶδε Γεδεών, τὸν ὄμβρον τῆς χάριτος κατέχουσαν, Χριστόν· ὄμβρησον οὖν τὴν καρδίαν μου ἐξηραμένην, καὶ σωτηρίαν δρόσισόν με τοῦ βοᾶν σοι, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Ὄρος κατάσκιον.

Ὄρος τὸ κατάσκιον, ὃ εἶδεν Ἀββακούμ, σὺ ὑπάρχεις Δέσποινα, μητρόθεν ἀγνή, ἐσκιασμένη τῷ Πνεύματι τῷ ἁγίῳ· σκέπασον οὖν με τῇ σῇ χάριτι βοᾶν σοι, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Ναὸν Θεοῦ.

Ναὸν ἡγιασμένον κηρύττομεν ἁγνή, ἐν ᾧ σαρκὶ κατῴκησεν ὁ Ὕψιστος Θεός, συνομιλήσας ἀνθρώποις· διὸ Παρθένε, ναὸν αὐτοῦ, καμὲ ποίησον ἕνα κράζω, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Πύλην.

Πύλην σε κεκλεισμένην εἶδεν Ἰεζεκιήλ, δι' ἧς διῆλθε Χριστὸς καὶ ὤφθη ἐν σαρκί, ἐσφραγισμένην φυλάξας σε αὐθις κόρη· διὸ καὶ Πύλην γεραίρομεν σωτηρίας, δόξα σοι ἁγνὴ θεοδόξαστε.

Ὁ αὐτός. Ἐν πνεύματι προβλέπων.

Ἀκούσωμεν προφήτου βοῶντος, ὦ πιστοί, δόξα πᾶσα ἔσωθεν αὐτῆς τῆς θυγατρὸς τοῦ βασιλέως καὶ μόνου δυνάστου, αὐτὸς γὰρ ταύτην τῆς φύσεως ἀνωτέραν, καὶ ἁγιωτέραν εἰργάσατο.

Ναὸς τῶν Μυροτιδίων ἡμᾶς τοὺς γηγενεῖς, συγκαλεῖται σήμερον πάντερπνον προστιθεὶς τὴν πανδαισίαν πάντων τῶν χαρισμάτων, ψυχῆς ὁμοῦ τε καὶ σώματος, δεῦτε πάντες πνευματικῶς κατατρυφήσωμεν.

Μεγάλων χαρισμάτων θυθὸν σε ἀληθῶς, Χριστὸς ἐποιήσατο γενόμενος ἐκ σοῦ, ἄνθρωπος φύσει τέλειος, οὐ δοκήσει· διὸ πάντες ὀρθοδόξως ὁμολογοῦμεν, κυρίως Θεοτόκον καὶ Δέσποιναν.

Ἔχουσα παρρησίαν θρόνῳ τοῦ σοῦ Υἱοῦ, Θεομῆτορ ἄχραντε δυσώπησον καὶ νῦν, τοῦ λυτρωθῆναι παγίδων τοῦ διαβόλου, ἡμᾶς τοὺς πόθῳ τὰ σὰ ὑμνοῦντας μεγαλεῖα καὶ δοξολογοῦντας τὴν μνήμην σου.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου.

Ἠγάλλετο εὐφροσύνως πιστῶς, ὁ Θεόδωρος ὁ πρώην παράλυτος, ὅλον ὁρῶν ἀξιούμενον, ἑαυτὸν τῆς χάριτος, καὶ δωρεᾶς τῆς θείας, ὑμνολογῶν τὴν εὐσπλαγχνίαν σου.

Τὸ θαῦμά σου καταπλήττει πιστῶν τὴν διάνοιαν, Θεομῆτορ ἄχραντε· διὸ τὴν θείαν Εἰκόνα σου, πόθῳ ἀσπαζόμενοι, σὲ μεγαλύνομεν, ταύτην προσκυνοῦντες ἑκάστοτε.

Ὡς φύλακα βοηθὸν καὶ ἐπίκουρον Ἄχραντε, πάντες σε κεκτήμεθα, παντοίαις ἐν περιστάσεσι, καὶ νῦν σοι προσπίπτοντες, ἐπικαλούμεθα μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας.

Ἀνύμφευτε ἡ Θεὸν σωματούμενον τεκοῦσα, σῶσον μὲ παράλυτον γεγενημένον τοῖς πταίσμασι, καὶ τῶν μωλώπων ἴασιν, ψυχῆς καὶ σώματος, ὡς συμπαθεστάτη μοι δώρησαι.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ἑωθινὸν ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Μητέρα Θεοῦ.

Ἀνύμφευτον πανάχραντον Μητέρα τοῦ Θεοῦ, πάντες οἱ πιστοὶ σὲ πόθῳ δοξάζομεν, καὶ μεγαλύνομεν τὸν τόκον σου· χαῖρε Μῆτερ Κυρίου, χαῖρε δεδοξασμένη.

Θαῦμα Μέγα.

Ῥητρεύειν οὐ δύναται γλῶττα οὐδενός, βρότειος ἁγνὴ τὸ μέγιστον θαῦμά σου· τὸν ὑψιμέδοντα γὰρ τέτοκας, τὸν δόντα σωτηρίαν πᾶσι τοῖς σὲ τιμῶσι.

Θεμέλιον Ὄχημα.

Θέμεθλον τῆς πίστεως καὶ ὄχημα μυστικόν, ἐν ᾧ Χριστὸς ὁ βασιλεὺς ἀνεπαύσατο, καὶ τὴν ἡμῶν πίστιν ἐστερέωσε, κηρύττομέν σε πάντες ὑπερευλογημένη.

Ἐλπίδα.

Ἐλπὶς καὶ καταφύγιον ἁπάντων εὐσεβῶν, πέφυκας Παρθένε ἁγνὴ θεοδόξαστε· διὸ κἀγὼ βοῶ σοι ὁ πανάσωτος, σῶσόν με Κόρη, σῶσον, τὸν σὸν ἀχρεῖον δοῦλον.

Λουτῆρα.

Νοός μου τὴν κατήφειαν ἐκδίωξον ἁγνή, ἀπόπλυνον τὴν ῥύπον τῆς συνειδήσεως· σὺ γὰρ λουτὴρ ὑπάρχεις σωτήριος· ὦ γλυκυτάτη κόρη, σῶσόν με τὸν σὸν δοῦλον.

Δοχεῖον.

Εὐλογημένη Πάναγνε, Δοχεῖον καθαρόν, τοῦ πᾶσαν ἐν θρακὶ τὴν κτίσιν κατέχοντος, δοχεῖον καμὲ τῆς αὐτοῦ χάριτος ἔργασαι τὸν σὸν δοῦλον, ὦ γλυκυτάτη Κόρη.

Ὁ αὐτὸς Εἱρμός. Τὴν σὴν εἰρήνην.

Αὐχένα σε γνώσκομεν Μαρία σεμνή, μετὰ λαμπαδίων χρυσῆν τὴν ἑπτάφωτον· σὲ γὰρ ἡ χάρις ἐπεσκίασε, πνεύματος μυστηρίων ἑπτάκτινος καὶ θεία.

Ψεκάδα τὴν οὐράνιον ἐδέξω, ἐν γαστρί, ἐπελεύσει θείου Πνεύματος παρὰ τοῦ Πατρός, καὶ σὰρξ ὁ λόγος ἐχρημάτισε, καθ' ἡμᾶς ἄνευ ῥύπου, Παρθενομήτωρ κόρη.

Ὦ μέγα τὸ μυστήριον τοῦ τόκου σου ἁγνή, ὄντως ἀκατάληπτον καὶ ἀνεξιχνίαστον, Θεὸς ἀνθρώποις πεφανέρωται, ἐν δυσὶν οὐσίαις, ἀτρέπτως, ἀσυγχύτως.

Μυστήριον ἀνώτερον τῶν τοῦ Θεοῦ, τεραστίων πάντων ἐν σοὶ πεφανέρωται· ὁ γὰρ ἐκ Πατρὸς υἱὸς ἀμήτ-

ΕΘΝΙΚΟ ΜΕΤΣΟΒΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΜΕΛΗΤΗΡΕΣ ΠΑΠΑΔΑΤΟΥ

τωρ, νῦν ἐκ σοῦ ἀπάτωρ γεννᾶται κατὰ σάρκα.

Ἄλλος. Μεσίτης Θεοῦ.

Ῥημάτων φωνῶν, καὶ τῶν δακρύων Δέσποινα ὑπήκουσας, τοῦ παρακαλοῦντός σε, πίστει καὶ πόθῳ παραλύτου ποτὲ καὶ ταχέως τὴν ῥῶσιν αὐτῷ τελείως ἔνειμας.

Ἰδοὺ, ὁ λαὸς ὁ τῶν Κυθήρων πάναγνε τὸ μέγιστον, τῆς θαυματουργίας σου, πάντες τῷ Ναῷ σου νῦν προστρέχοντες, εὐχαριστοῦντες ἐν πίστει συμφώνως σὲ δοξάζουσι.

Ἀγάλλεται νῦν, καὶ χορεύει μυστικῶς ἅπαν τὸ πλήρωμα, τῶν πιστῶν πανάχραντε, ἐν τῇ πανευσήμῳ πανηγύρει σου, τῆς σῆς μνήμης τιμῶντες τὴν τεσσαρακονθήμερον.

Λυτροῦται πασῶν ἀναγκῶν καὶ πειρασμῶν ἡ νῆσος Δέσποινα, ἔχουσα προστάτιν σε ἀρωγὸν καὶ φύλακα καὶ πρόμαχον, καὶ γεραίρει, διό σου, λαμπρῶς τὴν ἐπιείκειαν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα
ὨΙδὴ ϛ΄. Τὸν Προφήτην Ἰωνᾶν.

Καθέδραν.

Μακαρίζω σε ἀγνή, τὴν καθέδραν τοῦ Θεοῦ, ἣν ἡγίασεν αὐτός, καὶ καθήσας ἐπὶ σέ, παρέχεται τὴν σωτηρίαν, τοῖς σὲ δοξάζουσι.

Καταφύγιον.

Ἅσμασι μελῳδικοῖς, ἀνυμνοῦμέν σε λαμπρῶς, τὴν Μητέρα τοῦ Θεοῦ, καταφύγιον τερπνόν, ἁπάντων γὰρ πιστῶν ὑπάρχεις τῶν δοξαζόντων σε.

Ηγήν.

Ῥητορεῦσαι ἀτονεῖ, πᾶσα γλῶσσα εὐπρεπής, μεγαλεῖά σου ἀγνή· σὺ γὰρ πέφυκας ἡμῖν, πηγὴ ζωῆς καὶ σωτηρίας, τοῖς σὲ δοξάζουσι.

Τράπεζαν.

Ἰδοὺ τέθηκεν ἡμῖν, ὁ τῆς κτίσεως Σωτήρ, τὴν Μητέρα ἑαυτοῦ Τράπεζαν ὡς μυστικήν, ἐκτρέφουσαν, τῷ θείῳ ἄρτῳ τοὺς προσιόντας πιστῶς.

Κρατῆρα.

Ἀνυμνοῦμεν εὐσεβῶς τὴν Μητέρα τοῦ Θεοῦ, Κρατῆρα τῆς ζωῆς, τὸν προχέοντα ἡμῖν, τὰ Ἁγνάματα τῆς σωτηρίας, ἣν προσκυνήσωμεν.

Μεσίτειαν.

Μεσιτείας τῶν πιστῶν, ἔγνωμεν πρὸς τὸν Θεόν, τὴν πανάχραντον ἀγνήν, ἣν καὶ προβαλλόμεθα, πρὸς τὸν Σωτῆρα τοῦ ἐλεῆσαι ἡμᾶς.

Ὁ αὐτὸς εἱρμός. Τὸν Προφήτην.

Ἐορτάσωμεν πιστοί, ἑορτὴν πάντες καινὴν τῆς Παρθένου καὶ ἀγνῆς βασιλίσσης τοῦ παντός, ἴδωμεν γὰρ τὸν παρεστῶτα συνεορτάζοντα.

Νίκην ἔσχηκας σεμνὴ κατὰ νόσων φθαρτικῶν ὡς τοῦ μόνου ἰατροῦ, τῶν σωμάτων καὶ ψυχῶν, ὑπάρχουσα μήτηρ καὶ παῖς, ὧ τῶν ὑπὲρ ἔννοιαν.

Ἀπελύθησαν σφυρά, παραλύτου ἐκ μητρός, τοῦ ἰάσαντος φρικτῶς, παρειμένους ῥήμασι· δύναμις γὰρ Υἱοῦ τυγχάνει τῇ ἐξουσίᾳ Μητρός.

Ῥητορεύει ἐμφανῶς, ὁ γραμμάτων ἄπειρος καὶ κηρύττει ἅπασι μεγαλεῖα τῆς Μητρός, ἐξαίσια τῆς Θεοτόκου λαβὼν τὴν ἴασιν.

Ἄλλος. Ἐν ἀβύσῳ πταισμάτων.

Σωτηρίας σφραγὶς κόρη πέφυκας, Μῆτερ ἀειπάρθενε τοῖς προσπελάζουσιν, ἁγνὴ τῷ θείῳ οἴκῳ σου, καὶ τιμῶσι πιστῶς τὴν εἰκόνα σου.

Μόνη γέγονας κόρη ἀντέλῃψις, ταύτης σου τῆς νήσου Θεὸν ὡς γεννήσασα, καὶ ἀνοδρίας ἔλυσας, τὸν αὐχμὸν καὶ τὴν γῆν κατεδρόσισας.

Ἀνηγέρθη ὁ πάνσεπτος οἶκός σου, πάναγνε Θεόνυμφε παρὰ τῶν δούλων σου, καὶ ἐν αὐτῷ κατῴκησας, καὶ πηγὰς ἀναβλύζεις ἰάσεων.

Λύτρωσόν με Παρθένε τῶν δεῖλαιων, πάσης περιστάσεως καὶ κατακρίσεως, ἐχθρῶν ἐπεμβαινόντων μοι, καὶ κολάσεως ῥῦσαι τὸν δοῦλόν σου.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον, ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῇ Θεοτόκῳ οἱ πιστοὶ νῦν προσπελάσωμεν, ὡς χορηγοῦσῃ τοῖς πιστοῖς πᾶσιν ἰάματα, ἀναμέλποντες ἐφύμνια μετὰ πόθου· ἀλλ' ὡς ἥγειρας παράλυτον Θεόνυμφε, ἀπὸ πάσης ἡμᾶς ῥῦσαι περιστάσεως, τοὺς σοὶ κράζοντας, χαῖρε δόξα παγκόσμιος.

Ὁ Οἶκος.

Ἄγγελοι ἀοράτως, καὶ βροτῶν πᾶσα φύσις, συμφώνως ἀνυμνήσωμεν πάντες, τὴν πανθαύμαστον Θεοτόκον ἁγνήν· πολλῶν γὰρ θαυμάτων αὐτουργὸς πέφηνε, καὶ ταύτην χαρμοσύνως εὐφημήσωμεν, πιστῶς βοῶντες.

Χαῖρε Παρθένε Μῆτερ Κυρίου.
Χαῖρε ἀρχὴ μυστηρίου θείου.
Χαῖρε ἀνομβρίας αὐχμὸν καταπαύουσα.
Χαῖρε ἐναντίους ἐχθροὺς καταθραύουσα.
Χαῖρε, ὅτι τὸν παράλυτον καθυγείωσας λαμπρῶς.
Χαῖρε, ὅτι τῶν προσφύγων σου προστατεύεις ἐναργῶς.
Χαῖρε, ὅτι τῶν Κυθηραίων πέλεις καύχημα πάντων.
Χαῖρε παντὸς τοῦ κόσμου ὑπερμέγιστον θάμβος.
Χαῖρε δι' ἧς ἡ χαρὰ ἐπέλαμψε.
Χαῖρε δι' ἧς ἡ λύπη κατέπαυσε.
Χαῖρε ἁγνὴ ἀσθενῶν ἰατρεία.
Χαῖρε πάντων τῶν πιστῶν σωτηρία.
Χαῖρε δόξα παγκόσμιος.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΛΟΓΟΤΕΧΝΙΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ΤΗ ΚΔ΄, ΤΟΥ ΣΕΠΤΕΜΒΡΙΟΥ ΜΗΝΟΣ ΠΟΙΟΥΜΕΝ ΕΝΘΥΜΗΣΙΝ ΤΟΥ ΘΑΥΜΑΤΟΣ
ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ
ΘΕΟΤΟΚΟΥ ΤΩΝ ΜΥΡΤΙΔΙΩΝ
ΕΝ ΤΗ ΝΗΣΩ ΚΥΘΗΡΩΝ ΟΤΕ ΤΟΝ ΠΑΡΑΔΥΤΟΝ ΗΓΕΙΡΕ

Στίχοι : Τέρας νεουργὸν εὐλογῶ τῆς Παρθένου
Ἔσαγγε καὶ γὰρ νῦν μέλη παρειμένα
Εἰκάδι ἁμφὶ τετάρτῃ ἔρρωται παράλυτος.

Εἰς τὴν νῆσον τῶν Κυθήρων ὑπῆρχεν ἕνας ἐρημότοπος λεγόμενος Μυρτίδια (διότι ὅλος ἦτον διασωμένος ἀπὸ μυρτιαῖς) καὶ ἀκατοίκητος, ἀφοῦ μόνον τὰ ζῶα τῶν ἀγροίκων ἔβοσκον ἐκεῖ. Ἐκεῖ μετέβαινε κάποιος εὐλαβὴς χριστιανός, ὅστις ὁδηγηθεὶς ἀπὸ κάποιαν θεωρίαν ὅπου εἶδεν εἰς τὸν ὕπνον του, ἔχων δὲ καὶ περισσὴν εὐλάβειαν εἰς τὴν κυρίαν Θεοτόκον ἐπήγανε συχνότερα εἰς αὐτὸν τὸν τόπον καὶ ἱστάμενος ἐκεῖ, στοχαζόμενος τοῦ τόπου τὴν ἀγριότητα, ἤκουσε φωνὴν ἀοράτως ἡ ὁποία τοῦ ἔλεγεν : Ἂν μὲ ζητήσῃς ἐδῶ κοντά, εὑρίσκεις τὴν εἰκόνα μου, καὶ εἶναι καιρὸς ὅπου ἦλθα καὶ εὑρίσκομαι ἐδῶ διὰ νὰ δώσω βοήθειαν εἰς τοῦτον τὸν τόπον. Ἀκούων δὲ τὴν φωνὴν ὁ εὐλαβὴς ἐκεῖνος Χριστιανὸς καὶ στρέφων ἔνθεν κἀκεῖθεν διὰ νὰ ἴδῃ ποῖος εἶναι ἐκεῖνος ,ὁ ὁποῖος ὡμίλοῦσε καὶ μὴ βλέπων κανένα ἔμεινε περίφοβος καὶ κάμνων τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ εἶπε : Κύριε Ἰησοῦ Χριστὲ βοήθει μοι καὶ σὺ Κυρία μου καὶ Δέσποινα ὅπου ἔχεις πολλῶν τὴν παρρησίαν πρὸς τὸν μονογενῆ σου Υἱόν, μὴν ἀργήσῃς νὰ μοῦ φανερώσῃς, ἂν εἶναι τὸ θέλημά σου, τὴν φωνὴν ταύτην ὅπου ἤκουσα, τί εἶναι. Καὶ θαρρῶν πῶς ἡ φωνὴ αὐτὴ ἦτο διὰ καλόν, παρημερίζων ὀλίγον ὅσὰν νὰ ἐγύρευε τὸ ποθούμενον, θεωρεῖ μέσα εἰς μίαν μυρτιὰν εἰκόνα τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. Εὐθὺς ὁποῦ τὴν εἶδεν ἔλαβε μεγάλην χαρὰν, καὶ ἐγνώρισε πῶς ἡ φωνὴ ὁποῦ ἤκουσεν ἦτον ἀπὸ τὴν Ὑπεραγίαν Θεοτόκον καὶ τὸν ὡδήγησεν ἐκεῖ διὰ νὰ εὕρῃ αὐτὴν τὴν ἁγίαν εἰκόνα. Ἔπεσε λοιπὸν καὶ τὴν ἐπροσκύνησε καὶ μετὰ δακρύων καὶ εὐχαριστιῶν τὴν ἠσπάσθη· ἠσθάνετο δὲ πολλὴν εὐωδίαν θυμιαμάτων εἰς τὸν τόπον ἐκεῖνον. Εὐθὺς λοιπὸν βοηθούμενος ἀπὸ τὴν θεομητορικὴν δύναμιν, ἤρχισε καὶ ἔκοπτε τὸ δάσος· καὶ καθαρίσας τὸν τόπον ἐκεῖνον κατὰ τὸ δυνατόν του, ἔκτισεν ἐκεῖ μικρὸν ναὸν τῆς Θεοτόκου, καὶ ἔθεσεν εἰς αὐτὸν τὴν ῥηθεῖσαν ἁγίαν εἰκόνα καὶ τὴν ἐπωνόμασε Μυρτιδιώτισσαν, ὡσὰν ὁποῦ τὴν εὗρεν ἐν ταῖς μυρτίαις· καὶ οὕτω ὁ τόπος ἐκεῖνος μέχρι τῆς σήμερον λέγεται Μυρτίδια, διὰ τὴν ἀφορμὴν τοῦ παλαιοῦ ἐκείνου δάσους. Ἔκαμε δὲ καὶ αὐτὸς μικρὸν κελλίον καὶ γενόμενος μοναχὸς ἐκατοίκησεν ἐκεῖ, λατρεύων μετὰ πάσης εὐλαβείας πάντοτε αὐτὴν τὴν ἁγίαν καὶ θαυμαστὴν εἰκόνα. Ἀπὸ ὀλίγον εἰς ὀλίγον ἐκαθάρισε τὸ μυρτερὸν ἐκεῖνο δάσος, ἐπλάτυνεν ἡ φήμη καὶ ἡ εὐλάβεια τῶν χριστιανῶν καὶ προσέτρεχαν συνεχῶς μὲ πολλὰς ἐλεημοσύνας εἰς προσκύνησιν τῆς ἱερᾶς αὐτῆς εἰκόνος καὶ πολλὰ θαύματα ἔκαμεν εἰς ὅσους προσέτρεξαν μὲ εὐλάβειαν καὶ πίστιν, εἰς τόσον ὁποῦ ἐξηπλώθη ἡ δόξα της εἰς ὅλον τὸν κόσμον. Ἀποθανόντος δὲ αὐτοῦ, ἔμεινεν ὕστερα κάποιος μοναχὸς εὐλαβής, Λεόντιος ὀνομαζόμενος, ὁ ὁποῖος ηὔξησε τὸν αὐτὸν ναὸν καὶ τὰ κελλία καὶ ἐκατάστησε Μοναστήριον.

Κάποιος εὐλαβὴς ἀπὸ τοὺς χωρικούς, ὀνομαζόμενος Θεόδωρος Κουμπανιός, ἔχων ξεχωριστὴν εὐλάβειαν εἰς τὴν ἁγιωτάτην καὶ θαυμασιωτάτην εἰκόνα, ἔκτὸς ἀπὸ τὰς ἄλλας λειτουργίας καὶ πανηγύρεις ὁποῦ ἔκαμνεν εἰς αὐτὸ τὸ Μοναστήριον, εἶχε συνήθειαν καὶ ἔπερνεν ὅλους τοῦ τοὺς συγγενεῖς καὶ φίλους καὶ ἐπήγαιναν ὕστερα ἀπὸ τὴν Κοίμησιν τῆς Θεοτόκου σαράντα ἡμέρας, ὁποῦ εἶναι ἡ ΚΔ΄. καὶ ἔκαμναν μὲ εὐλάβειαν λειτουργίαν καὶ πανήγυριν ἐκεῖ· καὶ ἀπὸ τότε ἐσυνηθίσθη ἡ αὐτὴ ἑορτὴ νὰ γίνεται καὶ εἰς ὅλην τὴν νῆσον.

Ἔτυχε, μετὰ καιρόν, καὶ σφοδρῶς ἀσθενήσας ὁ αὐτὸς Θεόδωρος ἐκατεστάθη παράλυτος, καὶ ἐκατέκειτο εἰς τὸν κράββατον χρόνους πολλούς· ἐπειδὴ δὲ καὶ αὐτὸς κατὰ τὸν καιρὸν διὰ τὴν δεινὴν αὐτοῦ ἀσθένειαν δὲν ἠδύνατο νὰ ὑπάγῃ εἰς τὴν συνειθισμένην του ἑορτήν, ἔπεμπεν ὅμως πάντοτε τὰ παιδιά του, καὶ τοὺς συγγενεῖς του καὶ ἔκαμνεν εὐλαβῶς τὴν πανήγυριν μὲ ἐλεημοσύνην πλουσιοπάροχον εἰς τὸ Μοναστήριον. Ἡ πίστις αὐτοῦ καὶ ἡ εὐλάβεια δὲν ὠλιγόστευε ποτέ, μόνον καὶ μακρόθεν ἀπὸ τὴν κλίνην του μετὰ δακρύων προσευχόμενος ἔλεγε : Κυρία μου Μυρτιδιώτισσα, ἐλέησόν καὶ ἐμένα τὸν ἁμαρτωλόν, ἐσὺ ὅπου εἶσαι ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ καταφυγὴ καὶ ἐπίσκεψις ἐκείνων ὁποῦ σὲ ἐπικαλοῦνται, ἡ σκέπη καὶ προστασία ἐκείνων ὁποῦ σὲ παρακαλοῦσι, βοήθησον κἀμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀναξίῳ δούλῳ σου καὶ ἀξίωσόν με τῆς ποθουμένης ὑγείας, νὰ ἔλθω σωματικῶς κἂν τὸν ἐρχόμενον χρόνον προὶν τελειώσῃ ἡ ζωή μου νὰ προσκυνήσω τὴν ἁγίαν σου εἰκόνα.Ταῦτα καὶ ἄλλα περισσότερα λόγια εὐλαβείας ἔλεγε μετὰ δακρύων ὁ αὐτὸς Θεόδωρος κάθε χρόνον καὶ πάντοτε ἐδόξαζε καὶ ἔκαμνε τὴν ἑορτὴν κατὰ τὴν συνήθειαν. Μετὰ δὲ χρόνους ὁποῦ ἦτο παράλυτος, φθάνοντος τοῦ καιροῦ τῆς συνηθισμένης ἑορτῆς, ἀφ' οὗ ἔγινεν ἡ χρειαζομένη ἑτοιμασία νὰ κινήσουν ὅλοι, κράζει ὁ αὐτὸς Θεόδωρος τὰ παιδιά του καὶ λέγει των κλαίων : Ἀδελφοὶ καὶ τέκνα, φίλοι καὶ συγγενεῖς, ἐγὼ βλέπω τὸν ἑαυτόν μου εἰς ταύτην τὴν πολυχρόνιον καὶ πολύτονον παραλυσίαν καὶ τρόπος ἰατρείας δὲν εὑρίσκεται εἰς ἐμένα· λοιπὸν παρακαλῶ σας νὰ ἑτοιμάσετε κράββατον διὰ νὰ μὲ σηκώσετε νὰ μὲ πάρετε, κἂν μὲ τοὺς ὀφθαλμούς μου νὰ ἰδῶ καὶ νὰ προσκυνήσω τὴν ἁγίαν εἰκόνα τῆς Κυρίας μου τῆς Μυρτιδιώτισσας, ἴσως κάμῃ εὐσπλαγχνίαν εἰς ἐμένα τὸν ἄθλιον, καθὼς κάμνει εἰς ὅλους ὁποῦ τὴν ἐπικαλοῦνται. Αὐτοὶ δὲ ἀκούσαντες τέτοια λυπηρὰ λόγια πίστεως, εὐλαβείας καὶ κατανύξεως γέμοντα, ἡτοίμασαν τὸν κράββατον καὶ τὸν ἐπῆραν ὑπὸ τεσσάρων αἰρόμενον, καὶ φέροντές τον εἰς τὸν ναὸν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν τῶν Μυρτιδίων, τὸν ἔθεσαν καθὼς ἐζήτησεν ἔμπροσθεν τῆς σεβασμίας εἰκόνος.

Ἔχει σε Μάρτυς, πᾶσα ἡ Χίος προστάτιν Παρασκευήν, ἥνπερ διέσωσας πάλαι κατακλυσμοῦ, καὶ πρεσβείαις σου πανεύφημε, Χριστὸν τὸν Κύριον εὐμενῆ εὑρίσκει καὶ ἵλεων.

Θεοτοκίον.

Ἀπὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε, διὰ σοῦ γὰρ δέδοται ἡ χαρά. Θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Οὐκ ὄντας θεούς, ἀλλὰ ψευδῆ, δαιμόνων φάσματα, Μάρτυς ἀπέδειξας, καὶ κατηδάφισας τέλεον, καὶ εἰς τέλος κατελέπτυνας, ἐν εὐφροσύνῃ τῷ Χριστῷ ἀπαύστως μέλπουσα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ναοῦ δονηθέντος ἐπὶ γῆς, ἐπιφοιτήσει σεμνῇ, Ἀπόλλωνι πέπτωκε, καὶ κατηκόντισται ξόανα, ἐνεργείᾳ τοῦ ἀχράντου Σταυροῦ, δι' οὗ φραχθεῖσα μυστικῶς ἐν παρρησίᾳ πολλῇ ἀνεβόας, πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Φόβων τῶν κινδύνων τοὺς λαούς, τῆς Χίου κράζοντας, Μάρτυς ἐλέησον, τοῖς αὐτῶν καμφθεῖσα δάκρυσι, πρὸς Χριστὸν τὰς χεῖρας ἄρασα, Παρασκευὴ πανευκλεής, τούτους ἀπήλλαξας, ἐκβοῶντας· Παρθενομάρτυς ταῖς λιταῖς σου, σῶσον ἡμᾶς τοὺς ἱκέτας σου.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς Θεότητος γέφυρα, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες, σὲ εὐλογοῦμεν, Μαρία Θεόνυμφε.

Ὠδὴ θ'. Λέων ἀχειρότμητος

Ψευστῆς βιοτῆς καὶ προσκαίρου, Μάρτυς θεόφρον ἀντηλλάξω, κάλλος τὸ ἀμήχανον ὁρᾶν, τοῦ σοῦ Νυμφίου ἐπειγομένη τρανῶς, ὅθεν στεφάνων ἔτυχες, τῶν ἀκηράτων καλλιπάρθενε.

Ἀκούσασα φωνῆς βεβαιούσης, Παρασκευή σου τὰς αἰτήσεις, θεῖας οὐρανόθεν καὶ τὸν δρόμον, προθύμως Μάρτυς σεμνὴ διήνυσας· καὶ πρὸς αὐτὸν ἀνέδραμες, κάραν τιμηθεῖσα τὴν ἐρίτιμον.

Φύλαττε τὴν πόλιν σου, Μάρτυς, Χίος ἡ πόλις σου βοᾷ σοι, πᾶσι τοῖς τῷ θείῳ ναῷ σου προσερχομένοις, τὰς αἰτήσεις πληροῦσα, ὁσιομάρτυς ἐνδοξε, μετὰ Ματρώνης τῆς θεοφρονος.

Θεοτοκίον.

Ὑψηλοτέρα Χερουβὶμ ἀνωτέρα, καὶ οὐρανῶν ὑψηλοτέρα, ἄχραντε Παρθένε Μαρία, βουλῇς μεγάλης Ἄγγελον τέξασα, τὸν τῷ Πατρὶ συνάναρχον, κριτὴν ἁπάντων ἐλευσόμενον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ῥωσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἀθλοῦσα Μάρτυς γενναίως, καὶ πρὸς Χριστοῦ ἀπείληφας, βραβεῖα νίκης πάνσοφε. Παρασκευὴ πανθαύμαστε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγεννημένη· ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπεσκίασαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους, Ἦχος δ'.
Ὁ ἐξ ὑψίστου κληθείς.

Θ' ἑλημάτων Θεὸς καὶ πάντων θέλων, οὗ ποτε τὸν θάνατον, ὡς τὴν μετάνοιαν, θεοπρεπεστάτην ὁδότητι, κατοικτειρήσας τὴν παντελῆ τῆς Χίου ἀπώλειαν, ἔνευσε τῇ Μάρτυρι, πρέσβυν εὐπρόσδεκτον, αὐτῷ γενέσθαι, ὡς ηὔχετο· ἐπαγρυπνήσας, ὁ Θεοῦ μύστης θεῖος Ἀμβρόσιος, τὴν καταιγίδα κατευνάσαι, ὡς ἀπειλοῦσαν τὴν πᾶσαν ποιήσασθαι, ὑποβρύχιον πόλιν, εἰς Θεὸν ἐξαμαρτήσασαν.

Ὁ Ἰωνᾶς Νινευὴ σώζει τὴν πόλιν, ταύτῃ τὸ ὀλέθριον κομίσας κήρυγμα, οἱ μεταγνόντες ἐσώθησαν, νῦν δὲ τὴν Χίον, Παρασκευή, ἡ θεία διέσωσε, τείνασα πρὸς Κύριον χεῖρας ἱκετίδας, τὴν τῆς θαλάσσης ἐξόρμησιν, ἀναχαιτίσασα, ἐκμαινομένης πρὸς καταπόντισιν, χριστομιμήτῳ κεχορηγημένη, φιλανθρωπίᾳ ὁμοῦ καὶ χρηστότητι, ὃς τις σώζεσθαι θέλει, οὐκ ἀπόλλυσθαι τὸν ἄνθρωπον.

Μετανοεῖτε βροτοί καὶ σωφρονεῖτε, φόβον συλλαμβάνοντες τῆς θείας κρίσεως· αὐτὰ βοῶσι τὰ θαύματα, ὧν ἐτησίως, ἐπιτελοῦμεν τὴν ἀνακαίνισιν· εἰ γὰρ μὴ διόρθωσιν βίου ποιήσαιμεν, ἔτι μειζόνως ἐκκαύσωμεν, τὴν θείαν δίκην· ὅθεν προθύμως, ἅπαντες σπεύσωμεν, ἐξευμενίσαι τὸν Δεσπότην, φιλανθρωπίαν ἡμῖν ἐπιδείξασθαι· τὴν γὰρ Μάρτυρα πρέσβυν, ἀκαταίσχυντον κεκτήμεθα.

Δόξα, Ἦχος β'.

Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ Ἁγία, τὴν λαμπάδα ἄσβεστον τηρήσασα. Ἀκούσωμεν τῆς Παρθένου ἐγκώμιον· ὦ παρθενία Ναὸς Θεοῦ· ὦ παρθενία μαρτύρων δόξα· ὦ παρθενία Ἀγγέλων συμμέτοχε.

Καὶ νῦν. Θεοτοκίον. Καὶ τὰ λοιπὰ ὡς σύνηθες. Ἀπόστολον, Εὐαγγέλιον, τὰ συνήθη μαρτυρικά.

ΕΘΝΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΥΖΑΝΤΙΝΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΑΘΗΝΩΝ ΙΕΡΟΝ ΚΤΗΜΑ ΠΑΤΕΡΩΝ ΠΑΣΧΑΛΙΤΩΝ

ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ
ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΜΗΤΡΟΣ ΗΜΩΝ
ΜΑΤΡΩΝΗΣ
ΤΗΣ ΧΙΟΠΟΛΙΤΙΔΟΣ

Τῇ 20ῇ Ὀκτωβρίου ἑορτάζομεν τὴν μνήμην τῆς ὁσίας Μητρὸς ἡμῶν Ματρώνης τῆς Χιοπολίτιδος, σωθείσης ἐν Χίῳ ἐν ἔτει 1462 ἀπὸ Χριστοῦ.

Ἐν τῷ Μ. Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ.
Εἰς τὸ Κύριε ἐκέκραξα ἰστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ Ἁγίου Ἀρτεμίου τρία (ζήτει εἰς τὸ Μηναῖον) καὶ τῆς ὁσίας τρία.

Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθείς.

Πρὸς σοὺς ἀγῶνας **Ματρῶνα** πανολβία, καὶ τὰ κατορθώματα τῆς ἐξεπερῶν προπωλῶς, καὶ ἀνυμνῆσαι δυνήσεται. βροτείαν φύσιν, καὶ γὰρ παρήνεγκε παναοίδιμε. Ἀγγέλων ἠγάσθητε, ταῦτα πληθὺς καὶ Θεόν, τὸ ἀσθενὲς τὸ τῆς φύσεως ἐνδυναμοῦντα, μεγάλως ἤνεσε καὶ ἐδόξασεν· ἀλλ' οἱ τρυφῶντες τῶν καλῶν τῶν σῶν, ἐκ πόθου πάντες σὲ μέλπομεν, τὸ πρὸς δύναμιν χρέος, ὡς εἰκὼς ἀφοσιούμενοι.

Τῆς ἐγκρατείας πυρὶ πῦρ **Θεοφόρε**, παθῶν ἐναπέσβεσας, καὶ πῦρ ἀνήφθη σοι, τοῦ θείου πάνσεμνε ἔρωτος, ὅς πᾶσαν ὕλην, φιλοκοσμίας, ἐναπετέφρωσε, καὶ ὅλην σε ἔπεισε μετατεθῆναι ἐκ γῆς, πρὸς οὐρανὸν τῷ φρονήματι, καὶ ἰσαγγέλως, ἐν γῇ βιῶσαι μικροῦ παναθύμαστε· καὶ νῦν **Ἀγγέλοις** συγχωρεύουσα, ὧν καὶ τὸν βίον ἐζήλωσας, σὺν αὐτοῖς ἐκδυσώπει, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Χριστὸν ἐξ ὅλης ποθήσασα καρδίας, καὶ τούτου τῷ ἔρωτι τρωθεῖσα πάνσεμνε, ἐνεγκαμένην κατέλιπες, καὶ κόσμου σχέσιν, καὶ τὰ τερπνὰ τοῦ βίου ἀοίδιμε· βιῶσα, νυμφίε μου, σὲ ἐπεπόθησα, καὶ τετρωμένη τῷ ἔρωτι, τῷ σῷ ὀπίσω, σοῦ διὰ βίου παντὸς ἐφέψομαι· ὃς καὶ ὡς νύμφην ἀδιάφθορον, εἰς οὐρανίους μετέστησε, σὲ **Ματρῶνα** νυμφῶνας· ὧν ἡμᾶς ἕλεων ἔργασαι.

Δόξα, ἦχος πλ. δ΄.

Ἀσκητικὴν ὁδεύσασα ὁδόν, παθῶν σαρκὸς ἐνέκρωσας ὁρμάς, ὦ **Ματρῶνα** θεόσοφε· τοῦ κόσμου γὰρ ὅλως τὴν ἡδύτητα ἀπεπαμένη θεόφρον, μόνον τὸ ἄφθαρτον κάλλος ἐπόθησας, καὶ παστάδα τὴν ἐν γῇ καταλιποῦσα προθύμως, οὐρανίων μετὰ τέλος παναοίδιμε θαλάμων ἠξίωσαι· ἐν οἷς νοητῶς τῷ σῷ νυμφίῳ **Χριστῷ**, μετὰ τῶν φρονίμων παρθένων, ὡς παρθένος ἀδιάφθορος συγχαίρεις, καὶ γέγηθας ἀκορέστως, ὡραιότητος αὐτοῦ κατατρυφῶσα τῆς ἀκηράτου· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τὶς μὴ μακαρίσει σε. Ἔξοδος. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται, γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσῃ αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Υἱὲ ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρίνε πάντα δικαίως ἄνοιγε σὸν στόμα· καὶ κρίνε δικαίως διάκρινε δὲ πένητα καὶ ἀσθενῆ· γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν ἡ τοιαύτη· θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς· ἡ τοιαύτη σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ αὐτῆς ἀγαθὰ καὶ οὐ κακὰ πάντα τὸν χρόνον εὐραμένη ἔρια καὶ λίνον, ἐποίησεν εὐχρήστα ταῖς χερσὶν αὐτῆς· ἐγένετο ὡσεὶ νηὸς ἐμπορευομένη μακρόθεν· συνάγει ἑαυτῆς τὸν πλοῦτον· καὶ ἀνίσταται ἐκ νυκτός, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις· θεωρήσασα γεώργιον, ἐπρίατο· ἀπὸ δὲ τῶν καρπῶν τῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα· ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον· ἐγεύσατο ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ οὐ σβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα· τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα· τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον· χεῖρα δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δ' ἐξέτεινε πτωχῷ· οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῇ ἐνδεδυμένοι εἰσί· δισσὰς στολὰς καὶ χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἑαυτῇ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα, περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν κάθηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων καὶ κατοίκων τῆς γῆς· σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις· ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις στόμα· δὲ αὐτῆς διήνοιξε προσηκόντως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς· στεναὶ διατριβαὶ οἴκων αὐτῆς· σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν· ἀνέστη τὰ τέκνα αὐτῆς καὶ ἤνεσαν αὐτὴν καὶ ὁ ἀνὴρ αὐτῆς ἐπῄνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν· πολλαὶ ἐκτίσαντο πλοῦτον· πολλαὶ εὗρον δόξαν· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας· ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικῶν οὐκ ἔστιν ἐν σοί· γυνὴ γὰρ συνετὴ εὐλογεῖται· φόβον δὲ Κυρίου αὕτη αἰνείτω· δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Εἰς τὴν Αἰτήν. Ἦχος δ΄.

Ἀραμένη τὸν σταυρὸν ἐπὶ τῶν ὤμων, προῆλθες τῷ καλοῦντι **Χριστῷ** ἠκολούθησας, καὶ διὰ βίου, πόνοις τῆς ἀσκήσεως συσταυρωθεῖσα αὐτῷ, ἀξιοπρεπῶς συνδοξάζῃ σεμνή, καὶ τῶν ἀπ' αἰῶνος **Ἁγίων** τοῖς τιμίοις συνηδομένη ἀοίδιμε πνεύμασιν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτὸς

Ἐν τῇ πέτρᾳ τῇ στερρᾷ τῆς εἰς τὸν **Χριστὸν** πεποιθήσεως, τὸν τῆς ἀσκήσεως πανθύμαστε πηξαμένη οἶκον, προσβολαῖς οὐ σεσάλευσαι τῶν ἐναντίων, καὶ προσῃρήξεσιν· ἀλλ' ἀκράδαντος ἔμεινας, ἐν ὅλῳ τῷ βίῳ καὶ ἀτέναktος· διὸ ἤσχυνας τῇ καρτερίᾳ σου ἀξιάγαστε τὸν ἀόρατον ὄφιν, ταῖς αὐτοῦ ἀνάλωτος ἐνέδραις ὀφθεῖσα καὶ ἐπιβουλαῖς· καθ' οὗ, ταῖς σαῖς προσβείαις, τοὺς εὐφημοῦντάς σε ἐνίσχυσον.

Ὁ αὐτὸς

Ὕραις θείου Πνεύματος, οἷα τις νοητὴ ναῦς, κυβερνωμένη θεόφρον, ἀκινδύνως τὸ τοῦ βίου πολυτάραχον διέπλευσας πέλαγος· πόνοις τε καὶ ἱδρῶσι τοῖς ἀσκητικοῖς, καὶ ἑστῶ πτερουμένη θεωριῶν θείων ἀοίδιμε· διὸ πρὸς λιμένα καταντήσασα πανολβία τῆς τοῦ **Χριστοῦ** βασιλείας, ὑπὲρ ἡμῶν αὐτὸν ἱλέωσαι.

Δόξα. Ἦχος πλ. α΄.

Μῆτερ ὁσία, ἐκρότησε στῖφος ἀγγέλων ἐν σοί, φάλαγξ δὲ ἀνώμωξε τοῦ Σατάν· φύσιν γὰρ ὑπερέβησαν βροτείαν

ΕΚΔΟΣΕΙΣ ΒΙΒΛΙΟΥ ΜΟΝΗΣ ΠΑΤΕΡΑΣ ΜΑΤΟΡΗΣ ΠΑΠΑΓΙΑΝΝΗΣ

οἱ σοὶ ἄθλοι, ἀοίδιμε, καὶ οἱ σοὶ πόνοι, σώματος τοὺς ὅρους ὑπερηκόντισαν· διὸ ὄντως ἐσαγγέλως ἐν γῇ, σαρκὸς καίτοι μετασχοῦσα θνητότητος ἐβιώσκυσε, ὤφθης Ἀγγέλων συνόμιλος ἐν οὐρανοῖς, πανοσίδιμε, ἴλεων οὖν ἡμῖν Χριστὸν ἀπέργασαι.

Καὶ νῦν. Μακαρίζομέν σε. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ὁσίας προσόμοια.

Ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Κράτος κατ' ἐχθρῶν τῶν ἀφανῶν, ὕμνῳ πανολβία καὶ νίκην, λαμπρὰν νικήσασα, τὰς ἐκείνων φάλαγγας, καὶ ἐπηρμένην ὀρῶν, τοῦ πτερνίσαντος ἔνδοξε, εἰς γῆν καθελοῦσα· ὅθεν νῦν ἀπάρασα, πρὸς οὐρανίους σκηνάς, νίκης τὰ βραβεῖα κομίζῃ, τῆς ἀνεκλαλήτου καὶ θείας, δόξης καὶ τρυφῆς ἐπαπολαύουσα.

Στιχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Κλίμαξ πρὸς οὐράνιον σαφῶς, ἄνοδον ὑπῆρξάν σοι πόνοι, οἱ τῆς ἀσκήσεως, τούτοις χρησαμένη γάρ, καὶ ὄγκον τὸ τῆς σαρκός, ὦ Ματρῶνα λεπτύνασα, ψυχῆς τε τὰ πτίλα βάρους ἐκτινάξασα, τοῦ τῶν παθῶν εὐχερῆ, εὗρες κομιδῇ τὴν ἐκεῖσε, πτῆσιν καὶ Ἀγγέλοις ἐγένου, μετὰ τὴν ἐντεῦθεν ἄρσιν σύσκηνος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Κλέος ἀναφαίρετον ἡ σή, κέκτηταί σε πόλις Ματρῶνα, καὶ ὅλβον ἄσυλον, τῶν σῶν ἀπολαύουσα, καλῶν ἑκάστοτε, καὶ καρποὺς τῶν ἱδρώτων, ἀεὶ θρεπομένη, ἐκ τῆς ὑπερτίμου σου σοροῦ καὶ λάρνακος· ἥνπερ σαῖς πρεσβείαις παντοίας, ῥῦσαι ὀρωμένων ἐχθρῶν τε, καὶ τῶν ἀοράτων ἐπιθέσεως.

Δόξα. Ἦχος πλ. δ'.

Πὸ κατ' εἰκόνα, Μῆτερ, καθαρὸν τηροῦσα Θεοῦ, καὶ ὁμοίωσιν ἔμψυχος ὤφθης στήλη ζωῆς τῆς ἐνθέου, καὶ θεῖον ἐκφράγισμα· διὸ μιμητὰς τοῦ σοῦ βίου δεῖξον καὶ ἡμᾶς, τοὺς ἐκ πόθου σου μέλποντας τοὺς ἄθλους, τὰ σκάμματα, καὶ τὴν πρὸς τοὺς δαίμονας ἀνένδοτον πάλην. καθ' ὧν παράσχου καὶ ἡμῖν, σαῖς πρεσβείαις, τὴν νίκην ἀοίδιμε.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι. Ἀπολυτίκιον τῆς Ὁσίας. Ἐν σοὶ μήτερ ἀκριβῶς· εἶτα Θεοτόκε Παρθένε. Εἰς τὸν Ὄρθρον. Εἰς τὴν α' Στιχολογίαν. Κάθισμα τῆς Ὁσίας.

Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Πῆν ῥοώδη ἀπείπω Μῆτερ σκηνήν, τῆς ἀσκήσεως ἥρω χρηστὸν ζυγόν, Ματρῶνα ἀοίδιμε, καὶ ὀπίσω εἰσέδραμες, τοῦ Νυμφίου τοῦ κάλλει, ὡραίου καὶ ἔκραξες, ἀποθάνω ὡς ἔδω, τὴν σὴν ὡραιότητα· ὅθεν σὺν Ἀγγέλοις ἐντρυφᾷν ἠξιώθης, τῆς αἴγλης καὶ λαμπρότητος, τῆς Τριάδος θεόληπτε· διὸ πίστει βοῶμέν σοι, πρόσδεξαι ὕμνους ἡμῶν ὦ σεμνή, τῶν πταισμάτων ἄφεσιν αἰτοῦσα, ταῖς πρὸς Θεόν σου πρεσβείαις δεόμεθα.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Παναγία Παρθένε Μῆτερ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα· τὴν ψυχὴν καὶ τὸ σῶμα μολύνας ὁ ἄθλιος· οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; Τότε Δέσποινα, βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος, σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὴν β' Στιχολ. Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὰ φρικτά σου σκάμματα, Μῆτερ Ματρῶνα, εὐφημεῖν οὐ δύναται, φύσις βροτεία πρεπωδῶς· πῶς οὖν ἡμεῖς εὐπορήσωμεν, ὕμνοις ἀξίοις τὸ χρέος ἀφοσιώσασθαι;

Δόξα καὶ νῦν. Ὁμοίως.

Ὁ σηκὸς ὁ πάνσεπτος, σοῦ θείου σκήνους, ἐκπηγάζει θαύματα καὶ τὰ

πανίερα ὀστᾶ, τοῖς εὐλαβῶς ἐξαιτουσί σου τὴν θείαν χάριν, Ματρῶνα, ἣν εἴληφας.

Καὶ νῦν, Θεοτοκίον.

Χρυσωθεῖσα πνεύματι, κιβωτὸς ὤφθης, ἡ τὸν κόσμον σώζουσα, τῆς καταιγίδος τῆς πικρᾶς καὶ εἰς λιμένα ἀπάγουσα, τῆς σωτηρίας, τοὺς θέλοντας σώζεσθαι.

Μετὰ τὸν Πολυέλεον. Κάθ. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐξιστᾷ τὰ σὰ σεμνή, πᾶσαν βροτείαν ἀκοήν, καὶ διάνοιαν καὶ νοῦν, ἐκπλήττει μέγεθος τῶν σῶν, ἀγωνισμάτων Ματρῶνα καὶ παλαισμάτων· ἐκ πρώτης ἡλικίας γάρ, ἀκολουθοῦσα Χριστῷ, προθέσει ὁλικῇ, ἀσκητικαῖς ἀγωγαῖς, τὰς τῆς σαρκὸς ἐνέκρωσας ἀπάσας, ἐπαναστάσεις πανθαύμαστε, καὶ διαβόλου τὴν ἐπηρμένην, ὀφρὺν καθεῖλες καὶ ἴσχυνας.

Θεοτοκίον.

Πὸ μυστηρίων τῆς σῆς κυοφορίας προφητῶν, θεόφρονι πνεύματι χοροί, μεμυημένοι Μαριάμ, ποικιλοτρόπως ἐτράνωσαν τοῦτο κόρη· λυχνίαν τε καὶ στάμνον ὀνομάσαντες, καὶ ῥάβδον καὶ χρυσοῦν θυμιατήριον, καὶ κιβωτὸν καὶ τράπεζαν καὶ πλάκα, ὅρος δασὺ καὶ κατάσκιον, καὶ κεκλεισμένην, Παρθένε πύλην, τῷ Θεῷ τηρουμένην.

Οἱ ἀναβαθμοὶ τὸ α'. ἀντίφωνον τοῦ δ'. Ἦχου προκείμενον, Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. Τό, πᾶσα πνοή. Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος, πάντα μοι παρεδόθη. Ὁ Ν'. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός.

Τροπάριον ἦχος δ'.

Σήμερον ἡ Παρθένος συγκαλεῖ Ματρῶνα ἅπαντας, πρὸς λαμπρὰν ἑστίασιν τῶν αὐτῆς παλαισμάτων· αἱ δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν τὸ ἐκείνης πρὸς τοὺς πόνους ἀνένδοτον. Σατὰν ἡ ἰσχὺς τεθριάμβευται, καὶ δαιμόνων ἡ πληθὺς διωλόλυξεν· ἡμεῖς δὲ τῷ ἐνδυναμώσαντι αὐτὴν δόξαν δῶμεν πάντες Χριστῷ, ὃς φύσεως τὸ χαῦνον δυναμοῖ οἰκείῳ σθένει.

Κανὼν τῆς Θεοτόκου εἰς στ'. τοῦ Ἁγίου εἰς δ'. καὶ τῆς Ὁσίας εἰς δ'. Οὗ ἡ Ἀκροστιχὶς «Ματρώναν ὑμνῶ τῆς Χίου τὴν προστάτιν, Νεκτάριος».

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ματρώναν τιμήσωμεν, τὴν ἱερὰν ὦ θεόφρονες, καμάτους γεραίροντες, τοὺς ὑπὲρ φύσιν αὐτῆς καὶ τὰ σκάμματα καὶ τὴν πρὸς ἀοράτους, ἀνένδοτον ἔνστασιν ἐχθρούς ἀλάστορας.

Θέαμα, ἄστατον, ἅπαν εἰδυῖα πανθαύμαστε, τερπνὸν τὸ ὁρώμενον μόνον ἐπόθησας, τὰ ἄρρατα, Ματρῶνα, καὶ ἐμφρόνως, τὰ ἄνω βασίλεια, κτήσασθαι ἔσπευσας.

Πρηῢς ἀεὶ πολήσασα, τὸ κατ' εἰκόνα ἀλώβητον, καὶ τὸ καθ' ὁμοίωσιν, Θεοῦ θεόσοφε, πάσης ἔσπευσας, ἐξ ἁπαλῶν ὀνύχων, κακίας ὑπέρτερον, δεῖξαι τὸ φρόνημα.

Ῥαστώνην μισήσασα, πᾶσαν τοῦ βίου καὶ εὐκλειαν, συντόνως ἐβάδισας τῆς ἀρετῆς τὴν ὁδόν, καὶ ἀνέδραμες, πρὸς ὃν θερμῶς ἐπόθεις· ὃν ἴλεων ἔργασαι τοῖς εὐφημοῦσί σε.

Ὡς κρῖνόν σε εὔοσμον, ὡς ῥόδον εὔχρουν ὑπέρτιμε, Θεὸς μέσον εὕρηκε τῶν ἀκανθῶν καὶ αὐτοῦ, κατηγλάϊσε, ταῖς χάρισι Ματρῶνα, καὶ Χίοις σε ἔδειξε δόξαν καὶ καύχημα.

Θεοτοκίον.

Ναὸς καὶ παλάτιον, εὐρυχωρότατον πέφηνας, Θεοῦ παναμώμητε, μόνη χωρήσασα, καθαρότητος, ἀγνὴ περιουσίᾳ, χωρεῖν, ὃν οὐ δύναται, εὖρος οὐράνιον.

Ὠδὴ γ'. Τοὺς τοὺς ὑμνολόγους Θεοτόκε.

Ἀσμάτων καὶ κρότων πανολβία, τὰ σά ὄντως ἄξια τελεῖ, Θεὸν γὰρ τοῖς

σοῖς μέλεσι, τοῖς ἱεροῖς ἐδόξασας καὶ τούτῳ θῦμα γέγονας, καὶ ἱερὸν καλλιέργημα.

Νυκτὸς ἀποστέρξασα τὰ ἔργα, ἡμέρας ἐγένου καὶ φωτός, τέκνον **Ματρῶνα** γνήσιον· τοῦ βίου εὐσχημόνως ὁδόν, ὡς ἐν ἡμέρᾳ τέμνουσα, καὶ φῶς πρὸς ἄδυτον σπεύδουσα.

Ὑδατος στενώσασα καὶ ἄρτου, ἐνδείᾳ **Ματρῶνα** κομιδῇ, ταστέρα πᾶσαν ἔφεσιν, τὴν ταύτης ἐκαλίνωσας· διὸ εὐρυχωρότατον, ἐν οὐρανοῖς πλάτος ἔφθασας.

Μεγάλως ἀσκήσασα καὶ πόνοις, μεγάλοις τιμήσασα **Χριστόν**· μεγάλα ὄντως εὕρηκας, ἐν οὐρανοῖς τὰ ἆπαθλα, καὶ τὰ βραβεῖα ἔνδοξε, τῶν ὑπὲρ φύσιν καμάτων σου.

Θεοτοκίον

Νεκρὸς χρηματίζων οὐ γινώσκω, καὶ κίας τῷ ζόφῳ συσχεθείς, καὶ μέθῃ ἀπογνώσεως. Βεβαπτισμένος **Δέσποινα**· ἀλλ' ἡ νεκροὺς ζωώσαντα τεκοῦσα, αὕτη με ζώωσον.

Κάθισμα τῆς Ὁσίας. Ἦχος πλ. δ'.
Τὴν σοφίαν καὶ λόγον.

Ἀγλαΐαις ἐκλάμψασα ἀρετῶν, κατηγλάϊσας κόσμον ταῖς ἀστραπαῖς, τῶν θείων θαυμάτων σου, ὦ **Ματρῶνα** θεόπνευστε, καὶ ῥαθύμων ἐγείρεις, ψυχὰς εἰς ἐγρήγορσιν, ἐντολῶν τοῦ **Κυρίου**, καὶ ζῆλον τὸν ἔνθεον· μέγα παρασχοῦσα πρὸς ἐκμίμησιν ὄντως, ὑπόδειγμα πάνσοφε, σεαυτὴν οἷς ὑπέρτερον, τῆς τοῦ θήλεος φύσεως, τὸ φρόνημα ἀνέδειξας σεμνή, καὶ ἀνδρικὰ διήνυσας πανεύφημε, ἔνσαρκος ἀσθενείᾳ, ἐπὶ γῆς ἀγωνίσματα.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Τὸ πολύφωτον ὄχημα τοῦ **Θεοῦ**, τοῦ νοός μου τὰ νέφη τὰ σκοτεινά, **Δέσποινα**, διάλυσον, τῷ φωτὶ τοῦ προσώπου σου· καὶ μετανοίας φέγγει, τὰ ὄμματα φώτισον, τῆς ζοφερᾶς ψυχῆς μου, παθῶν ἀμαυρότητι, τὰ πεπωρωμένα καὶ τυφλώττοντα πάντῃ, τῶν φαύλων μου πράξεων, θολεραῖς ἐπιχύσεσιν, ἵνα πίστει κραυγάζω σοι, **Θεοτόκε Ἀειπάρθενε**, πρέσβευε **Χριστῷ** τῷ **Θεῷ** τῶν κακῶν μου δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ὁ δοῦλός σου, ὀξυτάτην βοήθειαν.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ὦ τῆς ὑπερφυεστάτης, καὶ γενναίας ἐνστάσεως! ἐν θηλείᾳ φύσει, ἣν ἀρενωπῷ τῷ φρονήματι, πρὸς τὰς ἀρχὰς ἐπεδείξω παναοίδιμε, ἐξουσίας τε καὶ τοὺς δεινοὺς κοσμοκράτορας.

Πέμνεις ξένην ὁδὸν βίου, καὶ σαφῶς ὑπερκόσμιον, μέσον κόσμου **Μῆτερ**, τῆς ἐπιμιξίας μηδ' ὅλως γε, τῆς τῶν πολλῶν δυνηθείσης, ἐκχυνῶσαί σου, τὸ ἀνένδοτον, καὶ πρὸς τὰ κρείττονα εὐτονον.

Ἢ κρατίστη πρὸς τὸ θεῖον, καὶ ἀνένδοτος νεῦσίς σου, ὅλην θεοφόρε, σὲ θεοειδῆ ἀπειργάσατο, καὶ τηλαυγῆ τοῖς ὁρῶσι, τὰ γνωρίσματα, τὰ τῆς χάριτος, τῆς θείας ὄντως παρέχουσαν.

Σαρκὸς κτείνασα τὰ πάθη, τὴν ψυχὴν δὲ ζώωσασα, εὐχῇ τὸν θανόντα, σῇ ζωοποιεῖς καὶ προστάγματι. Καὶ τοῦτο ἄρα τὸ θαῦμα ἐναπέδειξεν, ἣν πεπλούτηκας, παρὰ **Θεοῦ** χάριν ἔνδοξε.

Θεοτοκίον.

Χαλινὸν τοῦ θείου νόμου, πάντα ῥήξας ὁ δείλαιος, ἀκρατῶς ἐλαύνω, πρὸς κακίας οἴμοι τὰ βάραθρα, οἷα δυσήνιος ἵππος, ἀλλά σὴ σεμνή, τὸ τοῦ σοῦ **Υἱοῦ** χρηστῷ ζυγῷ με ὑπόταξον.

Ὠδὴ ε'. Νῦν ἀναστήσομαι.

Ἰδοὺ προσώζεσαν οἱ τῆς ἐμῆς, μώλωπες ψυχῆς, κατεσάπησαν ὦ παναοίδιμε, οὓς ὑπέστην ἐκ πολλῆς τῆς ἀφροσύνης, ἀλλὰ σὺ ταῖς ἱεραῖς σου σεμνή, πρεσευχαῖς με ἴασαι.

Οὐδὲν ὁ πόλεμος ὁ τοῦ ἐχθροῦ, πρὸς τὸ ἐμβριθές, τοῦ σοῦ φρονήματος, οὐδὲν ἡ ἔνστασις, οὐδὲν πᾶσα, ἡ αὐτοῦ παναστρατιά τε καὶ παράταξις, ἱστὸς πάντα γὰρ ἀράχνης ἠλέγχθη σοι.

Τ'περφυῶς τῆς σῆς ψυχῆς, ὁ πρὸς τὸν **Θεόν**, ἔρως θεόσοφε κρατήσας ἔπεισε, πᾶσαν ἄφεσιν σαρκὸς ἐναποστέρξαι καὶ τὸ πῦρ τῶν πειρασμῶν, ὑπελθεῖν λίαν ἐκθυμώτατα.

Τὴν τῶν παθῶν σεμνὴ πυρκαϊάν, ἔσβεσας τοῖς σοῖς δάκρυσιν ὅθεν σε, δρόσος τοῦ **Πνεύματος** ἐπανέψυξε, καὶ φῶς ἐν τῇ ψυχῇ σου, ἐπανῆψε νοητόν, ἐμπιπλῶν θείας εὐφροσύνης σε.

Θεοτοκίον.

Ἡ **Ὑ**ήσις δέδεκται, πέρας ἐν σοὶ ἡ προφητικὴ ἐν παρθενίᾳ γὰρ ἀγνὴ συνέλαβες, παραδόξως οὐρανοῦ τὸν συνοχέα, καὶ ἐκύησας σαρκί, γενεὰν οὖ τίς διηγήσεται ;

Ὠδὴ στ'. Ἐβόησε προτυπῶν.

Νεφέλην σε, δροσερὰν ἡ τοῦ **Πνεύματος** ἔδειξε χάρις **Μῆτερ**, νοσημάτων ἐξαίρουσαν κακώσεως, καὶ παθῶν ὁμίχλην, πρεσβειῶν σου τῷ φέγγει σκεδάζουσαν.

Πεπλήρωται, καὶ ἐν σοὶ ψαλμικῶς προαγόρευσις. **Βασιλεῖ** γάρ, τῷ τῶν ὅλων παρθένος ἐξόπισθεν, τῆς **Ἀειπαρθένου**, σὺν σεμναῖς ἀπηνέχθης νεάνισι.

Ροῦν ἔστησας, ἀνιάτων παθῶν ταῖς πρεσβείαις σου, τοῖς τῷ τάφῳ, προσιοῦσι τῷ σῷ μετὰ πίστεως· καὶ ψυχῶν, **Ματρῶνα**, σηπεδόνα δεινῶν ἀπεξήρανας.

Θεοτοκίον.

Ὁ ἄχρονος ὑπὸ χρόνον, ἐκ σοῦ κόρῃ γίνεται, καὶ ὁρᾶται, ὁ **Ἀγγέλοις** αὐτοῖς ἀθεώρητος, φύσεως βροτείας ὑπελθὼν φιλανθρώπως τὸ φύραμα.

Κοντάκιον. Ἦχος γ'. Ἡ παρθένος σήμερον.

Οὐδαμῶς τὸ θῆλύ σοι, ἐμποδὼν ὤρθη **Ματρῶνα**, πρὸς τοὺς ὑπὲρ ἄνθρωπον, ἀγῶνας ὄντως καὶ ἄθλους· ἴσχυνας διὸ τὸν μέγαν, νοῦν θεοφόρε, εὕφρανας τὸ γυναικεῖον μεγάλως γένος· τὸ ἐκείνων ταῖς σαῖς νίκαις, προσαφελοῦσα τῆς ἥττης ὄνειδος.

Ὁ Οἶκος.

Τοὺς γενναίους ἀγνὴ ἀγῶνας, οὓς διήνυσας, οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς τοῦ σκότους καὶ τὰς ἐξουσίας πυκτεύουσα, τίς ἀξίως θαυμάσειε ; καὶ γὰρ ὑπερβαίνει πάντα λόγον καὶ διάνοιαν τὰ σὰ προτερήματα· πῶς σάρξ οὖσα καὶ αἷμα, γῆ καὶ σποδός, οὐ πρὸς τὴν κάτω ἔβλεψας φύσιν, οὐ τῇ τῶν ὁρωμένων ἐθέλχθης ἡδύτητι, ἀλλ' ἀπεῖδες ὅλῳ τῷ νοΐ πρὸς τὸν οὐρανόν, καὶ μόνον τὸ ἀμίχανον ἐκεῖνο κάλλος ἐπόθησας, καὶ τοῖς σοῖς ὑπερῳέσιν ὡς ἀληθῶς σπουδάσμασιν. Ἀγγέλων εὔφρανας συστήματα· ἀνθρώπους ἐξέπληξας, δαίμονας ἴσχυνας· τὸ θῆλυ γένος τετίμηκας, τὸ ἐκείνων ταῖς σαῖς νίκαις, προσαφελοῦσα τῆς ἥττης ὄνειδος.

ΨΗΦΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΕΡΕΥΝΑΣ ΙΔΡΥΜΑ ΜΙΧΑΛΗ ΚΑΡΑΝΤΩΝΗ ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΔΑΚΗΣ

ΤΩ ΑΥΤΩ ΜΗΝΙ 20 ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

ΜΑΤΡΩΝΗΣ ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ (1)

Στίχ. Λιποῦσα κόσμον ἔμπλεων ἀκοσμίας
Χριστῷ πρόσεισι νυμφικῶς ἡ παρθένος.
Εἰκάδι Ματρώνης δέμας γαῖα κάλυψε θανούσης.

Αὕτη ἡ Ὁσία καὶ θαυματουργὸς Μήτηρ ἡμῶν Ματρῶνα, ἦτον ἀπὸ τὴν νῆσον Χίον, ἀπὸ τὸ χωρίον τὸ καλούμενον ἔτι καὶ τὴν σήμερον Βολισσόν, τὸ ὁποῖον εἶναι εἰς τὸ ἐπάνω καὶ βόρειον μέρος τῆς Χίου· καὶ ὁ μὲν πατὴρ αὐτῆς ὠνομάζετο Λέων, ἡ δὲ μήτηρ Ἄννα, οἱ ὁποῖοι ἦσαν εὐσεβεῖς Χριστιανοὶ καὶ μὲ ὅλα τὰ Χριστιανικὰ ἤθη καὶ ἔργα κεκοσμημένοι, προσέτι καὶ εἰς τὸν πλοῦτον καὶ εἰς τὰ ἄλλα κοσμικὰ ἀγαθὰ ἦσαν ἐπισημότεροι τῶν ἄλλων τοῦ χωρίου. Εἶχον δὲ αὐτοὶ καὶ ἄλλας ἓξ θυγατέρας καὶ μὲ τὴν Μαρίαν ἑπτά. (Μαρία γὰρ ὠνομάζετο ἡ Ἁγία, καὶ μετωνομάσθη ὕστερον Ματρώνα). Αὕτη λοιπὸν ἡ Μαρία, (ἡ ὁποία ἦτον ἡ μικροτέρα τῶν ἄλλων θυγατέρων) ὅταν ἤλθε καιρὸς νὰ τὴν ὑπανδρεύσουν οἱ γονεῖς της, δὲν ἠθέλησεν, ἀλλ' ἐπρόκρινεν, ὡς φρόνιμον, νὰ φυλάξῃ παρθενίαν καὶ καθαριότητα, διὰ νὰ γίνῃ νύμφη καλὴ καὶ ἄμωμος τοῦ ἀθανάτου νυμφίου Χριστοῦ· ἀλλ' ἐπειδὴ ἡ ἀληθὴς παρθενία καὶ ἀφθορία δὲν εἶναι εὔκολον νὰ κατορθωθῇ μέσα εἰς τὸν κόσμον, εἰς τὴν συναναστροφὴν τῶν πολλῶν, ὁμοίως καὶ τὰ ἄλλα καλά, μὲ τὰ ὁποῖα φαιδρύνεται ἡ λαμπὰς τῆς παρθενίας, μέσα εἰς τὸν κόσμον ἀπαντῶσι πολλὰ ἐμπόδια· διὰ τοῦτο τρωθεῖσα ἡ μακαρία ἀπὸ τὰ γλυκύτατα βέλη τοῦ θείου ἔρωτος, ἀναχωρεῖ κρυφίως ἐκ τῆς συγγενείας της, ἀφίνει τὸν πατέρα καὶ τὴν μητέρα καὶ τὰς ἀδελφάς της καὶ ἔρχεται εἰς τὰ βουνὰ τοῦ χωρίου, ὅπου καλεῖται Κατάβασις, καὶ ἐκεῖ ἤνοιξε τὸ στάδιον τῶν ἀσκητικῶν της ἀγώνων, καὶ τὴν κατὰ τῶν παθῶν καὶ τῶν δαιμόνων ἔστησε πάλην, νηστεύουσα, ἀγρυπνοῦσα, καὶ μόνη μόνῳ τῷ Θεῷ προσευχομένη ἡ ἀοίδιμος· πλὴν αὕτη μὲν ἔχαιρε καὶ ἐδόξαζε τὸν Θεόν λυτρωθεῖσα τῶν ταραχῶν καὶ τῶν θορύβων τοῦ κόσμου, οἱ δὲ γονεῖς της ἀγνοοῦντες τί ἔγινε, καὶ πῶς ἐκατήντησεν, ἐλυποῦντο μὲ ὑπερβολὴν καὶ δὲν ἔπαυον ἀπὸ τὸ νὰ τὴν ζητοῦν νὰ τὴν εὕρουν· καὶ λοιπὸν εὑρόντες αὐτὴν δὲν ἔκριναν εὔλογον νὰ τὴν ἀφήσουν ἐκεῖ μόνην, ἀλλὰ τὴν ἐπαρακίτησαν νὰ ἔλθῃ εἰς τὸ ὀσπήτιόν των, καὶ αὐτὴ ὑπήκουσεν ὡς Θεοῦ δούλη εἰς τὸ εὐλογοφανὲς πρόσταγμα τῶν γονέων της καὶ ἦλθεν εἰς τὴν πατρικήν της οἰκίαν· καὶ εἰς μὲν τὰ ἄλλα ὑπετάσσετο χριστομιμήτως, καὶ ὑπήκουεν εἰς αὐτοὺς μὲ πολλὴν ταπείνωσιν, εἰς τὸ νὰ ὑπανδρευθῇ ὅμως παντελῶς δὲν ὑπήκουεν· ὅθεν βλέποντες ἐκεῖνοι πῶς δὲν τοὺς ὑπακούει, καὶ γνωρίσαντες τὸ ἀμετάθετον τῆς γνώμης της καὶ τὸν πολὺν πόθον ὁποῦ εἶχε τῆς μοναδικῆς ζωῆς, τέλος πάντων τῆς ἔδωκαν τὴν ἄδειαν νὰ ὑπάγῃ νὰ ἡσυχάσῃ καὶ νὰ πολιτεύηται τὴν κατὰ Θεὸν πολιτείαν, ὅπου εὐχαριστεῖται καὶ ἀρέσκεται· ἀλλὰ καὶ τὴν γονικήν της κληρονομίαν ἐξεχώρησαν καὶ τὴν ἄφησαν εἰς τὴν ἐξουσίαν της, νὰ τὴν οἰκονομήσῃ ὡς θέλει.

Ἡ δὲ κυριώνυμος Μαρία, καὶ τῆς Ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας ἄμωμος νύμφη, τὰ μὲν κινητὰ πάντα τὰ ἐμοίρασε κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου εἰς χήρας καὶ ὀρφανὰ καὶ πτωχούς· τὰ δὲ ἀκίνητα, χωράφια δηλαδὴ καὶ ἄλλα παρόμοια, τὰ ἄφησεν εἰς τὰς ἀδελφάς της νὰ τὰ ἀλλιεργοῦν καὶ νὰ τὰ ἐπιμελῶνται ἕως ὅπου νὰ τὴν φωτίσῃ ὁ Θεὸς νὰ τὰ οἰκονομήσῃ κατὰ τὸ θέλημά του, πρὸς ψυχικήν της ὠφέλειαν. Καὶ λοιπὸν ἀφ' οὗ οὕτω καλῶς διετάξατο τὰ ἐουτῆς πάντα, ἄφησε τὴν Βολισσὸν καὶ ἦλθε πάλιν εἰς τὴν Κατάβασιν, εἰς τὸ πρῶτον της ἡσυχαστήριον· τὴν δὲ ὀλίγην ἐκείνην τροφήν, ὅπου ἦτον ἀναγκαία πρὸς σύστασιν τοῦ σώματός της, διὰ νὰ μὴν ἀποθάνῃ ἀπὸ τὴν παντελῆ ἀσιτίαν, ἐφρόντιζε καὶ τῆς τὴν ἔφερνε μία της ἀδελφή. Ἔμενε δὲ ἐκεῖ εἰς τὴν Κατάβασιν ἡσυχάζουσα καὶ ἀγωνιζομένη τρεῖς ὁλοκλήρους χρόνους, ἀλλὰ κατὰ μὲν τὸ σῶμα εὑρίσκετο εἰς τὴν Κατάβασιν, κατὰ δὲ τὴν ψυχὴν καὶ τὴν καρδίαν καὶ τὴν διάνοιαν εὑρίσκετο εἰς τὴν ἀνάβασιν καὶ εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, φανταζομένη τὰ ἀνεκλάλητα ἐκεῖνα κάλλη καὶ τὰς ὡριότητας καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτῆς διατιθεμένη κατὰ τὸν Προφήτην. Μετὰ δὲ τοὺς τρεῖς χρόνους θέλων ὁ φιλάνθρωπος Θεός, νὰ φανερώσῃ τὸν κρυπτόμενον θησαυρόν, διὰ νὰ πλουτίσῃ καὶ ἄλλους μὲ τὸν οὐράνιον πλοῦτον τῶν ἀρετῶν καὶ νὰ θέσῃ τὸν λύχνον ἐπάνω εἰς τὴν λυχνίαν, διὰ νὰ φωτίσῃ καὶ ὁδηγήσῃ καὶ ἄλλους εἰς ὁδὸν σωτηρίας, καθὼς ἔδειξαν τὰ πράγματα ὕστερον, ἐνέπνευσεν εἰς τὴν διάνοιάν της λογισμὸν ἀγαθόν, καὶ πόθον ἔβαλεν εἰς τὸν καρδίαν της θερμόν, νὰ καταβῇ εἰς τὴν Χώραν, ὅπου ἦσαν τότε πολλὰ γυναικεῖα Μοναστήρια διὰ νὰ εὕρῃ παραδείγματα ἀρετῶν, καὶ νὰ ὑποταχθῇ εἰς γερόντισσαν, κατὰ τοὺς νόμους τῆς μοναδικῆς πολιτείας.

Ἐλθοῦσα λοιπὸν εἰς τὴν Χώραν καὶ τὰ ἐν αὐτῇ γυναικεῖα Μοναστήρια θεωρήσασα καὶ πολλῶν ἐναρέτων καλογραῖων τὰς ἀρετὰς μιμησαμένη, ὡς πάλαι ὁ Μέγας Ἀντώνιος, εὗρεν ἕν μικρὸν Μοναστήριον καὶ τῆς ἤρεσε περισσότερον ἀπὸ τὰ ἄλλα, ἐπειδὴ ἦσαν εἰς αὐτὸ τρεῖς μόνον μονάζουσαι, μήτηρ καὶ δύο θυγατέρες, καὶ ἦτον μεγάλη ἡσυχία καὶ εἰρήνη· ὅθεν τὰς παρεκάλεσε νὰ δεχθοῦν καὶ αὐτὴν εἰς τὴν συνοδείαν των, καὶ αὐταὶ τὴν ἐδέχθησαν, βλέπουσαι τὴν σεμνότητα καὶ εὐταξίαν της καὶ τὸ ταπεινόν της ἦθος· καὶ ἔμεινεν ὑποτασσομένη εἰς αὐτὰς καὶ δοκιμαζομένη εἰς τοὺς κόπους καὶ τὰς κακοπαθείας τῆς ἀσκήσεως. Δὲν ἐπέρασεν ὅμως πολὺς καιρὸς καὶ ἐφάνησαν ἢ μᾶλλον εἶπεῖν ἔλαμψαν αἱ ἀρεταί της καὶ τῶν προτέρων της ἀσκητικῶν πόνων οἱ πνευματικοὶ καρποὶ ἐγνωρίσθησαν· ὅθεν τὴν ἐκούρευσαν καλογραίαν καὶ τὸ μοναδικὸν σχῆμα τὴν ἐνέδυσαν καὶ ἀντὶ Μαρίας μετωνομάσθη Ματρῶνα· καὶ ὅσον οἱ χρόνοι της προέβαινον καὶ ἡ ἡλικία της ηὔξανε, τόσον καὶ αὐτὴ προέβαινε καὶ ἐπρόκοπτεν εἰς νέους ἀγῶνας καὶ ἀσκητικοὺς πόνους, καὶ ηὔξανε καὶ ἐπερίσσευεν εἰς τὰς ἀρετάς· ὅθεν καὶ ἐξεδόθη ἡ φήμη της καὶ πολλὰς ἄλλας παρεκίνησε καὶ παρεκίνει καθ' ἑκάστην καὶ ἤρχοντο εἰς τὸ Μονήδριον ἐκεῖνο καὶ ἐκοινοβίαζον. Ἀλλ' ἐπειδὴ ἡ Ἐκκλησία των ἦτον πολὺ μικρά, (διότι δὲν ἦτον Ἐκκλησία Μοναστηρίου, ἀλλ' ἦτον γονικὴ καὶ κτητορικὴ τῶν τριῶν ἐκείνων μοναχῶν) ἐπειδὴ λέγω εἶχον στενοχωρίαν εἰς τὴν Ἐκκλησίαν, λέγει ἐν μιᾷ τῶν ἡμερῶν ἡ Ματρῶνα πρὸς τὴν γερόντισσάν της, «Θέλεις, κυρία μου, νὰ μεγαλύνωμεν τὸν Ναὸν τοῦτον, καὶ νὰ κτίσωμεν καὶ μερικὰ κελλία;» Ναί, ἀπεκρίθη ἐκείνη, πολλὰ τὸ ἠγάπουν κυρία μου καὶ ἐγὼ νὰ γίνῃ αὐτὸ ὅπου λέγεις, ἀλλὰ τί νὰ κάμω; γνωρίζεις καὶ ἐσὺ ὅτι ἔξοδα δὲν ἔχω. «Μὴ σὲ μέλει, τῆς λέγει ἡ Ματρῶνα, καὶ ὁ Κύριος οἰκονομεῖ», καὶ τῆς ἐφανέρωσε, πόθεν ἠδύναντο νὰ εὕρουν τὰ ἔξοδα τῆς οἰκοδομῆς· καὶ οὕτω λαβοῦσα τὴν ἄδειαν, ἐπώλησε τὰ ἀκίνητα πράγματα ὅπου εἶχεν εἰς τὴν Βολισσόν, καὶ πρῶτον μὲν ἔκτισεν ἕνα λουτρόν, μετὰ γνώμης καὶ ἀδείας τῆς γερόντισσας, διὰ νὰ λούωνται οἱ πτωχοὶ καὶ ξένοι, κατὰ τὴν συνήθειαν ὅπου εἶχον τὸν καιρὸν ἐκεῖνον οἱ ἄνθρωποι, ἔπειτα ἀρχίζει τὴν οἰκοδομὴν τοῦ Ναοῦ.

Τί δὲ ὁ ἀρχέκακος καὶ μισόκαλλος; Ἐπιχειρεῖ ὁ πονηρότατος νὰ τὴν ῥίψῃ εἰς κανὲν ἄτοπον· ὅθεν ἐκεῖ ὅπου ἤνοιγον οἱ ἐργάται τὰ θεμέλια, νὰ καὶ φαίνεται ἐξαφνα εἰς μεγάλος θησαυρός· ἀλλ' ἤρχισεν ἀπορήσει τις, τί κακὸν ἐνδέχετο νὰ πάθῃ ἡ Ὁσία ἀπὸ τὴν εὕρεσιν τοῦ θησαυροῦ; Ἐκεῖνος μόνον ὁ δόλιος καὶ πανοῦργος ἠξεύρει τοὺς δόλους καὶ τὰς πανουργίας του ἴσως· ἐδοκίμασε νὰ τὴν ῥίψῃ εἰς φιλιργυρίαν ἢ εἰς ὑψηλοφροσύνην, πῶς; τάχα ἔφθασεν εἰς μεγάλα μέρη ἀρετῆς, καὶ ὁ Θεὸς διὰ τὴν ἀρετὴν αὐτῆς, τῆς ἔδωκε τὸν ἀνέλπιστον θησαυρόν· ἢ διὰ τοῦτο, ἢ δι' ἄλλο αἴτιον, ἐκεῖνος ὁ πονηρότατος ἠξεύρει τὴν πονηρίαν του. Καὶ ὁ πανάγαθος καὶ φιλάνθρωπος Θεός, δὲν τὸν ἐμπόδισεν, ἀλλὰ τὸν ἄφησε, διὰ νὰ νικηθῇ καὶ νὰ καταισχυνθῇ ἀπὸ τὴν ἀπάθειαν τῆς Ὁσίας, καθὼς ποτὲ ἐνικήθη καὶ ἀπὸ τὴν ἀπάθειαν καὶ ἀφιλάργυρον γνώμην τοῦ μεγάλου Ἀντωνίου, ὅταν τοῦ ἔδειξεν εἰς τὴν ἔρημον τὸν θησαυρόν· ὅτι δὲν ἐχάρη, οὐδὲ ἐσκίρτησεν ἡ Ὁσία, ἰδοῦσα παρ' ἐλπίδα τὸν θησαυρόν, καθὼς; ἤθελε κάμει ἄλλος ἐμπαθὴς καὶ φυλάργυρος, ἀλλὰ τί; πίπτει παρευθὺς εἰς θερμὴν δέησιν καὶ ἱκεσίαν, καί, «Κύριε Ἰησοῦ Χριστέ, ἔλεγε μετὰ δακρύων, εἰ μὲν τὸ χρυσίον τοῦτο εἶνε ἀπεσταλμένον ἀπὸ τὴν χάριν σου, φανέρωσέ το εἰς ἡμᾶς, εἰ δὲ εἶνε ἀπὸ πανουργίαν τοῦ δαίμονος, ἂς ἀφανισθῇ». Ταῦτα προσευξαμένης τῆς Ἁγίας, (ὢ τοῦ θαύματος!) εὐθὺς ἐφάνη τὸ λαμπρότατον χρυσίον, ἐσβεσμένα κάρβουνα· καὶ ὅλοι οἱ ἰδόντες καὶ ἀκούσαντες τὸ παράδοξον τοῦτο, ἐδόξασαν τὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ δοξαζόμενον Θεόν. Καὶ οὕτω ἡ μὲν Ὁσία ἐδοξάσθη διὰ τὴν ἀπάθειαν καὶ τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν της, ὁ δὲ διάβολος κατῃσχύνθη. καὶ τὸ ἐναντίον ἀπὸ ἐκεῖνα ὅπου ἐβουλεύθη νὰ κάμῃ, ἐγένετο· ἐπειδὴ ἡ μὲν Ματρῶνα, μετὰ τῶν συνασκουμένων, ἔλαβε θάρρος πολὺ εἰς τὴν οἰκοδομὴν τοῦ Ναοῦ, οἱ δὲ δουλεύοντες, ἔγιναν προθυμότεροι εἰς τὸ ἔργον των ἀπὸ τὴν θαυματουργίαν ταύτην.

Ἀφ' οὗ δὲ ἐτελείωσε τὸν Ναόν (μὲ τὴν βοήθειαν τοῦ Ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου (1) εἰς τοῦ ὁποίου τὸ θεῖον ὄνομα ἐτιμᾶτο) τότε ἐτελείωσε καὶ ἡ γερόντισσά της τὴν πρόσκαιρον ταύτην ζωήν, καὶ ἀπῆλθεν εἰς τὴν αἰώνιον, αἱ δὲ συνασκούμεναι ἀδελφαὶ παρεκάλουν θερμῶς τὴν Ματρώναν (2), νὰ δεχθῇ τὴν προστασίαν καὶ ἡγουμενίαν τοῦ Μονηδρίου καὶ τέλος πάντων καὶ μὴ θέλουσαν τὴν ἐψήφισαν Ἡγουμένην καὶ ὑπετάσσοντο εἰς αὐτήν. Ἔτσι δὲ εἰς τὰ γυναικεῖα μοναστήρια συνειθίζουν νὰ λέγουν τὴν Ἡγουμένην Κυράν, τὴν ἔλεγον ὕστερον· ὅθεν ἐπεκράτησεν ἕκτοτε καὶ λέγεται ἀκόμη καὶ τὴν σήμερον ἁγία Κυρά, ἂν καὶ τὰ κύριά της ὀνόματα Μαρία καὶ Μητρῶνα, τοῦτο δηλοῦσι, ἤγουν Κυρία, ὡς τὸ ἐναντίον καὶ οἰκεῖος καὶ κα-

---

(1) Ἰστέον ὅτι προτροπῇ καὶ παρακινήσει τοῦ μοναρίου πρώην Κορίνθου Μακαρίου διωρθώθη κατά τε λέξιν καὶ σύνθεσιν ἡ τῆς Ὁσίας διήγησις παρὰ Νικηφόρου Ἱερομονάχου τοῦ Χίου.

(1) Μὲ ἐκεῖνο ὅπου λέγει ὁ συγγραφεὺς τοῦ βίου τῆς Ὁσίας πῶς τελειώσασα τὸν Ναόν, τὸν ἀφιέρωσεν εἰς τὸν Σωτῆρα Χριστόν, δίδει ἔννοιαν πῶ; τὸν ὠνόμασε Σωτῆρα ἢ Χριστὸν, ἢ Ζωοδότην, ὅθεν καὶ πολλοὶ λέγουσιν, ὅτι αὐτὸς ὁ Ναός, ὃν ᾠκοδόμησεν ἡ Ἁγία, εἶναι ὁ Σωτὴρ ὁ ἐν τῇ Τουρκοπαροικίᾳ, ὅμως συμπεραίνεται μὲ ὀρθοὺς στοχασμούς, πῶς δὲν εἶναι ὁ Σωτήρ, ἀλλὰ εἶναι οὗτος ὅπου βλέπομεν, καὶ τιμᾶται εἰς τὸ ὄνομα τῆς Ὁσίας Ματρώνης, πρῶτον ἀπὸ ἐκεῖνο ὅπου λέγει ὁ ἴδιος συγγραφεύς, ὅτι κατέθεσαν τὸ πάντιμον αὐτῆς σῶμα εἰς τὸν Ναόν, ὃν αὐτὴ ἔκτισε. Ποῦ εὑρέθη ἡ ἁγία της κάρα; Ἀναμφιβόλως εἰς τὸν Ναὸν τοῦτον· ἀκόμη καὶ τὸν τόπον ἐκεῖνον προσκυνοῦμεν, καὶ μᾶς τὸν δεικνύει φανερὰ τὸ κεχυσσωμένον κουβούκλιον· πρῶτον, λέγω, δηλοῦται ἐκ τοῦ στοχασμοῦ τούτου, δεύτερον ἐκ τοῦ ὑπομνήματος τῆς εὑρέσεως τῆς ἁγίας κάρας· χρόνου ἱκανοῦ, λέγει, διατεράσαντες, ἠθέλησαν τὸν Ναὸν αὐτῆς μεῖζω ποιῆσαι, καὶ εὗρον τὴν ἁγίαν κάραν. Ὁ Ναὸς αὐτὸς πρότερον ἐτιμᾶτο εἰς τὸ ὄνομα τοῦ Ἁγίου Ἀρτεμίου, καθὼς καὶ ἔτι συντιμᾶται· Ναὸν ξεχωριστὸν νὰ ἔκτισαν εἰς μόνον τὸ ὄνομα τῆς Ὁσίας, οὔτε ἐξ Ἱστορίας τὸ ἔχομεν, οὔτε ἐκ παραδόσεως, ἀλλὰ καὶ ἀκόλουθον εἶναι νὰ ἐγίνετο ἡ συνδρομὴ τοῦ λαοῦ ἐν ᾧ ἠσκήτευε Ναῷ ἡ Ὁσία καὶ ἐν ᾧ κατετέθη, καὶ πῶς ἔπειτα ὁ ναὸς τοῦ Ἁγίου Ἀρτεμίου, ἤθελε τιμᾶσθαι εἰς τὸ ὄνομα τῆς Ὁσίας, καὶ νὰ συντρέχῃ ἐκεῖσε ὁ λαός; Λοιπὸν τοῦ Ἁγίου Ἀρτεμίου τὸν ναὸν, ὃν ἔκτισεν ἡ Ὁσία καὶ ἐν ᾧ κατέθεντο τὸ ἱερόν της Λείψανον, μικρὸν ὄντα, ἐμεγάλυναν, ὡς ὁρᾶται καὶ σήμερον· ὅθεν δῆλον, ὅτι οὗτος εἶναι ὁ ναός, ὃν ἔκτισεν ἡ Ὁσία καὶ οὗτος εἶναι ὁ ἱερὸς ἐκεῖνος τόπος, ὃν ἡγίασε μὲ τοὺς ἀσκητικούς της ἱδρῶτας· ἐκεῖνο δὲ ὅπου λέγει πῶς τὸν ἀφιέρωσεν εἰς τὸν Σωτῆρα Χριστόν, ἴσως τὸ ἔρραψαν ἐκεῖ ἀπερίεργοι, καθ' ὅτι ὅλαι αἱ Ἐκκλησίαι καὶ ὅλοι οἱ Ἅγιοι εἶναι τοῦ Σωτῆρος Χριστοῦ.

(2) Ὅρα ἐν τῷ ἀνεκδότῳ ἑλληνιστὶ συντεθειμένῳ ἐγκωμίῳ τῆς Ὁσίας Νείλου τοῦ Χίου, Μητροπολίτου Ρόδου, ὅστις πρῶτος ἔγραψε περὶ τῆς Ἁγίας Μ τρώνης καὶ τὴν ἀκολουθίαν αὐτῆς ἐφιλοπόνησε τὴν ἐν τῇ εἰκοστῇ ψαλλομένην τοῦ Ὀκτωβρίου ἔτι λαϊκὸς ὢν καὶ Νικήτας ὀνομαζόμενος.

ταλλήλως καὶ ὡς ἀπὸ θείαν νεῦσιν τῆς ἐδόθησαν ὅλα· ὅτι οὐ μόνον φερωνύμως ἐκυρίευσε τὰ πάθη καὶ τὸν κόσμον καὶ τοὺς κοσμοκράτορας, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον, τὸν κυριεύοντα παντὸς ἀνθρωπίνου γένους ἐκυρίευσε καὶ ἐνίκησε καὶ ὡσὰν ἕνα ὕπνον τὸν ἀπέδειξεν· ἀκούσατε δὲ διὰ νὰ θαυμάσητε καὶ πιστωθῆτε τὴν ἀλήθειαν.

Ὅταν ἐξουσίαζον οἱ Γενοβέζοι τὴν Χίον, ἦλθε πλῆθος ἀπὸ ἓν βάρβαρον ἔθνος τῆς Δύσεως, ἄνθρωποι βάρβαροι καὶ κατὰ τὴν γλῶσσαν καὶ κατὰ τὸ ἦθος ἀγριώτατοι καὶ ἀπανθρωπότατοι καὶ ἔκαμναν πολλὰς ἁρπαγάς καὶ ζημίας εἰς τὴν Χίον· ὅτε δὲ ἦλθον καὶ εἰς τὸ μοναστήριον τῆς Ὁσίας, ὥρμησεν εἰς ἀπὸ αὐτούς, ὁ πλέον ἀναιδέστερος καὶ ἀνασχυντότερος τῶν ἄλλων, νὰ βιάσῃ μίαν καλογραῖαν· ἀλλ' ὦ τοῦ θαύματος! «παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς»· ἔφθασεν ἡ θεία δίκη τὸν ἄθλιον καὶ ἔπεσεν ἐκείνην τὴν ὥραν νεκρὸς εἰς τὴν γῆν. Ἡ Ὁσία λοιπόν, ἤτις εἶχεν ὅλην της τὴν ἐλπίδα καὶ τὴν πεποίθησιν εἰς τὸν Θεὸν καὶ ἐκεῖθεν ἐζήτει διὰ προσευχῆς τὴν βοήθειαν, βλέπουσα τοῦτο ἐδόξαζε τὴν ταχεῖαν τοῦ Θεοῦ ἀντίληψιν, ἀλλὰ καὶ εὐσπλαγχνίσθη τὸν ἄσπλαγχνον ἐκεῖνον βάρβαρον καὶ προσευξαμένη εἰς τὸν Θεόν, τὸν ἔχοντι ζωῆς καὶ θανάτου ἐξουσίαν, τὸν ἀνέστησε μὲ θαῦμα καὶ ἔκπληξιν τῶν ἰδόντων καὶ ἀκουσάντων τὸ γεγονός. Ἀφοῦ δὲ τὸν ἀνέστησε καὶ ἔκαμε νὰ τρομάξουν μὲ τὰ δύο ταῦτα, μὲ τὸν θάνατον, λέγω, καὶ τὴν ἀνάστασιν, τοὺς φέρβρους ἐκείνους βαρβάρους, ἔχουσα τὸν καιρὸν ἐπιτήδειον, τοὺς ἐνουθέτησεν ὡς ἔπρεπε καὶ τοὺς ἀπέλυσεν. Οἱ δὲ ἀνεχώρησαν ἐκ τῆς Χίου ἔμφοβοι καὶ ἔντρομοι· ὅθεν ἐλθόντες καὶ δευτέραν φορὰν δὲν ἐτόλμησαν νὰ ὑπάγουν πλέον εἰς τὸ μοναστήριον τῆς Ἁγίας καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ εἰς ὅλην τὴν πόλιν ἐφάνησαν ἡμερώτεροι καὶ φιλανθρωπότεροι καὶ τὰ πρότερον δεινὰ δὲν ἐτόλμησαν πλέον νὰ κάμωσι.

Πλήν, τὸ νὰ ἀναστήσῃ διὰ προσευχῆς τὸν νεκρὸν ἡ Ὁσία ἦτο τῆς θείας χάριτος κατώρθωμα καὶ τῆς πρὸς Θεὸν παῤῥησίας της ἔνδειξις· τὸ δὲ νὰ ἀποθάνῃ καὶ αὐτὴ ἡ ἰδία ὡς ἄνθρωπος εἶναι τῆς ἀνθρωπίνης φύσεως νόμος κοινὸς καὶ χρέος ἀπαραίτητον· ὅθεν ὅταν εὐδόκησεν ὁ ἀθάνατος αὐτῆς Νυμφίος Χριστὸς νὰ τὴν παραλάβῃ διὰ θανάτου εἰς τοὺς ἀθανάτους καὶ οὐρανίους νυμφῶνας αὐτοῦ καὶ νὰ τὴν ἀναπαύσῃ ἀπὸ τοὺς ἀσκητικούς αὐτῆς κόπους εἰς τὴν αἰώνιον ἐκείνην μακαριότητα τοῦ οὐρανοῦ, τότε τῆς ἀπεκάλυψε πρὸ ἑπτὰ ἡμερῶν τὸ μακάριον τέλος της καὶ τὴν πρὸς αὐτὸν ἐκδημίαν της, καὶ μικρὸν ἀσθενήσασα, ἐπροσκάλεσε τὰς ἀδελφάς καὶ ὑποτακτικάς της, καὶ τὰς ἐνουθέτησεν ὡς μήτηρ, καὶ τὰς ἐσυγχώρησεν, εἶτα καὶ αὐτὴ συγχώρησιν λοβοῦσα παρ' ἐκείνων, καὶ ὅλα τὰ Χριστιανικὰ τελέσασα καὶ τὴν κοινωνίαν τῶν ἀχράντων Μυστηρίων δεξαμένη, παρέδωκε τὴν ἁγίαν της ψυχὴν εἰς τὰς ἀχράντους χεῖρας τοῦ ψυχοσώστου Θεοῦ. Ἐκοιμήθη δὲ ἡ Ἁγία αὕτη ἐν ἔτει ἀπὸ Χριστοῦ 1462 τῇ κ'. τοῦ Ὀκτωβρίου καὶ ἐτάφη τὸ ἱερὸν αὐτῆς σῶμα εἰς τὸν Ναὸν ὅπου ἔκτισεν ἡ ἰδία. Ὁ δὲ τῶν θαυμασίων Θεός, ὃν ἐδόξασε μὲ τοὺς ἀσκητικούς της· ἀγῶνας καὶ μὲ τὰς ἀρετάς της, τὴν ἐδόξασε μετὰ θάνατον μὲ τὴν θείαν του χάριν καὶ ἀνέδειξεν εἰς τοὺς ἀνθρώπους τὰ θεῖά της λείψανα καὶ τὸν ἱερὸν της ναόν πηγὴν θαυμάτων ἀέναον καὶ ἰατρεῖον ἀμισθον παντὸς πάθους καὶ πάσης ἀσθενείας, ἀπὸ τὰ ὁποῖα θέλομεν διηγηθῇ μερικά, εἰς δόξαν Θεοῦ, τοῦ ἐνδοξασάντου ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ εἰς ὠφέλειαν τῶν ἀναγινωσκόντων καὶ ἀκουόντων.

Εἰς τὴν Μαγνησίαν, πόλιν ἐπίσημον τῆς Ἀνατολῆς, ἦτον εἷς Ἀγαρηνὸς πλούσιος πολλά (1), καὶ ἀσθενήσας ἔμεινε καθ' ὅλον τὸ ἀριστερὸν μέρος τοῦ σώματός του ξηρός· τοῦ ἔκαμαν εἰ ἰατροὶ πολλὰ ἰατρικά, πλὴν νὰ τοῦ βοηθήσουν δὲν ἠδυνήθησαν, καὶ αὐτὸς πολλὰ χρήματα δαπανήσας, οὐδὲν ὄφελος ἔλαβεν. Εἶχεν ὅμως, αὐτὸς μίαν δούλην Χριστιανήν, Μαρίαν ὀνομαζομένην, ἡ ὁποία βλέπουσα αὐτὸν νὰ ἐξοδεύῃ τὸν πλοῦτόν του ματαίως καὶ νὰ μὴ λαμβάνῃ θεραπείαν, ἓν μιᾷ τῶν ἡμερῶν λέγει πρὸς αὐτόν, «αὐθέντα μου, ἐγὼ ἠξεύρω ἕνα ἰατρόν, εἰς τὸν ὁποῖον ἐὰν θελήσῃς νὰ ὑπάγῃς, λαμβάνεις ἀναμφιβόλως παρ' αὐτοῦ τὴν ὑγείαν σου». Ἡ ἀνάγκη βιάζει τὸν αὐθέντην νὰ ἀκούσῃ μετὰ προσοχῆς μεγάλης τοὺς λόγους τῆς δούλης, καὶ ζητεῖ νὰ μάθῃ τὸν ἰατρόν. «Εἰς τὴν Χίον, τοῦ λέγει ἐκείνη, εἶναι μία γυνὴ ἁγία τῶν Χριστιανῶν, ἡ ὁποία ἰατρεύει κάθε εἴδους ἀσθένειαν, χωρὶς βότανα καὶ ἔμπλαστρα, καὶ ἂς ὑπάγωμεν ἐκεῖ νὰ σὲ ἰατρεύσῃ». Πείθεται ὁ αὐθέντης, καὶ πέρνει τὴν Μαρίαν καὶ ἄλλους τινὰς εἰς τὴν συνοδείαν του καὶ ἔρχεται εἰς τὴν Χίον, καὶ βασταζόμενος ὑπὸ τῶν δούλων του ἐφέρθη εἰς τὸν Ναὸν τῆς Ἁγίας. Ζητεῖ ἐκεῖ νὰ εὕρῃ τὸν ἰατρὸν καὶ νομίζει ἀκόμη πῶς εἶναι καμμία ζωντανὴ γυνή, καθὼς ἐξ ἀρχῆς ὑπέλαβε· καὶ ἡ δούλη του λέγει, «ἀναπαύσου ὀλίγον καὶ ἔρχεται ἡ γυνή, καὶ ἐξάπαντος θέλει σὲ ἰατρεύσῃ». Κατὰ ἀλήθειαν, ἀδελφοί, δίκαιον εἶναι νὰ εἴπωμεν περὶ ταύτης τῆς γυναικὸς ἐκείνα τὰ Εὐαγγελικά «ὦ γύναι μεγάλη σου ἡ πίστις»· ὅτι καὶ τῇ ἀληθείᾳ μεγάλη καὶ ἀπάστακτος ἦτον ἡ πίστις αὐτῆς πρὸς τὸν Θεὸν καὶ ἡ ἐλλάβειά της πρὸς τὴν Ἁγίαν· δὲν ἐδίστασε καὶ δὲν ἐφοβήθη νὰ εἴπῃ μὲ τὸν ἑαυτόν της «κλὰ, κινῶ ἐγὼ τὸν αὐθέντην μου ἄρρωστον νὰ κάμῃ τόσον μακρὸν ταξείδιον, καὶ διὰ ξηρᾶς καὶ διὰ θαλάσσης, ἀλλ' ἐὰν ἴσως τὸν βδελυχθῇ ἡ Ὁσία ὡς ἄπιστον καὶ ἀκούσω καὶ ἐγὼ ὡς ἡ Χαναναία, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις, ἂν ἴσω, λέγω, καὶ δὲν τὸν ἰατρεύσει τι μὲ κάμει ὕστερον;». Ναὶ δὲν ἐδίστασεν, οὐδὲ ἐφοβήθη, ἀλλ' οὐδὲ ἡ προσευχὴ δὲν ἔλειπεν ἀπὸ τὸν νοῦν της, οὐδὲ τὰ δάκρυα ἀπὸ τοὺς ὀφθαλμούς της· ὅθεν καὶ μὲ θάῤῥος καὶ πολλὴν πεποίθησιν τοῦ λέγει «ἀναπαύσου καὶ θέλεις ἰατρευθῆ». Ἀναπαύεται ὁ αὐθέντης της καὶ μὲ τὴν καλὴν ἐλπίδα τῆς ὑγείας του ἡσυχάζει. Τί δὲ ἡ Ὁσία Ματρώνα; Παρευθὺς τὴν πρώτην ἐκείνην νύκτα φαίνεται εἰς τὸν ἀσθενῆ ἐν ὁράματι καὶ τοῦ λέγει· «διὰ τὰ δάκρυα, τὰς προσευχάς καὶ τὴν πίστιν τῆς ὁμωνύμου μου Μαρίας, τῆς δούλης σου, σὲ ἰατρεύω· σήκω καὶ περιπάτει ἐν τῷ ὀνόματι τοῦ Κυρίου μου καὶ ὕπαγε ὑγιὴς εἰς τὸν οἶκόν σου». Ὁ δὲ Ἀγαρηνὸς ἀποτινάξας τὸν ὕπνον, ἐγὼρισε τὸν ἑαυτόν

(1) Τὸ θαῦμα τοῦτο, ὁμοίως καὶ ὁ χρόνος, καθ' ὃν ἡ Ὁσία πρὸς Κύριον ἐξεδήμησε, καὶ ὅ,τι ἄλλο δὲν εὑρίσκεται ἐν τῷ πρώτως ἐκδοθέντι ὑπομνήματι, εὑρέθησαν ὕστερον ἐν μεμβράνῃ ἐν τῇ ἱερᾷ Μονῇ τῶν Μουνδῶν, ἤτοι τῶν Διευχῶν.

τοῦ ὅλον ὑγιᾶ, χωρὶς κανένα λείψανον τοῦ πάθους του· καὶ οὕτω ἐκεῖνον μὲν ἠλευθέρωσεν ἡ θαυματουργὸς Ματρῶνα ἀπὸ τὸ πάθος, τὴν δὲ Μαρίαν ἠλευθέρωσεν ἀπὸ τὴν σωματικὴν δουλείαν καὶ τὴν ψυχικήν της σωτηρίαν ἀκονόμησεν· ὅτι ὁ Ἀγαρηνὸς ἐκεῖνος, εἰς μὲν τὸν ναὸν τῆς ἁγίας ἀφιέρωσε πολλὰ πράγματα, τὴν δὲ δούλην ἠλευθέρωσε, καὶ τὰ χρειώδη πρὸς τὴν ζωοτροφίαν της ἔδωκεν· αὐτὴ δὲ ὡς εὐγνώμων καὶ εὐλαβής, ἔμεινεν ὑπηρετοῦσα τὸν ναὸν τῆς Ὁσίας ἕως τέλους τῆς ζωῆς της καὶ θεαρέστως ζήσασα ἀνεπαύθη ἐν Κυρίῳ. Τοῦτο τὸ θαῦμα κοινολογηθὲν εἰς τὴν Μαγνησίαν ἔκαμε μεγάλον κρότον καὶ εἰς μεγάλην εὐλάβειαν πρὸς τὴν ἁγίαν ἐκίνησε τοὺς ἐκεῖσε Χριστιανούς καὶ ἔκτοτε συνειθίζουν καὶ ἔρχονται πολλοὶ ἀπ' αὐτὴν τὴν χώραν ἐν τῇ μνήμῃ αὐτῆς εἰς προσκύνησιν τῶν ἱερῶν λειψάνων· ἀλλὰ καὶ ἀπὸ πολλὰ ἄλλα μέρη ἤρχοντο καὶ ἔρχονται καὶ ὅλοι σχεδὸν οἱ ἄνθρωποι τῆς νήσου συνέρχον καθὼς καὶ ὡς τὴν σήμερον συντρέχουσιν· ἀλλ' ἐπειδὴ ἦτον ὁ ναὸς μικρὸς καὶ ἦτο μεγάλη στενοχωρία εἰς τὸ πλῆθος τῶν εἰσερχομένων, διὰ τοῦτο οἱ μεταγενέστεροι πολῖται τῆς Χίου ἠθέλησαν νὰ τὸν μεγαλύνουν. Λοιπὸν ἐπῆραν μέσα εἰς τὸ πλάτος τῆς Ἐκκλησίας καὶ τὸν τόκον ὅπου ἦτο ὁ τάφος τῆς Ὁσίας, ἐνῷ δὲ ἔσκαπτον αὐτὸν εὑρέθη, κατὰ θείαν οἰκονομίαν, ἡ ἁγία καὶ σεβασμία της κεφαλή, ἄῤῥητον εὐωδίαν ἐκπέουσα καὶ μὲ ὅλα τὰ σημεῖα τῆς θείας χάριτος δεδοξασμένη· ἀφοῦ τὴν ὥραν ἐκείνην ἀσπασάμενες αὐτὴν εἰς παρήλυτος ἠωρθώθη καὶ μία γυνὴ μογγιλάλος ὡμίλησε καθαρῶς. Ἔγινε δὲ μεγάλη χαρὰ καὶ μεγάλη συνδρομὴ τῶν χριστιανῶν εἰς προσκύνησίν της, καὶ ὄχι μόνον οἱ ἡμέτεροι, ἀλλὰ καὶ ὁ τότε ἐξουσιαστὴς τῆς Χίου Γενοβέζος τὴν εἶδε καὶ μαρτυρίαν ἔγγραφον ἔδωκεν, ὅτι εἶναι ἀληθῶς ἡ κάρα τῆς Ὁσίας Ματρώνης, ὅθεν καὶ ἑορτὴ τελεῖται εἰς τὰς ιε'. τοῦ Ἰουλίου μηνὸς εἰς μνήμην τῆς εὑρέσεως.

Πολλὰ καὶ ἐξαίσια θαύματα ἐτέλεσεν ἡ Ἁγία εἰς διαφόρους περιστάσεις, ἀλλ' ἡμεῖς ἀφέντες τὰ ἄλλα, τὰ ἐξ ἀγράφου παραδόσεως, γράφομεν, εἰς δόξαν αὐτῆς καὶ εἰς ὠφέλειαν τῶν πιστῶν, μόνα ταῦτα ὅσα εἴδομεν ἢ ἀπὸ τοὺς ἀμέσως ἰδόντας ἠκούσαμεν.

Εἰς τοὺς χιλίους ἑπτακοσίους χρόνους ἀπὸ Χριστοῦ, ἦλθεν ἀπὸ τὴν Εὐρώπην εἰς ἄνθρωπος κουτσὸς καὶ κατὰ τοὺς δύο πόδας, καὶ δὲν ἠδύνατο παντελῶς νὰ σταθῇ εἰς τοὺς πόδας του, ἀλλὰ καθήμενος ἐπάνω εἰς ὑποζύγιον ἐπῆγεν εἰς τὸν Ναὸν τῆς Ὁσίας, καὶ ἐκεῖ πάλιν ὑποστηριζόμενος ἐπάνω εἰς δύο ῥάβδους εἰσῆλθεν εἰς τὴν Ἐκκλησίαν καὶ μετὰ πίστεως μεγάλης ἔπεσεν εἰς τὸν τάφον τῆς Ἁγίας, καὶ ἐπέρασεν ἐκεῖ ἡμέρας τινάς, ἕως τῆς εἰκοστῆς τοῦ Ὀκτωβρίου μηνός, ἐν ᾗ τελεῖται ἡ θεία της μνήμη, καὶ τὴν νύκτα ἐκείνην ἀνωρθώθη παραδόξως ὁ ἄνθρωπος καὶ ἐπεριπάτησε χωρὶς ῥάβδους καὶ εἰς τὸ ἑξῆς περιεπάτει ἀνεμπόδιστα, δοξάζων τὸν Θεὸν καὶ τὴν αὐτοῦ Ἁγίαν Ματρώναν· ὅθεν καὶ πρὸς εὐχαριστίαν αὐτῆς ἐξώδευσεν ἑκατὸν γρόσια, καὶ ἐχρύσωσε τὸ κουβούκλιον ὅπου εἶναι ἐπάνω εἰς τὸν ἱερὸν τάφον τῆς Ὁσίας, καθὼς ἔτι καὶ τὴν σήμερον φαίνεται· εἶτα, ἀπελθὼν εἰς τὴν Βενετίαν καὶ ἐπιστρέψας, προσέφερε τρία μπρούτζινα μανουάλια μεγάλα καὶ ἕνα πολυέλεον εἰς μνήμην τοῦ εἰς αὐτὸν γενομένου θαύματος.

Ἀλλὰ καὶ εἰς τοὺς 1701, Ὀκτωβρίου 21, χωλοὶ παραμένοντες εἰς τὸν θεῖον αὐτῆς ναὸν περιεπάτησαν, παραλυτικοὶ ἀνωρθώθησαν, τυφλοὶ ἀνέβλεψαν, καὶ ὅλοι σχεδὸν οἱ πάσχοντες καὶ τὴν θεραπείαν των παρὰ τῆς Ὁσίας ζητοῦντες, ἰατρεύθησαν, τόσον ὁποῦ ἐὰν θελήσαμεν νὰ τὰ γράψωμεν ὅλα, ἴσως ἤθελον φανεῖν ἀπίστευτα εἰς μερικούς. Λοιπὸν παρατρέχομεν τὰ ἄλλα, συντομίας χάριν, καὶ μόνον τὸ ἀκόλουθον, ὡς ἀστειότερον τῶν ἄλλων διηγούμεθα, καὶ ἐξ αὐτοῦ δύναται νὰ πληροφορηθῇ καθ' εἷς καὶ περὶ τῶν ἄλλων. Κοντὰ εἰς τοὺς ἄλλους ἀσθενεῖς, τοὺς ἐν τῷ ναῷ τῆς Ὁσίας παραμένοντας, ἦτο καὶ εἷς τυφλὸς καὶ εἷς χωλός, καὶ μία γυνὴ ἄλαλος. Ἐν τῇ νυκτὶ ἐκείνῃ βλέπει ἡ ἄλαλος γυνὴ εἰς τὸν ὕπνον της, πῶς τὴν ἐδίωκεν ὁ χωλός, καὶ φοβηθεῖσα ἐφώναξε· τοῦ δὲ χωλοῦ ἐφάνη εἰς τὸν ὕπνον καὶ αὐτοῦ πῶς ἤκουε τὰς φωνὰς τῆς ἀλάλου γυναικὸς καὶ ἐξεπλάγη καὶ ἐτρόμαξεν ὁ ἄνθρωπος καὶ ἔρριχεν ἀνεμποδίστως· εἰς δὲ τὸν τυφλὸν ἐφάνη ἐν τῇ αὐτῇ ὥρᾳ πῶς ἤκουσε τὰς φωνὰς καὶ τὸ τρέξιμον, καὶ ὡσὰν τάχα νὰ εἶχε τὸ φῶς του, ἐγύρισε πρὸς τὸ μέρος ἐκεῖνο καὶ ἐκοίταξε νὰ μάθῃ τί ἦτον. Αὐτὰ εἶδον ἐν ὁράματι ἑνταυτῷ καὶ οἱ τρεῖς, καὶ ἀποτινάξαντες τὸν ὕπνον, (ὦ τοῦ θαύματος! ὦ τῆς πρὸς Θεὸν παῤῥησίας καὶ τῆς θαυματουργικῆς χάριτος τῆς Ὁσίας!) ἡ μὲν ἄλαλος ἐλάλει ῥαντῶς, ὁ δὲ χωλὸς περιεπάτει ἐλευθέρως, καὶ ὁ τυφλὸς ἔβλεπε καθαρῶς· καὶ διηγούμενοι εἰς τοὺς παρόντας τὸ ὅραμα (ὅτι διευκτέρευον πάμπολυ πλῆθος ἀνθρώπων ἐν τῷ ναῷ) πάντας ἐξέπληξαν καὶ εἰς δόξαν Θεοῦ καὶ τῆς Ἁγίας αὐτοῦ ἐκίνησαν. Τὰ παράδοξα καὶ ὑπερφυσικὰ ταῦτα θαύματα, ἀκουσθέντα καὶ κοινολογηθέντα ἐκίνησαν ὅλον σχεδὸν τὸ πλῆθος τῆς πόλεως εἰς τὴν θεωρίαν των, καὶ οὕτως ἔγιναν πασίδηλα καὶ κοινότατα, ὥστε ὅπου καὶ ὁ τότε Ἁγᾶς τοῦ τόπου τὸ ἔμαθε καὶ μὴ πιστεύσας εἰς τὴν κοινὴν φήμην, παρέστησεν ἐμπρός του τὸν στραβὸν καὶ τὸν κουτσὸν καὶ τὴν βουβήν, καὶ ἰδὼν αὐτοὺς καὶ ἀκριβῶς ἐρευνήσας ἐβεβαιώθη καὶ ὑπερεθαύμασε καὶ αὐτὸς μετὰ πάντων τῶν ἄλλων. Οὐ μόνον δὲ εἷς τοὺς μετὰ πίστεως προσερχομένους εἰς τὸν ναόν της θαυματουργεῖ ἡ Ὁσία, ἀλλὰ καὶ εἰς τοὺς μακρόθεν ἐπικαλουμένους τὴν αὐτῆς θείαν χάριν καὶ ἀντίληψιν.

Ὅτι κατὰ τὸν αὐτὸν χρόνον ἡ σύζυγος τοῦ ἡγεμόνος τῆς Βλαχίας, Σαφρονίτσα τὸ ὄνομα, ἔπασχε δεινῶς ἀπὸ μητρικὰ πάθη, καὶ ἐκινδύνευεν, ὡσὰν ὅπου δὲν εὑρέθη ἱκανὸς ἰατρὸς νὰ τὴν ἰατρεύσῃ· ἀκούσασα δὲ τὴν θαυματουργικὴν χάριν, ἣν ἔλαβε παρὰ Θεοῦ ἡ Ὁσία Ματρῶνα, τὴν ἐπεκαλέσθη εἰς βοήθειαν, καὶ τὴν νύκτα ἐκείνην βλέπει ἐν ὁράματι μίαν καλογραῖαν, καὶ τῆς λέγει, «ἐγὼ εἶμαι ἡ Χιοπολίτις Ματρῶνα»· εἶτα ἀλείψασα τὸ πάθος τῆς γυναικὸς μὲ κάποιο τι ὅπου ἔκρατεν εἰς τὰς χεῖρας της ἐφάνη πάλιν τὴν ἰάτρευσε καὶ αὐτὴ ἔξυπνος γενομένη εὑρέθη, (ὦ τοῦ θαύματος!) ὅλη ὑγιής, καὶ μετὰ κατανύξεως ἐδόξαζε τὴν χάριν τῆς Ἁγίας καὶ ὄχι μόνον μὲ λόγους εὐχαρίστει αὐτὴν ἀλλὰ καὶ μίαν πολύτιμον χρυσῆν ἱερατικὴν στολὴν ἀπέστειλεν εἰς τὸν ναόν της καὶ μίαν μεγάλην ἀργυρᾶν κανδήλαν.

Ἀλλὰ καὶ κατὰ τὸ 1705, ἦλθεν εἰς Χριστιανὸς ἀπὸ τὴν Κρήτην μὲ ὀφθαλμοὺς ἀνοικτούς, ἀλλὰ χωρὶς τελείως νὰ βλέπῃ, ὅστις ἐπικολούμενος τὴν χάριν τῆς Ἁγίας μετὰ πίστεως, ἔλεγεν «ἁγία τοῦ Θεοῦ, δὲν ἀναχωρῶ ἀπὸ τὸν

ναόν σου ἂν δὲν ἴδω τὸ φῶς μου», καὶ κατὰ τὴν πίστιν αὐτοῦ ἐγένετο. Ὅτι κατὰ τὴν 20ὴν τοῦ Ὀκτωβρίου ἐν τῇ μνήμῃ τῆς Ὁσίας ἔλαβε τὸ φῶς του καὶ τόσον καθαρὰ ἔβλεπεν, ὥστε εἰς βεβαίωσιν τοῦ γενομένου θαύματος ἐμέτρα μίαν πρὸς μίαν τὰς ἀναμμένας κανδήλας καὶ δοξάζων τὸν, Θεὸν ηὐχαρίστει τὴν Ἁγίαν.

Κατὰ τὸ ἔτος 1723, Μαρτίου 1ην, ἡμέραν Παρασκευὴν ἔλυβεν εἰς κωφὸς τὴν ἀκοήν του καὶ τὴν λαλιάν του μέσα εἰς τὸν ναόν τῆς Ὁσίας καὶ ἔμεινεν εἰς τὸ ἔξῆς ἀκούων καλῶς καὶ λαλῶν καθαρῶς εἰς δόξαν Θεοῦ τοῦ ἐνδοξαζομένου ἐν τοῖς ἁγίοις αὐτοῦ. Προσέτι καὶ κατὰ τὸ ἔτος 1734 τῇ 4ῃ Μαΐου ἐθαυμαστώθη ἡ χάρις τῆς ἁγίας εἰς μίαν ἄλλον κατὰ τὸν ἀκόλουθον τρόπον. Κάποιοι ἄνθρωποι ἀπὸ τὴν νῆσον Σ'φνον ἐταξείδευον εἰς τὴν Κων)πολιν ὁμοῦ μὲ τὰς γυναῖκας των καὶ ἐμποδισθέντες ἀπὸ ἐναντίους ἀνέμους ἐβγῆκαν ἐδῶ εἰς τὴν Χίον. Λοιπὸν ἦλθον καὶ εἰς προσκύνησιν τῆς Ὁσίας αἱ γυναῖκες καὶ κοντὰ εἰς τὰ ἄλλα των ζητήματα ἐζήτησαν καὶ ἐπιτήδειον ἄνεμον διὰ τὸ τα ξείδιόν των. Μετὰ δὲ τὴν προσκύνησιν καὶ τὴν προσευχήν των, ἔδωκε κάθε μία λειτουργίαν εἰς τὸν ἐφημέριον, διὰ νὰ λειτουργήσῃ διὰ τὸ κατευόδιόν των· (ὁ Παπᾶ Ἰωάννης ὁ ἐπιλεγόμενος Ξανθὸς, ἦτον οὗτος, γνωστὸς ἡμῖν ἅπασι)· μία ἐξ αὐτῶν Κωνσταντίνα ὀνομαζομένη, ἔδωκε λειτουργίαν χωρὶς νὰ εἰπῇ τὸ ὄνομά της· τὴν ἐρωτᾷ ὁ ἱερεὺς τὸ ὄνομά σου; καὶ ἀπεκρίθησαν αἱ ἄλλαι, ἐμὴ τὴν ἐρωτᾶς, Δέσποτά μου, διότι εἶναι βουβή· «ἡ χάρις τῆς Ὁσίας νὰ τὴ δώσῃ τὴν λαλιάν της», εἶπεν ὁ ἱερεύς, καὶ ἀνεχώρησαν αἱ γυναῖκες· ἀλλὰ πρὸ τοῦ νὰ δύσῃ ὁ ἥλιος, νὰ καὶ ἔρχονται αἱ αὐταὶ γυναῖκες εἰς τὸν ναὸν τῆς Ὁσίας μὲ χαρμόσυνον κατάνυξιν, ἔχουσαι καὶ τὴν Κωνσταντίναν λαλοῦσαν καθαρῶς, ὡς καὶ αἱ ἄλλαι, καὶ ἔκαμναν ἐπίδειξιν τοῦ θαύματος, δοξάζουσαι τὸν Θεὸν καὶ εὐχαριστοῦσαι τὴν Ὁσίαν αὐτοῦ Ματρώναν.

Εἰς δὲ τοὺς 1743, ἕφερον μίαν γυναῖκα ἀπὸ τὸ Τάλαρον, (τόπος ἔξω τῆς Χώρας οὕτω καλούμενος) βασταζομένην ὑπὸ τεσσάρων ἀνθρώπων, διότι τόσον πολλὰ πρισμένη ἦτον ἡ κοιλία της, ὥστε ὅπου οἱ ἰατροὶ τὴν ἀπεφάσισαν πλέον εἰς θάνατον. Ἔμεινε δὲ εἰς τὸν Ναὸν τῆς Ἁγίας ἡμέρας τινάς· καὶ μίαν νύκτα φαίνεται εἰς τὸν ὕπνον της μία καλογραία, καὶ τῆς λέγει, «Ἄλειψε τὸ πάθος σου μὲ λάδι ἀπὸ τὴν κανδήλαν μου, καὶ θέλεις ὑγιάνει·» καὶ αὐτὴ ζητήσασα τὸ πρωῒ λάδι ἀπὸ τὴν κανδήλαν τῆς Ἁγίας, καὶ ἀλεῖψασα τὴν κοιλίαν της, ἐξεπρίσθη, (ὦ τοῦ θαύματος!) καὶ ἡ πρότερον ἐλθοῦσα ὑπὸ τεσσάρων βασταζομένη, ἀνεχώρησεν ὕστερον καλῶς ἔχουσα καὶ περιπατοῦσα μὲ τοὺς ἰδίους της πόδας, εἰς ἔνδειξιν τοῦ θαύματος, ἐπῆγεν εἰς τὸ ὁσπήτιόν της, δοξάζουσα τὸν Θεόν, τὸν οὕτω δοξάζοντα τοὺς Ἁγίους αὐτοῦ.

Τὸ θαυμαστὸν εἶναι, ὅπου ὄχι μόνον εἰς τὰ τέκνα της, τοὺς πιστοὺς δηλονότι, βάλλει τὸν ἄρτον της ἡ Ὁσία Ματρῶνα, καὶ τὰ εὐεργετεῖ πολυτρόπως, ἀλλὰ καὶ εἰς τὰ κυνάρια, καὶ εὐεργετεῖ θαυμασίως καὶ τοὺς ἀπίστους. Ἡ δεκάτη ὀγδόη τοῦ Ἰουλίου ἦτον κατὰ τὸ 1745, καὶ ἦλθεν εἰς τὸν ναόν της χειραγωγούμενός τις Τοῦρκος Χίος, παντάπασι τυφλός, καὶ μὲ τὴν σύντροφόν του ἀπαιδευσίαν, λέγει πρὸς τὸν ἐφημέριον. «Παπᾶ, εἰπέ της νὰ δώσῃ καὶ εἰς ἐμὲ τὸ φῶς μου»· (ὁ προορηθεὶς Παπᾶ Ἰωάννης ἦτον) καὶ αὐτὸς διὰ νὰ μὴ τὸν ἐνοχλῇ ὁ Τοῦρκος, τὸν ἐπῆρεν ἀπὸ τὴν χεῖρα, καὶ λέγει, «Ἁγία μου, κάμε τὸ θαῦμά σου, νὰ ἰδῇ καὶ οὗτος ὁ ἄνθρωπος τὸ φῶς του»· εἶτα ἐπῆγεν εἰς τὴν οἰκίαν του ὁ Ἀγαρηνός, καὶ τὴν νύκτα ἐκείνην βλέπει (καθὼς ἔλεγε) μίαν καλογραίαν, καὶ τοῦ λέγει, «ἐσὺ εἶσαι ὅπου ἦλθες χθὲς καὶ μοῦ ἐζήτησες νὰ ὑγιάνουν τὰ ὀμμάτια σου! ὕπαγε εἰς τὸν Παπᾶν ἐκεῖνον, καὶ εἰπέ του νὰ σοῦ δώσῃ ἀπὸ τὸ λουτρὸν ὅπου εἶναι μέσα εἰς τὸ ἁρμάρι, νὰ πλύνῃς τὰ ὀμμάτια σου νὰ ὑγιένουν». Τοῦτο ἰδὼν τὴν νύκτα, δὲν χάνει καιρόν, ἀλλὰ παρευθὺς τὸ ξημέρωμα, ὑπάγει πάλιν χειραγωγούμενος εἰς τὸν ναὸν τῆς Ὁσίας, καὶ λέγει πρὸς τὸν ἐφημέριον· «ἀπόψε εἰς τὸν ὕπνον μου ἦλθε μία καλογραία, καὶ μοῦ εἶπε, πήγαινε εἰς τὸν Παπᾶν ἐκεῖνον, νὰ σοὶ δώσῃ ἀπὸ τὸ λουτρὸν ὅπου εἶναι μέσα εἰς τὸ ἁρμάρι, νὰ πλύνῃς τὰ ὀμμάτιά σου νὰ ὑγιάνουν». Δὲν τὸ ἐκατάλαβεν εἰς τὴν ἀρχὴν ὁ ἱερεὺς τί ἐννόει ἡ φανεῖσα λουτρὸν καὶ ἀποκρίνεται μὲ ἀπορίαν «ἡμῖν, ἀγᾶ μου, δὲν ἔχομεν ἐδῶ λουτρὸν καὶ συλλογιζόμενος τί τάχα ἦταν τὸ λουτρόν, ἐνεθυμήθη τὸ ἁγίασμα τὸ ὁποῖον εἶχε μὲ τὴν ἁγίαν Κάραν καὶ ἀπὸ φυλαγμένο εἰς τὸ ἁρμάρι καὶ ἔδωκεν ἐξ αὐτοῦ ὀλίγον μέσα εἰς ἓν φλυτζάνιον εἰς τὸν τυφλὸν καὶ αὐτὸς ἀπελθὼν εἰς τὴν οἰκίαν του ἔπλυνε τοὺς ὀφθαλμούς του μὲ τὸ ἡγιασμένον ἐκεῖνο ὕδωρ καὶ, ὦ τοῦ θαύματος, εἶδεν εὐθὺς τὸ φῶς του.

Ἐν τῷ αὐτῷ ἔτει ἔγινε καὶ τὸ ἀκόλουθον· μία γυνὴ εἶχε πάθος δεινὸν καὶ ἔπασχεν ἡ ἀθλία τρεῖς χρόνους, ἀλλὰ τέλος πάντων τὴν ἀπεφάσισαν εἰς θάνατον οἱ ἰατροί, οἱ δὲ συγγενεῖς της μὴ δυνάμενοι ἄλλο τι νὰ κάμουν, κατέφυγον εἰς τὴν χάριν τῆς Ὁσίας Ματρώνης καὶ προσκαλεσάμενοι τὴν ἁγίαν της Κάραν μετὰ πίστεως ἔψαλλον ἁγιασμὸν εἰς τὴν ἀσθενῆ καὶ ἔλαβε καλῶς τὴν ὑγείαν της δοξάζουσα τὸν Θεόν.

Κατὰ τὸ ἔτος 1750 ἦλθεν ἀπὸ τὴν Κων)πολιν εἷς νέος ἄλαλος καὶ ἔμεινεν ὑπηρέτης τοῦ ναοῦ τῆς ἁγίας καὶ καθ' ἑκάστην ἔκλαιεν ἐνώπιον τῆς εἰκόνος τῆς Ὁσίας νὰ τοῦ δώσῃ χάριν νὰ ὁμιλήσῃ. Λοιπὸν μίαν νύκτα βλέπει τὴν Ἁγίαν εἰς τὸν ὕπνον του καὶ τοῦ λέγει, «τί ἔχεις καὶ κλαίεις;» τοῦ ἐφάνη πῶς ὡμίλησε καὶ τῆς ἀπεκρίθη, «κλαίω διότι δὲν ἠμπορῶ νὰ ὁμιλήσω». «Καλὰ εἶσαι, τοῦ εἶπεν ἡ Ὁσία, ἰδοὺ ὅπου ὁμιλεῖς·» καὶ ἀποτινάξαντος αὐτοῦ τὸν ὕπνον τὸ ὅραμα ἐγένετο πραγματικότης καὶ εἰς τὸ ἑξῆς ἐλάλει καθαρῶς δοξάζων τὴν εὐεργέτιδα αὐτοῦ Ματρώναν.

Ἐν τῷ αὐτῷ ἔτει ἦλθεν εἰς νέος ἀπὸ τὸ Πέριμα ὅστις πίπτων εἰς τὴν γῆν ἐκυλίετο σπαραττόμενος ὑπὸ τοῦ δαιμονίου, ἀλλὰ φαίνεται πάλιν καὶ εἰς αὐτὸν ἡ ἁγία ἐν ὁράματι καὶ τοῦ λέγει, «καλὰ εἶσαι καὶ πήγαινε εἰς τὸν τόπον σου», καὶ διῶπισθεὶς ἐγνώρισε τὸν ἑαυτόν του ἐλεύθερον ἀπὸ τὴν ἐνόχλησιν τοῦ δαιμονίου καὶ ἀπῆλθε εἰς τὸν τόπον του δοξάζων τὸν Θεὸν καὶ εὐφημῶν τὴν Ἁγίαν.

Πρὸς τούτοις καὶ εἰς ἀπὸ τὴν Κων)πολιν, Θεοδόσιος ὀνόματι, εἶχε βεβλαμμένον τὸ σῶμά του καὶ ἦτο κατάκειτος δέκα ὀκτὼ χρόνους, μίαν νύκτα εἶδεν τὴν Ὁσίαν Ματρώναν· ὡς διηγεῖτο ὁ ἴδιος, καὶ τοῦ ἔλεγεν, «ἔλα εἰς τὴν Χίον εἰς τὸν ναόν μου καὶ θέλεις ἰατρευθῆ·» καὶ ἐλθὼν ἐδῶ εἰς τὸν ναὸν τῆς ἁγίας ἐν ἔτει 1757 ἔλαβε τὴν ποθουμένην

ὑγείαν.

Κατὰ τὸ 1760 ἐκοιλοπόνα μία γυνὴ τρεῖς ἡμέρας καὶ τὴν ἀπεφάσισαν εἰς θάνατον καὶ αἱ μαῖαι καὶ οἱ ἰατροί, ἀλλὰ προφθάσασα ἡ τερατουργὸς χάρις τῆς Ὁσίας τὴν ἠλευθέρωσεν ἀπὸ τὸν κίνδυνον· ὅτι μόλις ἔκαμαν ἁγιασμὸν μετὰ τῆς ἁγίας Κάρας εὐθὺς ἐγεννήθη τὸ παιδίον ὑγιὲς μὲ καλὸν τρόπον καὶ ἐλυτρώθη ἡ μήτηρ ἀπὸ τὸν θάνατον.

Ἀλλὰ καὶ τό ἀκόλουθον τοῦτο θαῦμα δὲν εἶναι δίκαιον νὰ μείνῃ ἀνέκδοτον καὶ ἀκοινολόγητον, ἐπειδὴ ἡ γυνὴ ἡ ὁ ποία ἔλαβε τὴν εὐεργεσίαν μᾶς τὸ διηγήθη πολλάκις εἰς δόξαν τῆς Ὁσίας μὲ ὅλα του τὰ περιστατικά.

Μία γυνὴ, Μπαλάσα καλουμένη, ἀπὸ τὸ Νεοχώριον τῆς Κωνσταντινουπόλεως, καλῶς ἔχουσα εἰς τὴν ὑγείαν της, ἤρχισε νὰ βλέπῃ μερικὰς φορὰς εἰς τὸν ὕπνον της ἕνα φοβερὸν ἀράπαιν, ἄλλοτε δὲ ἔβλεπε δύο, καὶ τόσον ὑψηλοὶ ἐφαίνοντο αὐτοί, ὅπου ἔφθανεν ἡ κορυφή των ἐπάνω εἰς τὴν στέγην τῆς οἰκίας της. Ὁ ὑπερβολικὸς ἐκεῖνος φόβος τὴν ἔκαμνε νὰ μουγγρίζῃ μέσα εἰς τὸν ὕπνον της καὶ νὰ μὴ δύναται νὰ ἐξυπνήσῃ, οὔτε νὰ εἰπῇ λόγον ἐναρθρον, ὅπου νὰ καταλάβῃ ἄλλος τίς τί ἔχει. Ἀπὸ τὰς φαντασίας αὐτάς, ἤρχισε καὶ νὰ ἔχῃ ἀναμολίαν εἰς τὸ σῶμά της, καὶ νὰ μὴν ἔχῃ καλὴν τὴν ὑγείαν της. Ἦλθεν ἡ ἑσπέρα τῆς μεγάλης Παρασκευῆς καὶ ἡ νὺξ τοῦ μεγάλου Σαββάτου, καὶ διενυκτέρευσεν εἰς τὴν Ἐκκλησίαν μετὰ πολλῶν ἄλλων γυναικῶν, καὶ τὰ δάκρυά της ἦσαν (λέγει) πολλὰ καὶ ἀέννα, ἀλλὰ μεμιγμένα μὲ γέλοια, χωρὶς νὰ ἔχῃ ὄρεξιν γέλωτος. Ἔμενεν οὕτως ἔχουσα ἕως τῆς Ἀναλήψεως, καὶ τότε ἐπῆγεν εἰς τὰ Ψωμαθεῖα μὲ ἄλλας γυναῖκας εἰς τὸν γαὸν καὶ εἰς τὴν πανήγυριν τῆς ἐνδόξου τοῦ Χριστοῦ Ἀναλήψεως, μήπως τῆς περάσῃ ἐκείνη ἡ ἀνωμαλία, καὶ γίνῃ καλά, διὰ τῆς χάριτος τοῦ ἀπὸ γῆς εἰς οὐρανὸν ἀναληφθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ ὅλην τὴν νύκτα ἐκείνην εὑρίσκετο εἰς τὴν προτέραν τῆς κατάστασιν· εἰς δὲ τὴν λειτουργίαν, τὸν καιρὸν τῆς Μεγάλης Εἰσόδου, ἤρχισαν νὰ ἐνοχλῶνται καὶ νὰ φωνάζουν οἱ ἐκεῖσε δαιμονιζόμενοι, καὶ τότε ἐφανερώθη καὶ τὸ κεκρυμμένον δαιμόνιον τῆς γυναικός, ὅθεν ἐφώναζε καὶ αὐτὴ μετὰ τῶν ἄλλων, καὶ τὰ ὅμοια μὲ τοὺς ἄλλους ἔκαμνε· μετὰ τὴν ἑορτὴν ἦλθε πάλιν εἰς τὴν οἰκίαν της, ἀλλὰ τὸ πονηρὸν πνεῦμα, ἀφ' οὗ ἐφανερώθη, τὴν ἐνοχλεῖ πολὺ καὶ δὲν τὴν ἀφίνει πλέον νὰ ἡσυχάσῃ ἐκεῖ· ὅθεν τὴν ἔφερον οἱ συγγενεῖς της εἰς τὴν Παναγίαν τὴν ἐπιλεγομένην Κουμπριότισσαν, καὶ συναπτῶς ἐτέλεσαν οἱ ἐφημέριοι τρία σαρανταλείτουργα διὰ τὴν ὑγείαν της, τῆς ἐψαλλον ἀμετρήτους ἁγιασμούς, καὶ τῆς ἀνεγίνωσκον ἐξορκισμοὺς καὶ τὰ τέσσαρα εὐαγγέλια, καὶ παρακλήσεις πρὸς τὴν Θεοτόκον, καὶ αὐτὰ ἀκολουθοῦν καὶ γίνωνται εἰς ἕνα ὁλόκληρον χρόνον· ὅτι οὐ μόνον ἐξ ἰδίων της ἐπλήρωνεν, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἀπὸ συμπάθειαν καὶ φιλανθρωπίαν κινούμενοι ἐπλήρωναν τοὺς ἱερεῖς νὰ τῆς ἀναγινώσκουν. Πολλάκις καὶ οἱ ἱερεῖς συμπονοῦντες καὶ σπλαγχνιζόμενοι αὐτὴν διὰ τὰ δεινὰ ὅπου ἔπασχε, τῆς ἀνεγίνωσκον ἀμισθί. Καὶ ταῦτα μὲν ἐκεῖνοι· ἡ δὲ γυνή, ὅλον ἐκεῖνον τὸν χρόνον τὸν ἐπέρασεν ὥσὰν νὰ ἦτο μίαν ἑβδομάδα, μὲ νηστείαν καὶ ξηροφαγίαν, ἐγκρατευομένη καὶ ἀπὸ τὸ ψωμί, πλὴν μὲ ὅλα ταῦτα τὸ πονηρὸν πνεῦμα δὲν ἐξήγχετο, ἀλλ' ἐφώνοζε, δὲν εὐγαίνω, δὲν εὐγαίνω, ἐὰν δὲν ὑπάγῃ νὰ πέσῃ εἰς τὸν τάφον τῆς Ἁγίας Κυρᾶς. Ὁ διάκονος τῆς Ἐκκλησίας, ὅστις ἦτο Χῖος, ἀκούων τοῦτο πολλάκις, διηγήθη καὶ εἰς τοὺς ἄλλους καὶ εἰς αὐτὴν ἀκόμη τὴν ἐνοχλουμένην τὰ συχνὰ καὶ μεγάλα θαύματα τῆς Ὁσίας, καὶ ἐπειδὴ κατ' ἐκείνας τὰς ἡμέρας ἡτοιμάζετο νὰ ἔλθῃ εἰς τὴν Χίον, ὑπεσχέθη νὰ τὴν φέρῃ εἰς τὸν ναὸν τῆς Ἁγίας ἀσφαλῶς, καὶ παραλαβόντες αὐτὴν ὁ διάκονος, καὶ εἷς ἄλλος γνωστὸς Χῖος, προηγούμενος τοῦ Ἁγίου Μηνᾶ, ὁμοῦ καὶ μίαν ἄλλην πολίτισσαν, ἡ ὁποία εἶχε χοιλα νὰ ἔλθῃ εἰς τὴν Χίον τὰς ἔφερον ἐδῶ τὴν 7ην Μαΐου 1761. Ἔμενε λοιπὸν ἡ ἐνοχλουμένη εἰς τὸν ναὸν τῆς ἁγίας ἕως τὴν ἑνάτην τοῦ αὐτοῦ μηνός. Τὴν νύκτα ἐκείνην, οἱ μὲν ἄλλοι ἀσθενεῖς ἐνοιμήθησαν, αὐτὴ δὲ ἦτο πλαγιασμένη ἔμπροσθεν τῆς ἁγίας εἰκόνος ἔξυπνος, καὶ ἔβλεπε τὴν εἰκόνα τῆς Ὁσίας· (ὅτι ὅλα τὰ κανδήλια ἦναπτον ἀκοίμητα καὶ ἐφωταγώγουν τὴν Ἐκκλησίαν)· ἐκεῖ ἀκούει ἔξαφνα ἕνα μεγάλον κρότον, καὶ ἐνταυτῷ ἔσβυσαν ὅλα τὰ κανδήλια· ὁ κρότος δὲν παύει, ἀλλὰ αὔξάνει, καὶ τῆς ἐφαίνετο, ὅτι συγκρούονται καὶ κτυποῦνται τὰ κανδήλια τὸ ἕν μὲ τὸ ἄλλο, καὶ ἔκαμνον μεγάλον καὶ φοβερὸν κτύπον, καὶ αὐτὸν τὸν ἀκούει μόνη ἡ ἐνοχλουμένη, οἱ δὲ ἄλλοι κοιμώμενοι δὲν τὸν ἤκουσαν παντελῶς. Ἐπέρασεν ἡ νύξ, καὶ μετὰ τὴν λειτουργίαν, τῆς ἔψαλον ἁγιασμὸν μετὰ τῆς ἁγίας Κάρας καὶ τόσον ἀρχίας φωνὰς ἔβγαλε, καὶ τόσον τὴν ἐσπάραξε τὸ πονηρὸν πνεῦμα ὅπου ἐτρόμαξαν οἱ παρόντες.

Ἡ ἄλλη πολίτισσα, βλέπουσα τοὺς σπαραγμοὺς καὶ τὰ κτυπήματα τῆς ἐνοχλουμένης ἐπάνω εἰς τὰ μάρμαρα τοῦ ἐδάφους, τῆς ἔχυσεν ὀλίγον ἡγιασμένον ὕδωρ μέσα εἰς τὸ στόμα, καὶ παρευθὺς ἔμεινεν ἀκίνητος παντάπασι, καὶ χωρὶς φωνὴν καὶ πνοήν, τόσον ὅπου ἐφοβήθησαν ὅλοι νὰ μὴν ἀπέθανεν· ἀλλὰ μεθ' ὥραν ἱκανὴν ἦλθεν εἰς τὸν ἑαυτόν της καὶ ἔγινε καλά, καὶ εἰς τὸ ἑξῆς πλέον δὲν τὴν ἐνώχλησεν· ἔλεγεν ὅμως τὸ ἐν αὐτῷ λαλοῦν πονηρὸν πνεῦμα, πῶς ἀπὸ τὰ βυζία της θέλω νὰ εὔγω· ὅθεν ἀφ' οὗ εὐγῆκεν, ἤνοιξαν τὰ βυζιά της, καὶ ἔτρεχον ὅλαι ὧσὰν ἀπὸ πληγήν, καὶ ἐφαγώθησαν αἱ ρῶγαί των, καὶ ἱκανῶς ἐβασανίσθη, πλὴν ὑγίαναν καὶ αὐτά. Καὶ διὰ μὲν τὰ ἄλλα ἔχαιρε καὶ ἐδόξαζε τὸν Θεὸν καὶ τὴν Ὁσίαν ἐξ ὅλης ψυχῆς καὶ καρδίας εὐχαρίστει, ἐλυπεῖτο ὅμως διὰ τὴν παράλυσιν τῶν χειρῶν της, ὅτι ἀπὸ τὰ πολλὰ κτυπήματα ἐβλάφθησαν οἱ ἁρμοὶ τῶν δακτύλων της, καὶ μὲ δυσκολίαν περιεμάζωνε τοὺς δακτύλους της εἰς τὸ νὰ πιάσῃ τίποτε· ἀλλὰ ποιήσασα δύο χεῖρας ἀργυρᾶς, τὰς ἐκρέμασεν εἰς τὴν εἰκόνα τῆς ἁγίας Ὀκτωβρίου ιθ'. ἐν τῇ παραμονῇ τῆς μνήμης της καὶ ὑγίαναν καλῶς καὶ οἱ δάκτυλοί της· εἶτα κουρευθεῖσα καλογραία ἔμεινεν ἐδῶ εἰς τὴν Χίον ἕως τέλους τῆς ζωῆς της, ἐλευθέρα τῶν ἐπηρειῶν ἐκείνων τοῦ δαίμονος, διὰ τῆς χάριτος τῆς Ὁσίας. Εἶνε καὶ ἄλλα θαύματα ἀνέκδοτα, ἀλλὰ μὲ τὸ νὰ ἐξηπλώθῃ εἰς πολὺ μάκρος ἡ διήγησις τὰ ἀφίνομεν, καὶ μόνον τὸ ἀκόλουθον διηγηθέντες τελειώνομεν τὸν λόγον.

Κάποιος ἄνθρωπος ἀπὸ τὴν νῆσον Κῶ Ἰωάννης ὀνόματι, ναυηγὸς τὴν τέχνην, ἤγουν μαραγκὸς καραβίων, κάτοικος εἰς τὸν Γαλατᾶν τῆς Κων)πόλεως εἶχεν ἓν θυγάτριον ἐνοχλούμενον ὑπὸ ἀκαθάρτου πνεύματος καὶ πηγαί-

ΜΟΥΣΕΙΟΣ ΒΙΒΛΙΟΥ ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ ΜΟΝΗ ΠΑΡΟΡΙΤΟΥ

νων αὐτὸ εἰς τὸν ἐκεῖσε ναὸν τοῦ τιμίου Προδρόμου, ὅπου εἶνε ἡ εἰκὼν τῆς Ὁσίας Ματρώνης καὶ λαμπρῶς ἑορτάζεται ὑπὸ τῶν ἐν Κων)πόλει πραγματευομένων Χίων, καὶ ἐπικαλεσάμενος τὴν χάριν τῆς Ὁσίας ἔτυχε τοῦ ποθουμένου καὶ ἠλευθερώθη ἡ κόρη ἀπὸ τὴν δαιμονικὴν ἐνόχλησιν· ὕστερον ἔπαθε καὶ αὐτὸς ὁ ἴδιος Ἰωάννης παράλυσιν εἰς τοὺς πόδας, καὶ ἔμειναν ξηροὶ καὶ ἀκίνητοι, καὶ πολλὰ δαπανήσας εἰς τοὺς ἰατροὺς, δὲν ἠμπόρεσε νὰ λάβῃ θεραπείαν, ἀλλ' ἔμεινεν οὕτω κακῶς διακείμενος εἰς πολὺν καιρόν. Ἀπελπισθεὶς λοιπὸν ἀπὸ ἀνθρωπίνην βοήθειαν, ἔρριψεν ὅλην του τὴν ἐλπίδα εἰς τὴν Ὁσίαν Ματρώναν, ἣτις καὶ πρότερον τὸν εὐηργέτησεν εἰς τὴν θυγατέρα του. Ἡ δὲ Ἁγία τοῦ εἰσακούει, πλὴν δὲν τὸν θεραπεύει ἐκεῖ, καθὼς αὐτὸς ἐστοχάζετο, ἀλλὰ φαίνεται ἐν ὁράματι, καὶ τοῦ λέγει, «ἐὰν θέλῃς τὴν ὑγείαν σου, πήγαινε εἰς τὴν Χίον εἰς τὸν ναόν μου νὰ τὴν λάβῃ ». Ἐξυπνήσας αὐτὸς ὅλος χαρά, διηγεῖται τὸ ὅραμα εἰς παρόντας· τὸ διηγεῖται ἔπειτα καὶ εἰς πνευματικοὺς πατέρας, καὶ ὅλοι τὸν ἐγκαρδιώνουν νὰ πηγαίνῃ· ὅθεν κοινωνήσας τῶν ἀχράντων Μυστηρίων μετὰ τῆς συζύγου του Δεσποινοῦς καὶ τῆς θυγατρός του Μαρίας, ἐμβαρκαρίσθη καὶ ἦλθεν εἰς τὸν ναὸν τῆς Ὁσίας· πεσὼν μετὰ ἀδιστάκτου πίστεως καὶ δακρύων πολλῶν ἔμπροσθεν τῆς Ἁγίας Εἰκόνος αὐτῆς, ἐδέετο νύκτα καὶ ἡμέραν, νὰ τὸν ἐλευθερώσῃ ἀπὸ τὸ δεινὸν ἐκεῖνο πάθος, ὡς ἠλευθέρωσε πρότερον καὶ τὴν θυγατέρα του· καὶ εἶχε καλὰς ἐλπίδας, πῶς θέλει τύχῃ τοῦ ποθουμένου, ἐν τῇ ἑορτῇ τῆς εὑρέσεως τῆς ἁγίας Κάρας, ἥτις ἐπλησίαζε τότε, ὃ καὶ ἐγένετο· ὅτι πεσὼν ὑπὸ τοὺς πόδας τῶν ἱερέων ἐν τῷ καιρῷ τῆς Εἰσόδου τῶν Τιμίων Δώρων, καὶ ἐπικαλεσάμενος τὴν ἐξ ὕψους βοήθειαν, διὰ τῶν προεσβειῶν τῆς Ὁσίας, ᾐσθάνθη (λέγει) ἕνα λεπτότατον ἀέρα ὅπου τοῦ ἐδρόσισε τοὺς πόδας, καὶ (ὦ τοῦ παραδόξου θαύματος !) παρευθὺς ἀνωρθώθη, καὶ ἐστάθη μὲ θαῦμα καὶ ἔκπληξιν τῶν ὁρώντων, ὑγιὴς καὶ καλῶς ἔχων εἰς τοὺς πόδας του. Τοῦτο τὸ θαῦμα οὐ μόνον τὴν τότε παροῦσαν πολυάριθμον σύναξιν τῶν πιστῶν ἐξέπληξεν, ἀλλὰ καὶ πᾶσαν τὴν πόλιν συνεκίνησε. καὶ ἔτρεχον ὅλοι, πᾶσα ἡλικία, νὰ ἰδοῦν τὸν πρώην παράλυτον περιπατοῦντα, διὰ τῆς χάριτος τῆς Ὁσίας καὶ Θεοφόρου μητρὸς ἡμῶν Ματρώνης, ἧς ταῖς ἁγίαις πρεσβείαις λυτρωθείημεν καὶ ἡμεῖς ἅπαντες τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν. καὶ ἀξιωθείημεν τῆς Βασιλείας τῶν Οὐρανῶν. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Σοῦ ἐπὶ πέτραν τὴν στερρὰν, τῆς ἐπὶ τὸν Κτίστην ἐλπίδος, στήσασα πόδας τῆς ψυχῆς, κατηυθύνθην τὰ σὰ διαβήματα, εἰς ὁδὸν τὴν σωτήριον, ἐντολῶν τῶν τοῦ Δεσπότου Ὁσία Μῆτερ.

Πῆς Ἰουδὶθ τὰ κατὰ σέ, καθυπερτερουῦντα ὁρᾶται· οὐχ' ὁλοφέρνην κτείνεις γάρ, ἀλλ' αὐτοῦ τοῦ τὴν Εὔαν πτερνίσαντος, ξίφει τέμνεις ἀσκήσεως κεφαλήν, καὶ θριαμβεύεις αὐτοῦ τὴν ἧτταν.

Ἄκλυστος πέφηνας λιμὴν, τοῖς ἐν τῇ θαλάσσῃ τοῦ βίου, ναυτιλλομένοις καὶ πολλῶν συμφορῶν ποντουμένοις τῷ κλύδωνι, εἰς γαλήνην μετάγουσα, πειρασμῶν τὴν καταιγίδα σῇ ἀντιλήψει.

Θεοτοκίον.

Πὴν τῆς προμήτορος ἀγνή, πτῶσιν θεραπεύεις τῷ τόκῳ, καὶ ἀπογόνους τὰς αὐτῆς, πρὸς τὴν πάλην καὶ νίκην διήγειρας, τοῦ ἐκείνην πτερνίσαντος, ἁμαρτίας ἐνηδύνου φυγοῦσας γεῦσιν.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Τ'να τῆς πατρίδος ἐπιτύχῃς, τῆς ἄνω τὴν κάτω Μῆτερ καταλέλοιπας, καὶ τοῖς μὴ προσήκουσι, ξένη ξένοις ἐκρίνας, χριστομιμήτως πάνσοφε συναναστρέφεσθαι· τὸν Κύριον ὑμνεῖτε βοῶσα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νοῒ καθαρῷ τε καὶ τελείῳ τὸν μόνον ἐν τοῖς Ἁγίοις παμμακάριστε ἐπαναπαυόμενον, Κύριον ζητήσασα, καὶ τούτου μεθ' ἡμέραν τε καὶ νύκτωρ ἔνδοξε, ὁρῶσα τὸ ἀμήχανον κάλλος, ἐμέλπες ὑμνεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Νικᾶται καὶ πίπτει σοῖς ἀγῶσιν, ὁ πάλαι φυσῶν μεγάλα τύραννος, καὶ καταπερφρόνηται, ὁ γῆν καταλήψεσθαι, μεγαλαυχῶν καὶ θάλασσαν· ὦ θείας χάριτος, τῆς σὲ ἐνισχυσάσας Ματρῶνα, ὦ προθέσεώς σου καὶ γνώμης τῆς ἀτρέπτου!

Θεοτοκίον.

Τ'δούσοι παρθένοι μέχρι τέλους, αἰῶνος ὦ μητροπάρθενε ἐφέπονται, καὶ τῷ σῷ προσάγονται, τόκῳ Θεονύμφευτε, καὶ σὲ τὴν τούτου πρόξενον πόθῳ γεραίρουσι, μεθ' ὧν καὶ ἡ θεόφρων

Ματρῶνα, πόνοις προσηνέχθη ἀσκητικοῖς ἐκείνῳ.

Ὠδὴ θ'. Ἅπας γηγενὴς

Κρήνη σὴ σορός, καὶ τάφος γνωρίζεται θαυμάτων ἔνδοξε, καὶ τῶν ἰαμάτων δέ, πηγὴ τυγχάνει οὖσα ἀκένωτος, πρὸς ὃν οἱ καταφεύγοντες, παντοίων ῥύονται νοσημάτων, εἰς δόξαν καὶ αἶνεσιν τοῦ τὸ σὸν μεγαλύνοντος ὄνομα.

Ἤδη πρὸς αὐτὰ, τὰ ἄνω σκηνώματα, μεταχωρήσασα, ὅπερ δι' ἐσόπτρου σοι, ὡράτο πάλαι, καὶ ἐν αἰνίγματι, νῦν καθορᾷς τρανώτερον καὶ καθαρώτερον, πανολβία, ἧδη λελυμένων σοι, τῶν ἐσόπτρων τὸ κάλλος τοῦ κτίσαντος.

Τέλους οὖσυ σὺ, Ματρῶνα τετύχηκας, πλοῦτον συλλέξασα, ἐναρέτων πράξεων, ὡς ναῦς ὑσία τις μυριάγωγος, καὶ ἐν λιμένι φθάσασα τῆς ἀναπαύσεως, προσωρμίσθης, ἐκ τῆς γῆς ἀπάρασα, ὡς ἐκ ζάλης φυγοῦσα καὶ κλύδωνος.

Ἄθλους σοὺς σεμνή, καὶ τὰ ὑπὲρ ἄνθρωπον θεῖα παλαίσματα, ἔγωγε τετόλμηκα ὁ σὸς οἰκέτης ἀγνὴ πανεύφημε, γλώσσῃ ῥυπώσῃ, χείλεσι βεβήλοις ἆσαι νῦν, ἀλλ' αὐτή μοι, σύγγνωθι καὶ δίδου μοι, συμπαθῶς τὰ τοῦ πόθου ἐπίχειρα.

Θεοτοκίον.

Στόμα τὸ ἐμὸν, αἰνέσεως πλήρωσον τῆς σῆς ὦ Δέσποινα, καὶ ὡς ἄλλο δεξόν με, τὸν σὸν οἰκέτην ἀγνὴ ψαλτήριον, ἐπὶ τῆς γῆς δεκάχορδον, διπλῆς αἰσθήσεως, τῆς πεντάδος, τῇ καθάρσει ἵνα σε, μεγαλύνω ἀεὶ παναμώμητε.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Πῆς ψυχῆς τὸ τριμερές, εἰς ἀπαθείας ἄβυσσον, κατέδυσας ὦ Ματρῶνα, καὶ ἀβρόχως τῆς ζωῆς, διαγαγοῦσα πέλαγος, πρὸς γῆν τῆς ἐπαγγελίας, τῆς ἄνω κατήντησας.

Θεοτοκίον.

Ἀκρασίας τῷ καρπῷ, ὁ ὄφις δελεάζων με, ἡδοναῖς θέλγει τοῦ βίου, καὶ παραβάτην ἐντολῶν, τῶν θείων ἀπεργάζεται, ἀλλὰ σὺ τῷ Θεῷ με, Παρθένε κατάλλαξον.

Εἰς τοὺς Αἴνους, Ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος! πῶς καὶ γυναῖκας ὤρυν, τοῦ μεγάλα αὐλήσαντος, καθαιροῦσιν ὄφεως! πῶς ἰσχὺν ἐνεδύσατο, τὴν κατ' ἐκείνου, τὸ ἀσθενέστατον, τῷ ὄντι φῦλον! πῶς εἰς ἀγῶνας χωρεῖ, τοὺς ὑπὲρ ἄνθρωπον, ἡ τὸ πρὶν εὐάλιστος, φύσις δι', Χριστὸν μεγαλύνομεν τὸν τούτου πρόξενον.

Ὦ τῆς γενναίας ἐστάσεως, καὶ παλαισμάτων τῶν σῶν, ὦ Ματρῶνα θεόληπτε, δι' ὧν ἐκνικήσασα, τὴν δαιμόνων παράταξιν, τὸ κατ' ἐκείνων ἔστησας τρόπαιον, καὶ στεφανεῖτις ὤφθης ἀναίμακτος, τῆς προαιρέσεως, τὸ σεπτὸν μαρτύριον διὰ παντός, ὑπελθοῦσα πάνσοφε, στερρῶς τοῦ θέου σου.

Στύλον πυρὸς προηγούμενον, θεοφιλέστ ψυχαῖς, πρὸς οὐράνιον ἄνοδον, σὲ καλοῦμεν ἔνδοξε, καὶ νεφέλην σκιάζουσαν, τῶν πρεσβειῶν σου νοτίσι καύσωνα, παθῶν παντοίων ἐναπελαύνουσαν, ἄγαλμα ἔμψυχον καὶ σεπτὸν κειμήλιον καὶ ἱερόν, τοῖς πιστοῖς θησαύρισμα, μᾶλλον κείμνησθε.

Σὲ ὅλβον ἔσχεν ἀσύλητον, ἡ σὴ Ματρῶνα πατρίς, καὶ σεπτὸν ἀγαλλίαμα, καὶ λιμένα ἄκλυστον, καὶ στερρὸν περιτείχισμα, καὶ κατ' ἐχθρῶν παντὸς ἀμυντήριον, ψυχῆς καὶ σώματος φυλακτήριον, ἣν καὶ περίσωζε, διὰ τέλους πάνσεμνε ταῖς σαῖς εὐχαῖς, πᾶν τὸ πρὸς ἐπήρειαν ἀποτειχίζουσα.

Δόξα, Ἦχος πλ. δ'.

Ἄσμασί τε καὶ κρότοις, ἐπὶ γῆς σεμνὴ ἡμᾶς τοὺς σὲ γεραίροντας, ἀμείψαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΙΓΑΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

οὐρανόθεν Ὁσία, ἐκμελιζόυσα τὸν Δεσπότην ἡμῶν τῶν πταισμάτων τὴν λύσιν πρυτανεύουσα. καὶ τὰς ἐναντίας περιστάσεις ἐναπείργουσα. ἕνα ἥρεμον ἐπὶ γῆς διοῦντες βίον, ἐν εἰρήνῃ τὸν σὲ ἐν δόξῃ στέψαντα Χριστόν, μεγαλύνωμεν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς Ὁσίας. Ὠδὴ γ'. καὶ ϛ'. Ὁ Ἀπόστολος. Προκείμενον, Ὑπομένων, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Πρὸς Κορινθίους β'. ἐπιστολῆς.

Ἀδελφοί, ὤφελον ἀνείχεσθέ μοι μικρόν τῆς ἀφροσύνης, ἀλλὰ καὶ ἀνέχεσθέ μου· ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ Παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν· εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβατε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε· λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν Ἀποστόλων· εἰδὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει, ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς.

Ἀλληλούϊα

Καὶ τὸ Εὐαγγέλιον τῶν δέκα Παρθένων Μεγαλυνάρια τῆς Ὁσίας.

Χαίροις ὦ Ματρῶνα νύμφη Χριστοῦ, χαίροις τῶν παρθένων τῶν φρονίμων εὐκλεὴς προσθήκη. Ὁσία, ἡ ἐν φαιδρᾷ λαμπάδι, Χριστῷ προσυπαντήσασα τῷ Νυμφίῳ σου.

Χαίροις ὁ τῆς Χίου θεῖος βλαστός· χαίροις τυφλωττόντων βακτηρία καὶ ἰατρός· χαίροις ἡ τὴν νῆσον τῆς Χίου ῥυσαμένη, τῶν ἀντιμαχομένων Ματρῶνα ἐνδοξε.

Ἕτερον Μεγαλυνάριον σωζόμενον εἰς τὸ στόμα τῶν μοναχῶν τῆς Μονῆς Χαλάνδρων καὶ δοθὲν ἡμῖν ὑπὸ τοῦ Λιδεσιμολογ. Οἰκονομόμου κ. Μάρκου Βασιλάκη.

Ἀρχιερατεύων ὁ Δανιήλ, ἐν ἔτει χιλίῳ ἑπτακοσίῳ καὶ εἰκοστῷ, ἐν ἡμέρᾳ μνήμης τῆς σῆς, Μῆτερ Ματρῶνα, ἑπταρίθμους νοσοῦντας, νόσου ἀπήλασας.

ΑΚΟΛΟΥΘΙΑ ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ

ΝΕΟΜΑΡΤΥΡΟΣ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΧΙΟΥ

Πονηθεῖσα παρὰ Νικηφόρου τοῦ Χίου.

Τῇ λα' τοῦ Ὀκτωβρίου μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Νικολάου τοῦ Χίου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε διεδόθη περὶ σοῦ, ψῆφμ πονηρὰ ἀσεβείας, θεόφρον Μάρτυς Χριστοῦ, τότε σὲ ἀπέβαλον, ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ, οἱ πιστοὶ σὺ δὲ δάκρυσι, θερμοῖς ἐκ καρδίας, βρέχων ἧς τὸ πρόσωπον, μετὰ πικρᾶς οἰμωγῆς, κράζων παναοίδιμε, πίστιν, τὴν πρὸς τὸν Χριστόν μου τὴν θείαν, ἀδελφοὶ οὐδέποτε ἐξώμοσα. (Δίς).

Ὅτε συνελήφθης ταῖς χερσί, τῶν ἀνόμων Μάρτυς Κυρίου, οἳ ἀγαγόντες σπουδῇ, δέσμιον παρέστησαν, κρίσει ἀδίκων κριτῶν, θαρσαλέως ἐκήρυξας, Θεόν τε καὶ κτίστην, πάντων ὁρατῶν ὁμοῦ καὶ ἀοράτων Χριστόν. Ὅθεν τῇ εἱρκτῇ παρεδόθης, καὶ ταις ἐν αὐτῇ τιμωρίαις, θείαν παρρησίαν ἐνδεικνύμενος.

Ὅλον ἐγκρατείᾳ τὸ σεπτόν, στάδιον τοῦ σοῦ μαρτυρίου, διῆλθες πόθῳ Χριστοῦ, τὸ τριακονθήμερον, ἀδιαλείπτοις εὐχαῖς, καὶ δακρύων ἐκχύσεσι, θερμῶς ἱκετεύων, τοῦ καταπεμφθῆναί σοι, θείαν ἐξ ὕψους ἰσχύν, ὅπως τὸν ἀγῶνα τελέσῃς, καὶ τὰς τῶν δαιμόνων ὀλέσῃς, φάλαγγας τοῖς ἄθλοις σου Νικόλαε.

Δόξα ἦχος. α'.

Πὸν νέον ἀθλητὴν καὶ Μάρτυρα Κυρίου, τὸν τῆς νίκης ἐπώνυμον Νικόλαον, δεῦτε ἐν θείοις ἄσμασιν ὑμνήσωμεν· οὗτος γὰρ διὰ παντοίων βασάνων ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθείς, δόκιμος ἀνεφάνη καὶ τοῦ Χριστοῦ θεράπων πιστότατος, καὶ φίλος γνησιώτατος, ὑπὲρ ἑαυτοῦ ἀποθανών· ᾧ καὶ προσβύει ἀδιαλείπτως, σωθῆναι τοὺς τιμῶντας τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

Καὶ νῦν· Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν στίχον, στιχηρὰ· ἦχος δ'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Λάβε μοι κατὰ νοῦν, τὸν Μάρτυρα Κυρίου, τοὺς πόδας ἐν τῷ ξύλῳ, ἔχοντα καὶ ἁλύσεις, ἐν τῷ τραχήλῳ φέροντα.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Καὶ ἥλους ἐν ταὐτῷ, ἐφηπλωμένων ὅλον, καὶ πλάκα βαρυτάτην, ἔχοντα ἐν τῷ στήθει, καὶ πάντα ὑπομένοντα.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Ἐν τόπῳ ζοφερῷ, ἄσιτον ὄντα ὅλως, τριήμερον καὶ ἵππων, ποσὶν ὑπερριμμένον, χεῖρας καὶ πόδας δέσμιον.

Δόξα Ὅμοιον.

Πόθῳ τῆς τριλαμποῦς, θεότητος τὴν πεῖραν, βασάνων ἀνυποίστων, ὑπέμεινεν ὁ θεῖος, δι' ὃ θέσει τεθέωται.

Καὶ νῦν. Ὅμοιον.

Πανάχραντε ἁγνή, ἅμα τῷ Νικολάῳ, τῷ καρατομηθέντι, ἐν Χίου τῇ πλατείᾳ, ὑπὲρ ἡμῶν ἱκέτευε.

Ἀπολυτίκιον ἦχος γ'. Μέγαν εὗρατο.

Μέγα καύχημα τῆς Χίου πέλεις, ἄξιε ἄγαστε τῆς σῆς πατρίδος, ἀθλοφόρε Χριστοῦ γενναιότατε· ὡς οὖν ἐν ταύτῃ τὸ αἷμα ἐξέχεας, καὶ μακαρίαν εἰργάσω Νικόλαε· οὕτως ἄγιε αὐτὴν ἀσινῆ περίσωζε, ταῖς σαῖς πρὸς τὸν Κύριον δεήσεσι.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν. Καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ἡ. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, ὅτι καὶ νῦν καθ' ἡμᾶς, ῥωμαλέῳ φρονήματι, ὁ κλεινὸς Νικόλαος, ὑπὲρ πίστεως ἠθλησεν, ἐγκαρτερήσας τριακονθήμερον, ἐν ταῖς βασάνοις, καὶ νίκην ἤρατο, σθένει τοῦ Πνεύματος, ἐχθροὺς τροπωσάμενος πάντας ὁμοῦ, καὶ στέφος δεξάμενος τῆς νίκης ἄφθαρτον. (Δίς).

Πάντως ἡ θεία τεθαύμασται, πίστις Χριστοῦ τοῦ Θεοῦ, καὶ τιμὴν ἐκομίσατο, τὴν αὐτῇ προσήκουσαν, Νικολάου ἀθλήσαντος, καὶ τοῦ Κυρίου τὸ θεῖον ὄνομα, ὑψώθη μόνον τὸ ὑπερύμνητον, καὶ καταβέβληται, ἐχθρὸς ὁ ἀρχέκακος τῇ συμπλοκῇ τούτου καὶ κατήργηται ὁ πολυμήχανος. (Δίς).

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μάρτυς Χριστοῦ παναοίδιμε, τὴν τῶν τυράννων ὀφρὺν καὶ τὸ θράσος κατέβαλες τοῦ κοινοῦ ἀλάστορος, ἐναθλήσας στερρότατα, καὶ ὑπομείνας τῷ θείῳ ἔρωτι, πολλὰς βασάνους, καὶ τέλος θάνατον· ἣν ἔφερε τὴν πάντιμον, ἐκτιμηθεὶς Νικόλαε, κάραν τὴν σήν, ἣ καὶ μετὰ θάνατον κάλλει δεδόξασται. (Δίς).

Σκότος ἐφ' ὅλην ἐπέπεσε, τὴν νῆσον Μάρτυς Χριστοῦ, καὶ τοὺς πάντας ἐξέπληξε, τὸ φρικτὸν τοῦ θαύματος, τοῦ Θεοῦ σε δοξάσαντος, καθ' ἣν ἡμέραν, τὴν σὴν ἀπέτεμον, τιμίαν κάραν, οἱ σκότους ἔμπλεοι. Ἃ γὰρ ἀπόγονοι, τὸν δὲ νοῦν σκοτούμενον πλάνῃ δεινῇ, ἔχοντες οἱ δείλαιοι οὐκ ἐπηισθάνοντο.

Νέε ἀθλητὰ Νικόλαε, ὡς κεκτημένος πολλήν, παρρησίαν πρὸς Κύριον, ὑπὲρ οὗ ἠγώνισαι, καὶ γενναίως ἐνήθλησας, εἰρκτήν, ἀλύσεις, πλακὸς βαρύτητα, ξύλου τε ὀλίψιν, ἥλων ὀξύτητα, ἵππων συγκάθειρξιν, ἀσιτίαν, θάνατον ὑπενεγκών, ἕλεων ἀπέρυγασαι, ἡμᾶν τοὺς δούλους σου.

Δόξα, ἦχος πλ. δ'.

Πῖς μὴ εὐφημήσει σε ἀθλοφόρε Κυρίου; τίς μὴ ἀνυμνήσει σου τὴν λαμπρὰν μαρτυρίαν; Τὸν μὲν γὰρ πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα Λόγον καὶ Θεόν, φύσει Θεὸν ὄντα, καὶ ἐπ' ἐσχάτων φύσει γενόμενον ἄνθρωπον, τρανῶς ἀνεκήρυξας· τὸν δὲ τῆς πλάνης ἀρχηγέτην, ὡς ἀπατεῶνα, καὶ πάσης ἀθεμιτουργίας ἐφευρετήν, θαρσαλέως καθύβρισας. Διὸ καὶ ἀνεβόας, Χριστὸν σέβομαι, Χριστῷ λατρεύω, καὶ τὰ πάντα προδίδωμι, ἵνα Χριστὸν κερδίσω. Ἀλλ' ὡς νῦν πρὸς αὐτὸν ἀθλητικῇ παριστάμενος παῤῥησίᾳ, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου

Καὶ νῦν Θεοτοκίον. Τίς μὴ μακαρίσει σε. Εἴσοδος. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα τοῦ ἁγίου Γεωργίου ἢ τοῦ Ἁγίου Πολυδώρου σελ.

Εἰς τὴν Αἰτὴν ἰδιόμελα. ἦχος, α'.

Πνευματικοῖς ἄσμασι, λαοί, τὸν φερωνύμως νίκην τοῦ εὐσεβοῦς λαοῦ γεγονότα, Νικόλαον τὸν νέον τοῦ Χριστοῦ Μεγαλομάρτυρα, τιμήσωμεν σήμερον· ἡ γὰρ πρὸς τοῦτον τιμήτε καὶ εὔνοια, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας, ὑπὲρ οὗ τὸ αἷμα μετὰ πολλὰς καὶ ἀνυποίστους βασάνους ἐξέχεε. Μακαρίσωμεν οὖν αὐτὸν γνησίως, ἵνα καὶ ἡμεῖς μάρτυρες τῇ προαιρέσει γενώμεθα, καὶ τῶν αὐτῶν ἐκείνῳ ἀξιωθῶμεν μισθῶν, παρὰ Χριστοῦ, τοῦ σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος, δ'.

Μέγας εἶ Κύριε καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, ὅτι καὶ ἐν τοῖς καθ' ἡμᾶς αἰῶσι, νέον κομιδῇ ὄντα τὸν θεῖον Νικόλαον, πρὸς τοὺς Μαρτυρικοὺς ἀγῶνας ἐνίσχυσας· ὅθεν τῇ σῇ χάριτι ῥωννύμενος θείᾳ δυνάμει, ἐν εἰρκτῇ φρουρούμενος, καὶ ἐν ξύλῳ κακουχούμενος, ἀλύσεσί τε δεσμούμενος, καὶ πλάκα ἐπὶ τοῦ στήθους φέρων, τὸ σὸν πανάγιον διαπρυσίως ἐκήρυττεν ὄνομα, τὴν δὲ τῶν ἀθέων Ἀγαρηνῶν πλάνην, ἀπτοήτως ἐξήλεγχεν· ἀφ' ὧν τὴν κάραν ἀποτμηθείς, τὸν μαρτυρίου δρόμον διήνυσε, καὶ ταῖς τῶν Μαρτύρων χορείαις ἐπαξίως συνήφθη, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ἦχος γ'.

Ἀντὶ μὲν τῆς εἰρκτῆς καὶ ἀσιτίας ἣν ὑπέστης, ἡ τρυφήσει τοῦ Παραδείσου δεδώρηται· ἀντὶ δὲ τῆς μεθ' ἵππων συγκλήσεως, ἡ μετ' Ἀγγέλων διαγωγή. Μεγαλομάρτυς Νικόλαε· ἱκέτευε οὖν Χριστὸν τὸν Θεόν, ἵνα καὶ ἡμᾶς τοῦ ζόφου καὶ τῆς ἀλογίας τῶν παθῶν ἀπαλλάξας, ἐν ἔργοις φωτὸς καὶ ἀπαθείας ἀνέσει, τὸ ὑπόλοιπον τῆς ζωῆς ἡμῶν διανύσαι καταξιώσῃ, τοὺς ἐκ πόθου τὴν μνήμην τελοῦντάς σου.

Ἦχος δ'.

Μέγα καὶ παράδοξον θαῦμα, Μάρτυς Νικόλαε γέγονεν, ἡνίκα σου τὴν πάντιμον οἱ δυσσεβεῖς ἀπέτεμον κάραν· ὁ γὰρ Θεὸς τὴν σὴν ἄθλησιν δοξάσαι βουλόμενος, ὃν τοῖς ἄθλοις σου ἐδόξασας, ζόφῳ βαθυτάτῳ τὴν νῆσον πᾶσαν, ὡς τὸ πάλαι τὴν Αἴγυπτον ἐκάλυψε, τὸ δὲ πανίερόν σου πρόσωπον, νεκρὸν ἤδη, κάλλει ἀρρήτῳ κατελάμπρυνε. Δηλῶν, ὅτι σὺ μὲν εἰς φῶς ἀνέσπερον καὶ ἄδυτον ἀπῆλθες, ἐκεῖνοι δὲ ἐν τῷ σκότει τῆς ἀσεβείας καὶ τῇ τοῦ δαίμονος πλάνῃ, ἀλίως μένουσιν. Ἀλλ' ὡς μαρτυρικὴν κεκτημένος πρὸς τὸν Χριστὸν παρρησίαν, θραῦσον αὐτῶν τὰ καθ' ἡμῶν φρυάγματα ταῖς πρεσβείαις σου.

Δόξα, ἦχος πλ. α'.

Δεῦτε χριστοφόροι τῆς Χίου λαοί, πόθῳ συνελθόντες τιμήσωμεν ἀξίως Νικόλαον τὸν νέον ἀθλοφόρον Χριστοῦ καὶ εὐφημιῶν στέμμασι τοῦτον ἀναδήσωμεν· τὸν νικηφόρον ἀθλητήν, καὶ τῆς πλάνης ὁλοθρευτὴν ἀναδειχθέντα· τὸν μὴ πτοηθέντα τοὺς ἀποκτείναντας τὸ σῶμα αὐτοῦ τυράννους, ἀλλὰ παρρησίᾳ ἀκαταπλήκτῳ, τὸν Χριστὸν Θεὸν τοῦ παντὸς κηρύξαντα, καὶ τῷ οἰκείῳ αἵματι τὴν ὁμολογίαν τῆς αὐτοῦ πίστεως βεβαιώσαντα· πάντες οὖν ἀνυμνοῦντες αὐτόν, βοήσωμεν. Μαρτύρων ἐγκαλλώπισμα Νικόλαε, τὸ πραικαλλὲς τῆς Χίου ἀνάθημα, ἡ πρὸς Θεὸν προσφορὰ καὶ θυσία εὐπρόσδεκτος, μὴ ἐλλίπῃς φυλάττων τὴν σὲ μεγαλύνουσαν πόλιν, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Μακαρίζομέν σε.
Εἰς τὸν στίχ. στιχηρὰ ἦχος. δ'.
Ὡς γενναῖον ἐν μάρτυσιν.

Νῦν ἡ Χῖος ἀγάλλεται, καὶ ἐνθέως εὐφραίνεται, ὡς πανηγυρίζουσα τὴν σὴν ἄθλησιν, Μεγαλομάρτυς Νικόλαε, καὶ λέαν σεμνύνεται, σὲ βλαστήσασα φυτόν, εὐθαλὲς καὶ κατάκαρπον, τοῖς τοῦ πνεύματος, ἀκηράτοις καρποῖς καὶ δι' εὐφήμου, γλώττης ἄγει σου παμμάκαρ, τῆς ἀριστείας τὰ τρόπαια.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Ἐν εἰρκτῇ καὶ ἐν ξύλῳ σε, ἠσφαλίσαντο ἄνομοι, καὶ πλακὸς βαρύτητι, τὰ πανίερα, στέρνα σου Μάρτυς Νικόλαε, δεινῶς κατεβάρυναν, τὰ φλεγόμενα Χριστοῦ, τῇ ἀγάπῃ καὶ ἥλους σοι, καθυπέβαλον, ἀλλὰ θεία δυνάμει διεσείσθη ἡ εἰρκτὴ καὶ κατεβλήθη ἡ πλάξ ἡ σὲ ἐκπιέζουσα.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Πρὸς ἐκ πόθου τελοῦντάς σου, τὴν σεβάσμιον ἄθλησιν, ἀθλητὰ Νικόλαε, ῥοῦσι, φύλαττε, ταῖς σαῖς εὐχαῖς πρὸς τὸν Κύριον, ᾧ μάκαρ παρέστασαι, σὺν Μαρτύρων τοῖς χοροῖς, ἐν μεθέξει θεούμενος, παναοίδιμε, ὡς τοῦ σώματος ὅλως ἀφειδήσας, τούτου χάριν καὶ ἐκχέας, αἷμα τὸ τίμιον ἅγιε.

Δόξα, ἦχος, πλ. δ'.

Πῶν εὐσεβῶν τὰ στίφη, τὸν νέον ἀθλητὴν σὲ ὑμνοῦμεν, μάκαρ Νικόλαε, διὰ σοῦ γὰρ πρὸς πίστιν τὴν ὄντως ἁγίαν, καλῶς στηριζόμεθα· τρισόλβιος εἶ ὑπὲρ αὐτῆς ἀθλήσας, καὶ ἐχθροῦ ταπεινώσας τὴν ἔπαρσιν. Καρυῶν τὸ γέννημα, τῆς Χίου ἅπασης τὸ καύχημα, καὶ τῆς οἰκουμένης σεμνὸν ἀγαλλίαμα. Πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.
Ἀπολυτίκιον, ἦχος, γ' Μέγα καύχημα.

Ζήτει εἰς τὸν μικρὸν Ἑσπερινόν.
Δόξα καὶ νῦν Θεοτόκε Παρθένε.
Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὸ Θεὸς Κύριος, Τὸ Ἀπολυτίκιον τοῦ ἁγίου, καὶ νῦν Θεοτοκίον, καὶ ἡ συνήθης στιχολογία τοῦ Ψαλτηρίου. Μετὰ τὴν α' στιχολογίαν.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΕΥΑΓΓΕΛΙΚΗ ΣΧΟΛΗ ΠΑΤΕΡΩΝ

Κάθισμα ἦχος α'. Τὸν τάφον σου Σωτῆρ.

Νικόλαον πιστοί, εὐφημήσωμεν ὕμνοις, καὶ πόθῳ τὴν αὐτοῦ ἑορτάσωμεν μνήμην· τοὺς ἄθλους νῦν γεραίροντες, τοὺς ἀγῶνας, τὰ σκάμματα, ἃ ὑπέμεινεν, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, γενναιότατα, καὶ δι' αὐτὰ ταῖς χορείαις, μαρτύρων συνήδεται.

Καὶ νῦν Θεοτοκίον.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἀμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν περισμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν δ'. στιχολογίαν. Κάθισμα ἦχος γ'.

Τὴν ὡραιότητα.

Ω" τῆς ἀνδρείας σου, Μάρτυς Νικόλαε, καὶ γενναιότητος, μεθ' ἧς πανεύφημε, τοῦ μαρτυρίου τοῖς φρικτοῖς ἀγῶσιν ἐγκαρτερήσας, τὸν Χριστὸν ἐκήρυξας, τῶν τυράννων ἐνώπιον, καὶ τοὺς Ἄγαρ ἠσχυνας ἀπογόνους τοῖς λόγοις σου, ἐλέγχων αὐτοὺς ἐν παῤῥησίᾳ, θείᾳ, δι' ἣ σε ἀνυμνοῦμεν.

Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε, ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον· τί δὲ ὀνομάσω σε· ἀπορῶ, καὶ ἐξίσταμαι· δι' ὃ ὡς προσετάγην βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν πολυέλεον. Κάθισμα ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Ἐπεφάνη σήμερον, τῷ σῷ προσώπῳ, θεία χάρις Ἅγιε, καὶ κατελάμπρυνεν αὐτό, κάλλους ἀῤῥήτου λαμπρότητι· προεκτμηθείσης τῷ ξίφει τῆς κάρας σου.

Δόξα, ἦχος, πλ. δ'. Τὸ προσταχθέν.

Ἀγαλλιάσθω οὐρανὸς γῆ εὐφραινέσθω, αἱ τῶν ἀγγέλων σὺν Ἁγίων ταῖς χορείαις, καὶ ἀνθρώπων τὰ πλήθη ἐπὶ τῇ ἀθλήσει, τῇ θείᾳ τοῦ Νικολάου τοῦ καρτερῶς, βασάνων παντοίων πεῖραν πόθῳ Χριστοῦ, καὶ ἐπώδυνον θάνατον, ὑπενεγκόντος ἐν γῇ, καὶ ταύτην ἁγιάσαντος, οὐρανὸν δὲ οἰκήσαντος.

Καὶ νῦν. Θεοτοκίον.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν ἀγνὴ καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν τόκον σου κεχαριτωμένη· βοῶντες ἀκαταπαύστως σῶσον ἡμᾶς, Παρθένε παντελεήμον ὡς ἀγαθή, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Οἱ Ἀναβαθμοὶ τὸ α'. Ἀντέφωνον τοῦ δ'. ἤχου. Δέκατος ὡς φοῖνιξ ἀνθήσει· Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει τοῦ Ἁγίου Δημητρίου, τῇ κστ' τοῦ Ὀκτωβρίου· ὁ Ν'. Δόξα ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ ἐδεσμένον.

Ἦχος πλ. δ'.

Χριστὲ τῶν Μαρτύρων τὸ κραταίωμα, ὁ καὶ τῶν νεομάρτυρα Νικόλαον ἐνισχύσας, ὑπὲρ τοῦ σοῦ θείου ὀνόματος ἐναθλῆσαι, δώρησαι ἡμῖν ταῖς αὐτοῦ ἱκεσίαις, τὸ μέγα σου ἔλεος.

Οἱ Κανόνες. Τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ' καὶ τοῦ Ἁγίου οἱ Κανόνες ἀνὰ δ'. Κανὼν τοῦ ἁγίου οὗ ἡ ἀκροστιχὶς κατὰ Ἀλφάβητον, ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ α'. ἦχος. πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἄναρχε λόγε, ταῖς τοῦ νέου Μάρτυρος, πανευπροσδέκτοις εὐχαῖς, τὸ νοερὸν στόμα τῆς καρδίας ἄνοιξον, καὶ χείλη μου τὰ ἔνυλα, ὅπως ᾄσωμαι μέλ-

ψω, τὰς ἀριστείας, τὰ τρόπαια, τούτου καὶ λαμπρὰ κατορθώματα.

Βάθος σοφίας καὶ κριμάτων ἄβυσσος, καὶ ὕψος γνώσεως σῆς, φιλάνθρωπε Σῶτερ, πάντα νοῦν ἐξέπληξε· πῶς τὸν ποτὲ μωραίνοντα, συνετὸν ἀπειργάσω, ἐκφέρουσα καὶ θεόσοφον, Μάρτυρα τῆς θείας σου πίστεως.

Γνῶσιν μοι θείαν οὐρανόθεν Ἅγιε, δός μοι προσβείας ταῖς σαῖς, ὅπως ἐπαξίως, πλέξω σοι τὸν στέφανον, τοῖς ἐγκωμίοις ἄνθεσι καὶ τῶν ὕμνων τρισμάκαρ, ὡς τὸ φωτὶ ἐλλαμπόμενος, τῆς ἀπειροσόφου θεότητος.

Θεοτοκίον.

Ὡς Θεοῦ μήτηρ παρρησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ σοῦ, μονογενῆ Λόγον καὶ Πατρὶ συνάναρχον καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σώσαι παράμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Ἕτερος Κανών. Ὠδὴ, α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Τῇ αὐγῇ τῆς τριλαμποῦς θεότητος, περιλαμπόμενος, τροπαιοφόρε Μάρτυς τοῦ Χριστοῦ, σὺν Μαρτύρων τοῖς θείοις χοροῖς, εὐχαῖς σου καταφαίδρυνον, τὰς διανοίας τῶν ὑμνούντων σε.

Τοῖς ῥείθροις τῶν ἱερῶν αἱμάτων σου, Μάρτυς Νικόλαε, τὸν νοητὸν ἀπέπνιξας ἐχθρὸν, τῇ ἐν Θεῷ δυνάμει Χριστοῦ, ὡς Φαραὼ τὸν τύραννον Μωσῆς τῷ πάλαι κατεβύθισε.

Στεφάνῳ μαρτυρικῷ κοσμούμενος, θεῖε Νικόλαε, καὶ πορφυρᾷ ἐξ αἵματος στολῇ, καλλυνόμενος μάρτυς Χριστοῦ, γηθόμενος παρίστασαι, τῷ Θείῳ θρόνῳ τοῦ Παντάνακτος.

Θεοτοκίον.

Τὸν φύσει δημιουργὸν ἐκύησας, ἡμᾶς θεώσαντα, τῇ ὑπὲρ νοῦν ἑνώσει ἀληθῶς, Θεοτόκε πανύμνητε, ὃν ἐκτενῶς ἱκέτευε φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Δεῦτε συνδράμωμεν πιστοί, καταμαθεῖν τοὺς ἀγῶνας, καὶ τοὺς ἄθλους τοῦ κλεινοῦ Νικολάου, τοῦ ἐκ Χίου καὶ ᾠδαῖς, τὴν θείαν αὐτοῦ ἄθλησιν, μετ' εὐλαβείας πλείστης, ἐπιτελέσωμεν ἅπαντες.

Ἐπιφανεῖσα ἡ σεμνή, καὶ Θεοτόκος Μαρία, ἀπελθεῖν σοι ἐνετείλατο μάκαρ, καὶ ἐάσεως τυχεῖν, ἐκ τοῦ ἱερατεύοντος, ἐν τῷ ναῷ Κυρίου, τοῦ ποιητοῦ καὶ Πλοῦ αὐτῆς.

Τῆλῳ τοῦ θείου Βαπτιστοῦ, ἀποτμηθῆναι τὴν κάραν, δι' ἀγάπην τοῦ Σωτῆρος ἐπόθεις, οὗ τὴν θείαν ἐκτομήν, χερσὶ κατέχων ἔκραζες, Πρόδρομε Ἰωάννη, τῶν σῶν παθῶν κοινωνήσαιμι.

Θεοτοκίον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῇ ἐκ σοῦ φανερωθείσῃ τῷ κόσμῳ, διανάστησον οὐλάς, καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεογεννῆτορ πανάμωμε.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Εὐφραίνονται οἱ λαοί, πνευματικῶς οἱ εὐσεβεῖς σήμερον, τοῖς ἱεροῖς μέλεσι, σὲ ἀνευφημοῦντες, μακάριε.

Τὴν μνήμην τὴν ἱεράν, τὴν σῆς ἀθλήσεως πιστῶς ἄγοντες, ἁμαρτιῶν ἄφεσιν, διὰ σοῦ θεόθεν αἰτούμεθα.

Προέστασο τῶν πιστῶς, τὴν σὴν τελούντων ἑορτὴν Ἅγιε, ταῖς σαῖς λιταῖς ὀλέψεως, καὶ δεινῶν παντοίων ῥυόμενος.

Θεοτοκίον.

Ἐσκήνωσεν ἐν ἡμῖν, ὁ ἐν ὑψίστοις κατοικῶν ἄχραντε, ἄνευ σπορᾶς σάρκα

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΕΡΕΥΝΑΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΠΙΜΕΛΗΤΗΡΙΟ ΠΑΠΑΔΟΠΟΥΛΟΥ

γάρ, ἐκ σοῦ προσλαβὼν πεφανέρωται. **Κάθισμα ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.**

Πρὸς ἀγῶνας ὀρθίζοντες ἀνυμνοῦμέν σου, οὓς ὑπέστης γενναίως, **Μεγαλομάρτυς Χριστοῦ**, ὑπὲρ τῆς πίστεως ἀθλῶν παναοίδιμε· ὅτι καθεῖλες δι' αὐτῶν, τῶν τυράννων τὴν ὀφρύν, καὶ θράση τὰ τῶν δαιμόνων, τὰ ἀσθενῆ θείᾳ ἐσχύϊ, καὶ στέφος τῆς ἀφθαρσίας εἴληφας.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Χαῖρε πύλη **Κυρίου** ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ **Θεόν**, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

Ὠδὴ δ'. Σόμου ἰσχὺς Κύριε.

Ἡ θαυμαστὴ καὶ ἀξιάγαστος ἔνστασις, ἣν εὐθέως ἔδειξας **Νικόλαε**, ὅτε προσήχθης τοῖς δικασταῖς, ὑπὲρ τῆς πατρῴας θρησκείας **Μάρτυς** ἀήττητε, κατέπληξεν εἰκότως, ἀσεβούντων τὰ πλήθη, τὰ δὲ τῶν εὐσεβῶν κατεθάρρυνε.

Θέσει υἱὸς **Πατρὸς** ἀνάρχου γεγέννησαι, **Θεοφόρε**, ἅτε μὴ δεξάμενος υἱοθεσίαν Ἀγαρηνῶν, καὶ χρημάτων δόσιν, οὐδὲ στολὴν τὴν πολύτιμον, ἀλλὰ περιφρονήσας, ὡς ἐχέφρων ἁπάντων, εὐσεβείας τῷ πόθῳ φλεγόμενος.

Ἵνα ζωῆς τῆς αἰωνίου **Νικόλαε**, ἐπιτύχῃς, ζωὴν τὴν ἐπίκαιρον οὐδὲν ἡγήσω πόθῳ **Χριστοῦ**, ὅθεν παῤῥησίᾳ, αὐτοῦ κηρύξας ὑπέμεινας, αἰκίας ἀφορήτους, καὶ πληγὰς ἀνυποίστους, καὶ βασάνους παντοίας πολύαθλε.

Θεοτοκίον.

Διαπαντὸς μὴ διαλίπῃς με σκέπουσα, σὲ γὰρ ἔχω μόνην καταφύγιον, ἐν πειρασμοῖς ὑπερασπιστήν, ῥῦστιν ἐν κινδύνοις, ἐν συμφοραῖς παραμύθιον, προστάτην ἐν ἀνάγκαις, εὐθυμίαν ἐν λύπαις, καὶ χαρὰν ἐν ταῖς θλίψεσι **Δέσποινα**.

Ἄλλος. Ἐπαρθένα σε ἐδοῦσα ἡ Ἐκκλησία.

Συνελθόντες τοὺς ἀγῶνάς σου εὐφημοῦμεν, καὶ τὰ λαμπρά σου τρόπαια καὶ τὰς ἀριστείας, **Μάρτυς** ἀθλοφόρε **Χριστοῦ**, εἰκότως δοξάζοντες, τὸν σὲ ἐνισχύσαντα **Κύριον**.

Γ'κεσίαις σου **Νικόλαε** νικηφόρε, πρὸς τὸν Θεὸν περίσωζε, τοὺς ἀνευφημοῦντας, σοῦ τὴν θείαν μνήμην πιστούς, καὶ πόθῳ γεραίροντας, τοὺς ὑπὲρ **Χριστοῦ** θείους ἄθλους σου.

Ὡς τῷ θρόνῳ παριστάμενος τῆς Τριάδος, ἀμαρτιῶν τὴν ἄφεσιν ταῖς σαῖς ἱκεσίαις, αἴτησαι τοῖς σοῖς ὑμνηταῖς, παμμάκαρ **Νικόλαε**, τοῖς ἐπιτελοῦσι τὴν μνήμην σου.

Θεοτοκίον.

Νεουργεῖ τὴν ἀνθρωπότητα νέον βρέφος, ὁ πρὸ αἰώνων **Κύριος** ὀφθεὶς ἐκ **Παρθένου**, καὶ βροτὸς γενόμενος, αὐτῷ μελῳδήσωμεν, δόξᾳ τῇ δυνάμει σου **Κύριε**.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Κολαστήρια ξένα, **Μάρτυς** καὶ δεινότατα, κατεπενόησαν, τῆς σῆς καρτερίας, οἱ πλάνης προστάται θερμότατοι, ἥλους ὀξυτάτους, διαπαρέντας ἐν σανίδι, ὑπὸ νῶτόν σοι θεῖναι ὠμότατα.

Λαμπροί σου οἱ ἀγῶνες, καὶ τὰ τρόπαια **Μάρτυς** ἅπερ ἀνήγειρας, κατ' ἐχθρῶν ἁπάντων, ὁρατῶν, ἀοράτων παν θαύμαστε, θείᾳ γὰρ δυνάμει, περιεγένου ἀμφοτέρων, καὶ τὴν τούτων ὀφρὺν κατεβέβληκας.

Μὴ προηθεὶς τοὺς Ἄγαρ, ἀπογόνους παμμάκαρ τὸ θεῖον βάπτισμα, δέξασθαι καὶ πίστιν, τὴν χριστώνυμόν τε καὶ σωτήριον, πρὸς αὐτοὺς ἔβας, οἱ δὲ

θυμοῦ ἀναπλησθέντες, βαρυτάτῳ σε λίθῳ ὑπέβαλον.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντες σε κηρύττομεν, **Θεοχαρίτωτε**, οἱ τῇ σῇ γεννήσει τῆς φθαρτῆς λυτρωθέντες γεννήσεως, καὶ πρὸς τὴν ἄμεινω πάλιν ζωὴν ἀνακληθέντες, διὰ σπλάγχνα ἐλέους **Θεοῦ** ἡμῶν.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Σὺ ὅλην πρὸς Θεόν, τὴν διάνοιαν ἔτεινας, **Νικόλαε θεοφόρε**, καὶ βασάνους ἀνδρείως, τῷ πόθῳ τούτῳ ἤνεγκας.

Δικίαις ἀφειδῶς, τοὺς σοὺς πόδας ἐκάκωσαν, **Νικόλαε** καὶ ἐν ξύλῳ, ἠσφαλίσαντο, σὺ δὲ **Θεὸν** χαίρων ἐδόξαζες.

Ἥλους μὲν ἀθλητά, οἱ τῆς Ἄγαρ ἀπόγονοι, ὑπέστρωσαν τοῖς σοῖς νώτοις, τοῖς δὲ στέρνοις σου λίθον, ἐπέθηκαν βαρύτατον.

Θεοτοκίον.

Ὁ λόγος τοῦ **Θεοῦ**, ὁ **Πατρὶ** ὁμοούσιος, σὸς γίνεται θεομῆτορ, ὑπὲρ νοῦν τε καὶ λόγον, υἱός σοι ὁμοούσιος.

Ὠδὴ στ'. Ἱλάσθητί μοι Σωτήρ.

Νύκτωρ σεισμὸς φοβερός, γενόμενος ἀπεκύλισεν, ὦ μέγα θαῦμα πιστοί· τὸν λίθον τὸν μέγιστον, ἐκ τοῦ θείου σώματος, καὶ διετηρήθη, ἀβλαβὴς ὁ παναοίδιμος.

Ξένα εἰσὶ καὶ φρικτά, **Μεγαλομάρτυς Νικόλαε** τὰ ἐπὶ σοὶ πρὸς **Θεοῦ**, γενόμενα θαύματα, δι' ὧν σε ἐρύσατο, λίθου βαρυτάτου, καὶ τῶν ἥλων τῆς κακώσεως.

Ὁξυτρόπως ποτέ, τὸν **Δανιὴλ** λυτρωσάμενος, ἐκ τῆς λεόντων ὁρμῆς, σὲ νῦν διετήρησεν ἀπήμαντον **Ἅγιε**, ἐκ παντὸς κινδύνου, καὶ τῶν ἵππων τῆς θρασύτητος.

Θεοτοκίον.

Λαμψάτω νῦν ἐπ' ἐμέ, ἡ ἄφατος εὐσπλαγχνία σου, **Θυθοῦ** μεάμαρτιῶν, καὶ τῆς ἀπογνώσεως, κόρη ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

Ἔρωτι, τῆς πατρῴας θρησκείας ἐνήθλησας, ὑπενεγκὼν ἀθλοφόρε, τὰς βασάνους πάσας μεγαλοψύχως, καὶ τὸ στέφος παρὰ **Θεοῦ** ἐδέξω τὸ ἄφθαρτον.

Ἵππων σε, τοῖς ποσὶν ἐναπέρριψαν δέσμιον, χεῖρας καὶ πόδας ἀλλ' ὅμως, θείᾳ βοηθείᾳ καὶ προμηθείᾳ, ἀβλαβὴς ἐτηρήθης τρισόλβιε.

Σύμφωνον, ἐκ ψυχῆς ἀναπέμπομεν ἅγιε, αἶνον τῷ πάντων **Δεσπότῃ**, τῷ ἐνδυναμώσαντι παραδόξως, σὲ θεόφρον, καρτερῶς ἐνεγκεῖν τὸ μαρτύριον.

Θεοτοκίον.

Κοίμισον τῶν παθῶν τῆς σαρκός μου τὰ κύματα, τῇ ἀκοιμήτῳ σου κόρη, ἱκεσίᾳ δέομαι, καὶ μὴ δῴῃς, ἁμαρτίας, ἀφυπνῶσαί με ὕπνον βαρύτατον.

Κοντάκιον, ἦχος γ'. Ἡ παρθένος σήμερον.

Φερωνύμως γέγονας, νίκη λαοῦ ὀρθοδόξου, ἱερὲ **Νικόλαε**, ὑπὲρ **Χριστοῦ** ἐναθλήσας, ὅθεν σοι ἐν κατανύξει ψυχῆς βοῶμεν, δώρησαι ἡμῖν τὴν νίκην ταῖς σαῖς πρεσβείαις, κατ' ἐχθρῶν τῶν ὁρωμένων καὶ ἀοράτων τοῖς σὲ τιμῶσι πιστῶς.

Ὁ Οἶκος.

Τίς σε, ὦ νέε τοῦ Χριστοῦ στρατιῶτα, ἐπαξίως ὑμνήσει ; τίς σου τὰς λαμπρὰς ἀριστείας, καὶ τὰ ἔνδοξα τρόπαια προσφυῶς ἐπαινέσει ; Σύ γὰρ, κραταιόφρον καὶ καλλίνικε ἀθλητά, τριακονθήμερον ταῖς βασάνοις ἐγκαρτερήσας, ἐν πολλοῖς καὶ πικροῖς αἰκισμοῖς, ἐν φυλακαῖς, ἐν ξύλῳ τοὺς πόδας θλιβόμενος, ἥλοις ὀξυτάτοις ἐφαπλούμενος, καὶ πλακὸς βαρύτητα ἐπὶ τοῦ στήθους καὶ

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ

τῆς κοιλίας φέρων, καὶ τοῖς ἵπποις δέσμιος χεῖράς τε καὶ πόδας ὑποριπτόμενος ποσί, τὸν δρόμον τοῦ σεπτοῦ μαρτυρίου τετέλεκας, τὴν πρὸς Χριστὸν τὸν Θεὸν πίστιν τετήρηκας· καὶ παρ' αὐτοῦ στέφος ἀπείληφας ἄφθαρτον· διʼ ὃ μαρτυρικὴν παῤῥησίαν ἔχων πρὸς αὐτόν, αἴτησαι ἡμᾶν τὴν κατ' ἐχθρῶν ὁρωμένων τε καὶ ἀοράτων νίκην ταῖς αὐτοῦ θείαις πρεσβείαις, τοῖς σὲ τιμῶσι πιστῶς.

Ἕτερον Κοντάκιον πλ. δ'. Τῇ ὑπερμάχῳ.

Προὺς τὴν σὴν ἄθλησιν Νικόλαε γεραίροντας καὶ προσκυνοῦντάς σου πιστῶς τὸ θεῖον λείψανον, διατήρει σαῖς πρεσβείαις ἐκ πάσης βλάβης, ἅτε ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, ὑπὲρ οὗ στερρῶς ἐνήθλησας πανεύφημε, καὶ ἀπείληφας μαρτυρίου τὸν στέφανον.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ ΤΡΙΑΚΟΣΤΗ ΠΡΩΤΗ, ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ

ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΝΙΚΟΛΑΟΥ

ΤΟΥ ΝΕΟΥ, ΤΟΥ ΕΚ ΤΗΣ ΝΗΣΟΥ ΧΙΟΥ

» Νίκης τὰ λαμπρὰ Νικόλαε βραβεῖα
» Πρὸς Χριστοῦ ἀπείληφας στερρῶς ἀθλήσας
» Τριακοστῇ ἐν πρώτῃ κάραν ἐκτμηθείς.

Οὗτος ὁ νέος Μάρτυς τοῦ χριστοῦ Νικόλαος, ἦτον ἀπὸ τὴν περίφημον νῆσον Χίον, ἀπὸ χωρίον Καρυαῖς λεγόμενον, χριστιανὸς ἄνωθεν ἀπὸ γονεῖς καὶ προγόνους· καὶ ὁ μὲν πατὴρ αὐτοῦ ὠνομάζετο Πέτρος, ἡ δὲ μήτηρ του Σταματοῦ· καὶ ὄχι μόνον ἦτον αὐτὸς χριστιανός, κατὰ τὴν ἀκολουθίαν τοῦ γένους, ἀλλὰ ἦττον μάλιστα χριστιανὸς καὶ κατὰ τὰ χριστιανικὰ ἦθη, ἐκ νεαρᾶς του ἡλικίας· εὐλαβὴς δηλονότι εἰς τὰ θεῖα, ταπεινὸς εἰς ὅλους, σεμνὸς εἰς τὴν συναναστροφήν του, ἐγκρατὴς εἰς τὴν γλῶσσαν τόσον, ὥστε οὔτε βλασφημία, οὔτε κιμμία ἄλλη κακολογία δὲν ἠκούετο ποτὲ ἀπὸ τὸ στόμα του καὶ ἐπάνω εἰς ὅλα ἡ ἁπλότης καὶ ἡ ἀκακία ὅπου εἶχε, προσέτι καὶ ἡ ὑπομονή, ἀπὸ ὅλους ἐθαυμάζετο, καὶ ἐπαινεῖτο καὶ σχεδὸν ἦτον ἑστολισμένος ὁ μακάριος ἐκ νεότητός του μὲ ὅλα ἐκεῖνα τὰ καλά, καὶ τὰς χάριτας, ὁποῦ ἀναγινώσκομεν διὰ τοὺς πιλαιοὺς Ἁγίους, ὅτι τοὺς ἐπροφανέρωναν ὥσαν τὶ λογῆς ἄνθρωποι ἔμελλαν νὰ κατασταθοῦν εἰς τὸ ὕστερον.

Ἐπειδὴ καὶ ἡ ἁπλότης ἐκείνη καὶ ἡ ἀκακία ὁποῦ εἶχε, δὲν ἦτο εὐήθεια καὶ ἀνοησία, καθὼς συμβαίνει πολλάκις εἰς πολλούς, ἀλλὰ ἦτον ἀγαθότης ἀληθινὴ καὶ καλωσύνη. ἁπλότης δηλαδή, ἐναντία τῆς δολιότητος καὶ ἀκακία ἐναντία τῆς πονηρίας, καὶ ἀκολούθως ἦτον ἀρετὴ θεάρεστος· τοιοῦτος ἦτον, χριστιανοί, ὁ θεῖος Νικόλαος ἀκόμη ἀπὸ τὰς ἀρχάς του, καὶ μὲ ὅλον ὁποῦ ἀνετράφη ὁ εὐλογημένος ὀρφανὸς χωρὶς προστασίαν καὶ παίδευσιν πατρός.

Τὶ δὲ τὰ μετὰ ταῦτα ; Ἀφ' οὗ πλέον ἔφθασεν ἕως εἴκοσι χρόνων ἡλικίαν, ἐσυμφώνησε μὲ ἕνα ἄνθρωπον τοῦ αὐτοῦ χωρίου Φραγκούλην ὀνομαζόμενον, καὶ ἀπελθόντες εἰς Μαγνησίαν ἐδούλευον τὴν κτιστικὴν τέχνην, ὁ δὲ Νικόλαος ὅσον ηὔξανε κατὰ τὴν ἡλικίαν, τόσον ἐπρόκοπτε καὶ κατὰ τὰ προειρημένα καλά. Ἀλλὰ διὰ νὰ παραδράμω τὰ ἄλλα, ἕνα μόνον ἀναφέρω καὶ ἐξ αὐτοῦ δύναται νὰ καταλάβῃ καθ' ἕνας καὶ τὰ ἄλλα· ἀκρίδα ἔπεσε καὶ ἐπνίγη εἰς τὸν τόπον ὅπου διέτριβον· καὶ ἕνας τῆς συντροφιᾶς των, Ἰωάννης ὀνομαζόμενος, Χῖος καὶ αὐτός, ἠξεύροντας τὴν διάθεσίν του, ἔλαβεν ἐξ αὐτῶν τῶν πνιγμένων ἀκρίδων, καὶ ἔτριβεν εἰς τὸ πρόσωπόν του, διὰ νὰ τὸν δοκιμάσῃ ἐὰν θυμώσῃ καὶ εἰπῇ πρὸς αὐτὸν κανένα σκληρὸν ἀπρεπῆ λόγον, καὶ αὐτὸς τόσην ὑπομονὴν ἔδειξεν, ὥστε ὁποῦ δὲν ἤνοιξε τὸ στόμα του νὰ εἰπῇ οὐδὲ τίποτε. Ἀλλ' ὁ τοιοῦτος ἀγαθὸς καὶ χαριτωμένος νέος, κρίμασιν οἷς οἶδε Κύριος, ἐξύπνησε μίαν τῶν ἡμερῶν ἔξω φρενῶν, χωρὶς καμμίαν φαινομένην αἰτίαν, ἀλλὰ καὶ μὲ ὅλον ὁποῦ ἐπαραφρόνησε καὶ ἐβγῆκεν ἀπὸ τὸν νοῦν του, πάλιν δὲν ἔκαμεν ἔργα ἀφροσύνης καὶ τρέλλας· τόσον μόνον ἐφαίνετο ὥσαν παραλογιασμένος, καὶ σαστισμένος. Βλέποντές τον λοιπὸν οἱ Ἀγαρηνοὶ ὡραῖον καὶ εἰς τοιαύτην κατάστασιν, τὸν ἐπαρακινοῦσαν νὰ τουρκεύσῃ, καὶ αὐτὸς μὴν ἔχων τὸν λογισμὸν ὑγιῆ, ἠκολούθησεν εἰς αὐτοὺς καὶ χωρὶς μεγάλην βίαν· ὅθεν φρονοντές τον αὐτοὶ μὲ προθυμίαν μεγάλην καὶ ζῆλον πολὺν, τὸν ἐπαράστησαν εἰς τοὺς ἀρχηγούς των, λέγοντες πρὸς αὐτούς, ὅτι οὗτος ὁ νέος ζητεῖ νὰ τουρκεύσῃ· καὶ ἐκεῖ πάλιν ἐρωτώμενος ἐὰν θέλῃ νὰ τουρκεύσῃ ἐσιώπα, ὥσὰν νὰ μὴν ἠσθάνετο καὶ νὰ μὴν ἤκουε τὶ τοῦ ἔλεγαν, καὶ λοιπὸν ἀγανακτήσαντες, ἐξ αἰτίας τοιαύτης, αὐτὸν μὲν ὡς τρελλὸν ἐκλαμβάνοντες τὸν ἐδιωξαν ἐκεῖθεν, ἐκείνους δὲ ὁποῦ τὸν ἐπρόσφεραν τοὺς ἤλεγξαν καὶ ὠνείδισαν, διατὶ τοὺς ἔφεραν ἐκεῖ τοιοῦτον ἄνθρωπον.

Ὕστερον δὲ ἀπὸ τοῦτο φοβηθέντες οἱ ἄλλοι του συμπατριῶται νὰ μὴν πάθῃ κανένα κίνδυνον ψυχικόν, τὸν ἔφεραν εἰς τὴν Χίον εἰς τὴν ἀδελφήν του, Δεσποινοῦ καλουμένην, διηγούμενοι πρὸς αὐτὴν καὶ τὰ ἐν τῇ Μαγνησίᾳ γενόμενα· αὐτὴ δμως — ὦ καὶ τὶ νὰ εἰπῶ εἰς τὴν ἀφροσύνην της—δὲν τὰ ἐφύλαξε μυστικά, καὶ διὰ τοῦτο μετ' ὀλίγον ἔφθασεν εἰς τοὺς ἀγάδες τῆς Χίου ἡ κακὴ φήμη, ὅτι δηλαδὴ ἐτούρκευσεν εἰς τὴν Ἀνατολὴν· καὶ τότε βέβαια ἐκινδύνευσε νὰ πάθῃ τὸ ναυάγιον μέσα εἰς τὸν λιμένα ὁ εὐλογημένος Νικόλαος, ὅστις πρὸ ὀλίγου εἶχε γλυτώσῃ ἀπὸ τὸ πέλαγος τῆς Μαγνησιακῆς ἀσεβείας. Τότε, λέγω, μαθόντες οἱ ἀγάδες τὰ περὶ τοῦ Νικολάου καὶ πέρναντές τον, ἤλλαξαν τὸ σχῆμα καὶ τὸ ὄνομά του καὶ εἰς τὸ ἑξῆς ἐφαίνετο μὲ φορέματα τουρκικὰ καὶ μὲ ὄνομα Μεμέτης, καὶ ἄλλο δὲν τὸν ἔλειπε, πλὴν τῆς περιτομῆς, τὴν ὁποίαν ποτὲ δὲν ἔλαβεν. Ὑστερούμενος ὅμως τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, προσεκολλήθη εἰς τοὺς μακελάρηδες (χασάπηδες) καὶ βόσκων τὰ ζῶα ὁποῦ εἶχαν διὰ σφαγήν, ἐλάμβανεν ἀπὸ αὐτοὺς τὴν ζωοτροφίαν του.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν συνέβη κατὰ θείαν οἰκονομίαν νὰ τὸν ἴδῃ εἰς τὰ βουνὰ τῆς ἁγίας Ὑπακοῆς κάποιος ἀρχιμανδρίτης, Κύριλλος τὸ ὄνομά του, συνέβη, λέγω, νὰ τὸν ἴδῃ καὶ νὰ ἐρωτήσῃ περὶ αὐτοῦ τοὺς ἐκεῖ εὑρεθέντας τί ἄνθρωπος ἦτον καὶ ἀφ' οὗ ἔμαθεν ἀπὸ αὐτοὺς τὰ πάντα, γνωρίζων ὅτι ἡ δήλωσις τῶν λόγων τοῦ Κυρίου φωτιεῖ καὶ συνετιεῖ νηπίους, προσῆλθεν εἰς αὐτὸν, καὶ ἀφ' οὗ τὸν ἠρώτησε καὶ ἐγνώρισε τὴν πολλήν του ἁπλότητα, τὸν ἐδοκίμαζε πλέον μὲ τρόπους ἐπιτηδείους, νὰ καταλάβῃ τὴν γνώμην του ποῦ κλίνει· ἔπειτα καὶ κάποιας συμβουλὰς τοῦ ἔδωκε τὶ νὰ κάμῃ καὶ πῶς νὰ περᾷ· καὶ αὐτὰ φαίνεται ὅτι ἦσαν ἡ ἀρχὴ καὶ ἡ ἀφορμὴ τῆς μεταβολῆς, καὶ τῆς διορθώσεώς του· διότι ἐκεῖθεν ἀναχωρήσας, ἦλθεν εἰς κάποιον τόπον Ὑδραγώγιον λεγόμενον, καὶ ἐκοιμήθη ἐκεῖ μέσα εἰς μίαν κρημνισμένην ἐκκλησίαν τῆς Ἁγίας Ἄννης. Πλὴν ἔκλεισε, μὲν τοὺς σωματικοὺς ὀφθαλμοὺς εἰς ὕπνον, ἤνοιξεν ὅμως τοὺς ψυχικούς, ὡς ἄλλος Ἰακώβ, εἰς ὀπτασίαν παράδοξον, καὶ ἰδοὺ βλέπει μίαν ὡραιοτάτην κόρην, μὲ ξενικὴν στολὴν ἐνδεδυμένην, καὶ τοῦ λέγει, «σήʼω, πήγαινε εἰς τὸν ἱερέα τοῦ Ναοῦ τοῦ Υἱοῦ μου νὰ σὲ λούσῃ, νὰ ὑγιάνῃς, διὰ νὰ σὲ πάρω γαμβρόν».

Ἔπειτα διϋπνισθείς, ἔτρεξε μετὰ χαρᾶς μεγάλης εἰς τὸ χωρίον διηγούμενος αὐτολεξεὶ πρὸς τὴν ἀδελφήν του τὸ ὅραμα ἐκεῖνο· αὐτὰ τὰ ἴδια ἀνήγγειλαν καὶ εἰς τὸν ἐφημέριόν των, Γεννάδιον ὀνομαζόμενον, ζητοῦντες τὴν λύσιν καὶ τὴν ἑρμηνείαν τοῦ ὀνείρου· ὁ δέ, νομίζων τὸ ὄνειρον ἁπλῶς ἢ ἀποτέλεσμα τῆς ἀφροσύνης του, τοὺς ἐδίωξε, λέγων «τοῦ τρελλοῦ τὸ ὄνειρον θέλομεν ἐξετάσει τὶ εἶναι,» καὶ τὶ δὲν εἶναι ;» Ἐπειδὴ δὲ ὁ προρρηθεὶς ἀρχιμανδρίτης εἶχε τῷ τότε καλὴν ὑπόληψιν, προσέτι ἦτον καὶ προεστὸς εἰς τὸν Ναὸν τοῦ Σωτῆρος Χριστοῦ ὁποῦ εἶναι εἰς τὸ Παλαιόκαστρον, διὰ τοῦτο προσῆλθον εἰς αὐτόν, νὰ τοῦ ψάλῃ ἁγιασμούς, νὰ τοῦ ἀναγνώσῃ ἐξορκισμούς, μήπως τάχα αὐτὰ ἐννοοῦσε λοῦσμα ἡ φανεῖσα κόρη, καὶ αὐτὸν (τὸν ἀρχιμανδρίτην λέγω), ἔλεγεν ἱερέα τοῦ Ναοῦ τοῦ υἱοῦ της καθὼς· καὶ ἡ ἔκβασις τῶν πραγμάτων τὸ ἔδειξε· διότι προσκαλεσάμενος τὴν θείαν βοήθειαν, διὰ τῶν εὐχῶν τοῦ ἱεροῦ ἀρχ.μανδρίτου ἐκείνου, ἔλαβε τὸ ποθούμενον, τοῦτ' ἔστιν ἦλθεν εἰς τὸν ἑαυτόν του καὶ ὑγίανε καὶ ἔγινε καθὼς ἦτο πρότερον εἰς διάστημα δύο ἡμερονυκτίων. Ὁ δὲ ἀρχιμανδρίτης, ἀφοῦ θείᾳ χάριτι τὸν κατέστησεν ὑγιῆ καὶ φρόνιμον, ἐφρόντισε πλέον καὶ διὰ τὴν ψυχικήν του ὑγείαν· ὅθεν τὸν ἐκατήχησε καλῶς καὶ τὸν ἐδίδαξεν ἱκανῶς, καὶ οὕτως, ἀφοῦ τὸν ἔβαλεν εἰς ὁδὸν μετανοίας καὶ χριστιανικῆς ζωῆς, τὸν ἀπέλυσεν ἐν εἰρήνῃ. Τὰ ἐπίλοιπα δμως τῆς διηγήσεως, ἀδελφοί, εἶναι θαυμαστὰ καὶ παράδοξα, καὶ ὡς τοιαῦτα, καὶ περισσοτέραν ζητοῦσι τὴν προσοχήν. Διότι ἐλθὼν εἰς τὸν ἑαυτόν του ὁ νέος καὶ σωφρονισθεὶς χωρὶς νὰ τοῦ μείνῃ κανένα ἐλάττωμα, ἤρχισε νὰ κάμνῃ μίαν θαυμασίαν μετάνοιαν, καὶ ἀπορρίψις ἀπὸ μιᾶς πᾶσαν σωματικὴν φροντίδα ὁ ἀοίδιμος, μὲ νηστείαν καὶ προσευχὴν καὶ ἀγρυπνίαν, ἐπερνοῦσεν ὅλον τὸν πρὸ τοῦ μαρτυρίου καιρόν, καὶ μὲ γονυκλισίας σχεδὸν ὑπὲρ ἀριθμόν· πολλάκις δὲ καὶ παρακινούμενος ἀπὸ τὴν ἀδελφήν του νὰ δώσῃ ὀλίγην ἄνεσιν εἰς τὸν ἑαυτόν του ἀπὸ τὴν πολλὴν νηστείαν καὶ ταλαιπωρίαν, δὲν ἠθέλησεν, ἀλλ' ἔμεινε νηστεύων συναπτῶς καὶ δύο καὶ τρεῖς ἡμέρας· βλέπων δὲ τὴν εἰκόνα τῆς ἀποτομῆς τοῦ Τιμίου Προδρόμου, τὴν ἥρπαζε καὶ τὴν κατερίλει ἀχόρταστα, (ὁ τόσον εἰκονομάχος ἐν τῷ καιρῷ τῆς ἁφροσύνης του), καὶ μὲ θερμὰ δάκρυα εἰς τοὺς ὀφθαλμούς καὶ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, ἢ μᾶλλον εἰπεῖν ἀναμμένην ἀπὸ τὴν φλόγα τῆς τοῦ Χριστοῦ ἀγάπης: «Ἅγιε τοῦ Θεοῦ, λέγει, καθὼς ἐσὺ διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ ἀπεκεφαλίσθης, ἔτσι ἀξίωσε καὶ ἐμὲ νὰ ἀποκεφαλισθῶ διὰ τὴν ἀγάπην του». Ὦ ἔρως· ὦ ἀγάπη θερμοτάτη πρὸς τὸν Χριστόν· ὄντως μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει. Ὅθεν μὲ ὅλον ὁποῦ ἦτο δυνατὸν νὰ ὑπάγῃ εἰς κανένα μέρος, καὶ ἐκεῖ καὶ τὸν Χριστὸν νὰ λατρεύῃ καὶ τὴν ζωήν του νὰ φυλλάττῃ, μὲ ὅλον τοῦτο μὴ φοβηθεὶς ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἐπαρρησιάζετο χριστιανός, τόσον, ὁποῦ καὶ εἰς τὴν ἐκκλησίαν μετὰ τῶν ἄλλων ἐπήγαινεν. Ἀλλ' ἐπειδὴ πρὸ ὀλίγου ἐφαίνετο καὶ ἐγνωρίζετο ὡς Τοῦρκος, διὰ τοῦτο φοβούμενοι οἱ ἄλλοι χριστιανοὶ τὸν κίνδυνον νὰ τὸν δέχωνται εἰς τὴν Ἐκκλησίαν, τὴν τρίτην φορὰν ὁποῦ ἐπῆγε πάλιν, τὸν ἐδίωξαν μὲ φωνὰς καὶ θόρυβον· αὐτὸς δὲ ὁ μακάριος ἐστάθη εἰς τὸ μέσον τοῦ Ναοῦ μὲ πρόσωπον σκυθρωπὸν καὶ βρεγμένον ἀπὸ δάκρυα καὶ μὲ θρηνώδη φωνὴν· «διατὶ μὲ διώκετε, τοὺς λέγει, ἀδελφοί, ἀπὸ τὸν Ναὸν τοῦ Θεοῦ, ὁποῦ εἶμαι καὶ ἐγὼ Χριστιανός, ὥσὰν καὶ ἐσᾶς ; Πλὴν Χριστιανὸς εἶμαι, καὶ Χριστιανὸς μέλλω νὰ ἀποθάνω».

Ἔπειτα σφραγίσας τὸν ἑαυτόν του τρεῖς φορὰς μὲ τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ, ἐβγῆκεν ἔξω μετὰ δακρύων καὶ ἀναστεναγμῶν, καὶ πηγαίνων εἰς τὸ ὀσπήτιόν του ἐδόθη ὅλος εἰς θερμὴν δέησιν πρὸς τὸν Θεόν, ἕως ὁποῦ καὶ οἱ ἄλλοι ἐβγῆκαν ἀπὸ τὴν ἐκκλησίαν, καὶ τότε ἐπειδὴ καὶ εἶχεν ἀκουσθῇ πρότερον, ὅτι ὁ Νικόλαος ἔστρεψε πάλιν εἰς τὴν προτέραν πίστιν καὶ ἀφῆσε τὴν Τουρκικήν, ἐπειδὴ εἶχεν ἀκουσθῇ, λέγω, τοῦτο, νὰ καὶ φθάνουσιν ὡς ἐπὶ ληστὴν μετὰ μαχαιρῶν καὶ ὅπλων, οἱ ἀπεσταλμένοι ἀπὸ τὸ Κριτήριον, διὰ νὰ τὸν φέρουν εἰς ἐξέτασιν τοῦ τολμήματος· καὶ πρῶτον μὲν ἔδεσαν αὐτοῦ τὰς χεῖρας εἰς τὰ ὀπίσω, ἔπειτα δὲ συνέλαβον καὶ τὸν ἐφημέριον τοῦ χωρίου καὶ ἄλλους δύο τοὺς προέχοντας καὶ ὅλους ὁμοῦ τοὺς ἔφεραν εἰς τὸ Κριτήριον· καὶ τοὺς μὲν ἄλλους τρεῖς τοὺς ἐφυλάκισαν, μόνον δὲ τὸν Νικόλαον παρέστησαν εἰς ἐξέτασιν. Ὁ δὲ ἐξεταζόμενος καὶ ἐρωτώμενος διατὶ νὰ ἀλλάξῃ τὸ σχῆμα καὶ τὸ ὄνομά του καὶ νὰ γίνῃ πάλιν χριστιανός ; «Ἐπειδὴ ἐγὼ ἀπὸ χριστιανοὺς ἐγεννήθην, τοὺς ἀποκρίνεται, καὶ χριστιανὸς ἀνετράφην, καὶ εἶμαι χριστιανὸς καὶ τὸν Χριστόν μου ποτὲ δὲν ἠρνήθηκα νὰ τουρκεύσω, οὔτε θέλω τὸν ἀρνηθῇ ποτέ, ἀλλὰ χριστιανὸς μέλλω νὰ ἀποθάνω». Καὶ ταῦτα μὲν ὁ νέος· ὁ δὲ κριτὴς καὶ οἱ μετ' αὐτοῦ τότε κατ' ἀρχὰς ἐδοκίμαζον μὲ πολλὰς κολακείας καὶ διαφόρους ὑποσχέσεις νὰ τὸν καταπείσουν νὰ

μένη εἰς τὴν θρησκείαν των· πλὴν δὲν κατώρθωσαν μὲ αὐτὰ, ἀλλὰ τοῦτο μόνον· ἤναψαν δηλονότι τὸν ζῆλον τοῦ Μάρτυρος, καὶ οὔτε τοὺς κριτὰς ηὐλαβήθη, οὔτε τὰ ἄλλα παριστάμενα πλήθη τῶν Ἀγαρηνῶν ἐφοβήθη, οὔτε ἄλλο τι ἐσυλλογίσθη, ἀλλὰ μὲ φρόνημα γενναῖον, μὲ λαμπρὰν φωνὴν καὶ μὲ γλῶσσαν ἐλευθέραν, ἤλεγξε τὴν θρησκείαν των, ἐλεύνασε καὶ ἐκαταγέλασε τὴν ἀγνωσίαν των καὶ τὴν πλάνην των, καὶ κανεὶς ἀπὸ αὐτοὺς δὲν ἠδυνήθη νὰ ἀντείπῃ, καὶ νὰ ἐναντιωθῇ, κατὰ τὴν τοῦ Κυρίου ὑπόσχεσιν τὴν λέγουσαν, «ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, αὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν».

Ἐπειδὴ λοιπὸν ἀπὸ τὴν θείαν παρρησίαν καὶ τὴν πνευματοκίνητον γλῶσσαν τοῦ Μάρτυρος ἐνικήθησαν καὶ κατησχύνθησαν, μετέβαλον τὴν ἡμερότητα εἰς ἀγριότητα, τὰς κολακείας καὶ τὰς ὑποσχέσεις εἰς ἀπειλὰς καὶ φοβερισμούς, ὅθεν χωρὶς νὰ χάσουν καιρόν, τὸν ἔστρωσαν εἰς τὸ ξύλον, καὶ μὲ ἄκραν σκληρότητα, περισσότερας ἀπὸ πεντακόσιαις ῥαβδιαὶς τοῦ ἔδωκαν εἰς τοὺς πόδας καὶ μετὰ τὴν βάσανον ταύτην τὸν ἔρριψαν ἔτσι ἀθεράπευτον μέσα εἰς τὴν φυλακὴν, καὶ ὄχι τόσον μόνον, ἀλλὰ καὶ μὲ ἀπανθρωπίαν· ὑπερβολὴν ἔσφιγξαν τοὺς καταπληγωμένους πόδας του μέσα εἰς τὸ βασανιστήριον ξύλον, τὸ κοινῶς λεγόμενον «τουμπροῦκι». Οἱ δὲ προειρημένοι τρεῖς ἐγχώριοί του, ἦσαν καὶ αὐτοὶ φυλακισμένοι, ἀλλὰ χωρὶς βασάνους· ἀλλ' ὅμως δὲν ἠδυνήθησαν νὰ ὑποφέρουν, οὐδὲ αὐτὴν τὴν ὀλίγην στενοχωρίαν τῆς φυλακῆς καὶ ἐτόλμησε νὰ εἴπῃ πρὸς αὐτὸν ὁ ἱερεὺς μάλιστα, ὁ διδάσκαλος τῆς εὐσεβείας, φεῦ! ἐτόλμησε, λέγω, νὰ τοῦ εἴπῃ λόγον σατανικὸν καὶ διαβολικὸν· ἕως πότε, λέγει, μᾶς βασανίζεις; τούρκευσε νὰ γλυτώσῃς καὶ ἐσύ, καὶ ἡμεῖς· καὶ διὰ ἕνα ἄνθρωπον ἡ χριστιανοσύνη δὲν ὀλιγοστεύει». Τοῦτον ἀκούσας τὸν λόγον ὁ θεῖος Νικόλαος, τόσον ἐταράχθη, τόσον ἤναψεν ὁ ὁποῦ δὲν τὸν ηὐλαβήθη πλέον ὡς ἱερέα τοῦ Θεοῦ, ἀλλ' ὡσὰν ἕνα ἐχθρὸν, ἕνα ἐπίβουλον, ἕνα προδότην τῆς εὐσεβείας, τὸν ἔπτυσε τρεῖς φορὰς εἰς τὸ πρόσωπον λέγων: «Σὺ ὁ ἱερεὺς τοῦ Θεοῦ μὲ παρακινεῖς νὰ προδώσω τὴν πίστιν μου, ἀντὶ νὰ μὲ διδάσκῃς νὰ τὴν φυ-

ἕως θανάτου»; Μετὰ δὲ ἡμέρας τινὰς, νομίζοντες οἱ Τοῦρκοι, ὅτι θέλει διελιάσει ἀπὸ τὰς προτέρας τιμωρίας καὶ οὔτω νὰ ἀρνηθῇ τὸν Χριστὸν, τὸν ἔβγαλαν εἰς δευτέραν ἐξέτασιν· καὶ πάλιν ὑποσχέσεις μεγάλας, πάλιν κολακείας· πολλὰς· «λυπήσου, λέγοντες, τὴν νεότητά σου, ὦ τέκνον, τὴν ὡραιότητά σου, τὴν ζωήν σου, μὴ θελήσῃς νὰ ζημιωθῇς καὶ νὰ χάσῃς αὐτὰ τὰ καλὰ, ἀλλὰ κάμε ὑπακοὴν εἰς ἡμᾶς, διὰ νὰ σὲ τιμήσωμεν καὶ νὰ σὲ δοξάσωμεν μεγάλως», καὶ ταῦτα λέγοντες, τοῦ ἔδειχναν ἕνα κιβώτιον περιέχων πολλὰ φλωρία, καὶ ἄλλα ἀργύρια, καὶ μίαν φορεσιὰν λαμπρὰν καὶ πολυέξοδον, καὶ «ὅλα αὐτὰ, τοῦ ἔλεγαν, ἂς εἶναι ἰδικά σου, περιπλέον νὰ σὲ κάμωμεν υἱόν μας, μόνον ὑπάκουσον· εἰδὲ καὶ μένῃς εἰς τὸ πεῖσμα, θέλομεν σὲ θανατώσει ἀπαραιτήτως μὲ σκληρότατον θάνατον».

Καὶ ταῦτα μὲν ἔλεγον οἱ τύραννοι. Τὶ δὲ ὁ Μάρτυς ἀνταπεκρίθη; «Οὔτε τὰς κολακείας σας δέχομαι, οὔτε τὰς ὑποσχέσεις βάζω πανιελῶς εἰς τὸν νοῦν μου· ἀλλ' οὐδὲ τὰς τιμωρίας καὶ τὸν ἀπειλούμενον θάνατον φοβοῦμαι· Χριστιανὸς εἶμαι, καὶ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ κάνενα πρᾶγμα δὲν θέλει δυνηθῇ νὰ μὲ χωρίσῃ· πλὴν ἐὰν μοῦ ὑπακούσετε ἐσεῖς πρότερον, τοὺς λέγει μὲ τὴν σύντροφόν του ἁπλότητα, εἰς ἕνα ζήτημα ὁποῦ ἔχω νὰ σᾶς ζητήσω, ὑπακούω καὶ ἐγὼ εἰς ἐσᾶς ὕστερον». Αὐτοὶ δὲ μὴν ἠξεύροντες τὶ ἦτο τὸ ζήτημά του, ὑπεσχέθησαν μετὰ χαρᾶς. Τὶ δὲ ἦτον ἐκεῖνο τὸ ζήτημα; «Στέρξατε πρῶτον ἐσεῖς, τοὺς λέγει, νὰ σᾶς βαπτίσω, νὰ σᾶς κάμω χριστιανοὺς, καὶ ἔπειτα κάμετέ με καὶ ἐσεῖς ὅ,τι θέλετε». Τόσον δὲ τοὺς ἐτάραξεν αὐτὸς ὁ λόγος τοῦ Μάρτυρος, τόσον τοὺς ἦναψε τὸν θυμόν, ὥστε ὁποῦ τοὺς ἔκαμε νὰ ἐπινοήσουν καὶ νὰ ἀποφασίσουν, ἀκόμη καὶ νὰ μεταχειρισθοῦν εἰς αὐτὸν τὰ πλέον δεινὰ καὶ ἀσυνήθιστα κολαστήρια. Ἐπρόσταξαν, λέγω, καὶ ἔχυσαν νερὰ κάτω εἰς τὸ ἔδαφος τῆς φυλακῆς, ἔπειτα ἔχοντες διαπερασμένα εἰς ἕνα σανίδι πολλὰ καρφία, τὰ ἔβαλαν ἐπάνω εἰς τὰ νερὰ ἐκεῖνα, καὶ ὕστερον ἐξήπλωσαν τὸν Μάρτυρα ἐπάνω εἰς αὐτὰ τὰ καρφία τὰ διαπερασμένα εἰς τὸ σανίδι· ἐπὶ δὲ τοῦ στήθους καὶ τῆς κοιλίας του ἐπέθηκαν μίαν βαρυτάτην πλάκα· εἰς δὲ τὸν λαιμόν του ἐπέρασαν ἁλυσίδα· καὶ εἰς τὸν ἴδιον καιρὸν τοῦ εἶχαν τοὺς πόδας εἰς τὸ τουμπροῦκι. Ταῦτα μὲν ἐπρόσταξαν οἱ τύραννοι, οἱ δὲ ὑπηρέται ἐτελείωσαν τὰ προσταχθέντα τὸ ταχύτερον. Ὁ δὲ Μάρτυς τοῦ Χριστοῦ τὰ ὑπέμενε χαίρων καὶ δοξάζων τὸν Θεόν. Ὁ Χριστὸς ὅμως ὁποῦ ἦταν ὁ Μαρτύρων τὸ κρατούμενον καὶ ἡ δύναμις δὲν ἄφηκε τὸν δοῦλόν του ἀβοήθητον καὶ ἀπαρηγόρητον εἰς τοσαύτην ἀνάγκην, ἀλλὰ τὸ μεσονύκτιον νὰ καὶ γίνεται ἕνας σεισμὸς φοβερὸς μέσα εἰς τὴν φυλακὴν καὶ μὲ τὸν σεισμὸν ἀπεκυλίσθη ἡ πλάκα καὶ ἔπεσεν ἀπὸ τὸ στῆθος καὶ τὴν κοιλίαν τοῦ ἁγίου, καὶ ὦ τοῦ θαύματος! οὔτε ἡ πλάκα τοῦ ἐσύντριψε τὰ κόκκαλα τοῦ στήθους, οὔτε τὰ καρφία τοῦ ἐτρύπησαν τὴν ῥάχιν, ἀλλ' ἔμειναν ὅλος ἀβλαβὴς, θεῖος δυνάμει· ἡ δὲ φυλακὴ ἐγεμίσθη ἀπὸ εὐωδίαν ἀῤῥητον τὴν ὥραν ἐκείνην. Τότε καὶ ὁ προῤῥηθεὶς ὀλιγόψυχος ἱερεὺς, βλέπων τὸ παράδοξον θαῦμα, μετενόησε καὶ ἐζήτει θερμῶς τὸ ἔλεος τοῦ Θεοῦ δι' ἐκεῖνα ὁποῦ ἐβλασφήμησε, καὶ πίπτων εἰς τοὺς πόδας τοῦ ἁγίου ἐζήτει συγχώρησιν ἐπειδὴ τοῦ εἶπε νὰ τουρκεύσῃ, καὶ ὄχι μόνον αὐτός, ἀλλὰ καὶ ὅλοι οἱ ἐν τῇ φυλακῇ εὑρεθέντες ἐξεπλάγησαν καὶ ἐφώναζον: «ὄντως ἅγιος ἄνθρωπος εἶναι, ἀληθῶς Μάρτυς εἶναι, ὡσὰν καὶ ἐκεῖνοι οἱ παλαιοί, καὶ διὰ τοῦτο ὁ Θεὸς ἐφάνη θαυμαστὸς εἰς αὐτόν». Καὶ ἦτο μεγάλη χαρὰ εἰς ὅλους ἐκείνους ὁποῦ τὰ τοιαῦτα θαυμάσια ἤκουον, μόνοι δὲ οἱ Τοῦρκοι κατησχύνοντο καὶ ὡς ἄλλος Φαραὼ ἐσκληρύνοντο ἀπὸ τὴν ἀκοὴν τῶν θαυμάτων. Διὰ τοῦτο τοὺς μὲν ἄλλους τρεῖς ἐγχωρίους του ὡς μάρτυρας καὶ κήρυκας αἰσχυνόμενοι, τοὺς ἀπέλυσαν ἄσπρα, κατὰ τὴν συνήθειάν των· ὁμοίως ἀπέλυσαν μὲ μεγάλην δόσιν ἄσπρων καὶ τὸν προῤῥηθέντα ἀρχιμανδρίτην, ὁ ὁποῖος ἐσυμβούλευσε καὶ ἐδιώρθωσε τὸν Μάρτυρα καθὼς εἴπαμεν, τὸν ὁποῖον ὄχι μόνον εἶχαν φυλακισμένον, ἀλλὰ καὶ ἐφοβέριζαν μάλιστα νὰ κόψουν τὴν γλῶσσάν του. Τοὺς μὲν ἄλλους, λέγω, τοὺς ἀπέλυσαν, τὸν δὲ Μάρτυρα ἀφοῦ τὸν ἔβγαλαν ἀπὸ τὴν κοινὴν φυλακὴν, διὰ νὰ μὴ τὸν βλέπουν οἱ ἄλλοι χριστιανοὶ, ὅπου ἔμεναν φυλακισμένοι, τοῦ ἔδεσαν τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὸν ἔρριψαν

μέσα εἰς τὸν σταῦλον τῶν ἁλόγων, ἐγκαταλελειμμένον ἀπὸ κάθε ἀνθρωπίνην βοήθειαν, διὰ νὰ λάβῃ θάνατον βίαιον καὶ ἄτιμον ἀπὸ τὰ κατατρήματα τῶν ἁλόγων ὁ τοσαυμάριστος· καὶ τὰ μὲν πονηρὰ βουλεύματα τῶν Ὀθωμανῶν ἦσαν τοιαῦτα. Ὁ δὲ Θεὸς ὁποῦ ἐφύλαξεν ἀβλαβῆ τὸν προφήτην Δανιὴλ μέσα εἰς τὸν λάκκον ἀπὸ τὴν ὁρμὴν καὶ τὴν ἀγριότητα τῶν λεόντων, αὐτὸς βέβαια ἐφύλαξε καὶ τὸν Νικόλαον ἀπὸ τὴν ὁρμὴν καὶ τὰ πατήματα τῶν ἁλόγων, καὶ δὲν ἀφῆκε νὰ πάθῃ κανὲν κακόν. Ἀφ' οὗ δὲ ἐπέρασαν τρεῖς ἡμέραι, βλέπων ἕνας ἀπὸ τοὺς Ἀγαρηνοὺς, Σουρούλης ὀνομαζόμενος, ὅτι ἀκόμη ζῇ, τοῦ ἔδιδε ψωμὶ νὰ φάγῃ, καὶ αὐτὸς ἀπεκρίθη ὅτι ἦτον χορτασμένος ἀπὸ τὰ φαγητὰ ὁποῦ τοῦ ἔφερεν ἡ ἀδελφή του, (καὶ μὲ ὅλον ὁποῦ ἦτον ἡ ἀδελφή του μακρὰν κεκρυμμένη διὰ τὸν φόβον τῶν Ἀγαρηνῶν), καὶ ἐμεινε πάλιν νηστεύων, καθὼς καὶ ὅλον τὸν καιρὸν τοῦ μαρτυρίου του ὁ θειότατος, μὲ νηστείαν μεγάλην τὸν ἐπέρασε.

Τέλος πάντων, ἐπειδὴ διὰ τῶν εἰρημένων βασάνων, οὔτε ἡ γνώμη του μετερλήθη νὰ ἀρνηθῇ τὸν Χριστόν, οὔτε ἀπέθανεν, ἀγανακτήσαντες πλέον, ἐζήτησαν φετφᾶν (ἀπόφασιν) ἀπὸ τὸν Μουφτῆν διὰ νὰ φονεύσουν τάχα νομίμως τὸν δίκαιον οἱ ἀδικώτατοι καὶ παρανομώτατοι· πλὴν δὲν ἔδωκε φετφᾶν, κρίνων τὸ ἐναντίον εἰς τὴν νομοθεσίαν των, ὡσὰν ὁποῦ ἦτον ἀπερίτμητος, ἤγουν ἀσυνέτιαστος (διότι γνωστὸν ἔγινεν εἰς ὅλους ὅτι ἦτον ἀσυνέτιαστος). Αὐτοὶ ὅμως ἀδίκως καὶ ἐναντίον εἰς τοὺς νόμους των ἀπεφάσισαν τὸν κατ' αὐτοῦ θάνατον, ἀφ' οὗ διαφόρως τὸν ἐβασάνισαν, καθὼς ἐδῶ ὁ λόγος ἐφανέρωσεν, εἰς διάστημα τριάκοντα ἡμερῶν.

Τότε λοιπὸν τὸν ἔβγαλαν ἀπὸ τὴν φυλακὴν, τὸν ἔφεραν εἰς τὸ Βουνάκι, (εἰς μίαν πεδιάδα, δηλαδὴ, τῆς πόλεως) εἰς τὰ ἔξω τειχία τῆς Σούδας τοῦ Κάστρου, ὀλίγον πάρα κάτω ἀπὸ τὸ ζῦγι τοῦ νεροῦ (1), καὶ ἐπιστρέφοντες ἀπὸ τὸ Τζαμὶ ὅλοι οἱ ἀγάδες ἐφιππιοι ἐστάθησαν τριγύρω κ[illegible] ἠρώτησαν τρεῖς φορὰς ἐὰν ἤλθεν εἰς τὸν νοῦν του νὰ τουρκεύσῃ, καὶ αὐτὸς ὁ εὐλογημένος, ταλαιπωρημένος ἀπὸ τόσων ἡμερῶν νηστείαν, ἀτονισμένος ἀπὸ τόσας πολλὰς βασάνους, καὶ τὸ περισσότερον, διὰ νὰ δείξῃ ὅτι δὲν τοὺς ψηφᾷ ὁλότελα, δὲν ἀπεκρίθη μὲ λόγον τό, ὄχι, ἀλλὰ μόνον μὲ τὴν ἀνάνευσιν τῆς κεφαλῆς.

Τελευταῖον τὸν ἐγονάτισαν τρεῖς φοράς· καὶ τὴν μὲν πρώτην τοῦ ἔδωκεν ὁ δήμιος μίαν λογχευτὴν, ἤγουν ἐμπηχτὴν μαχαιριὰν εἰς τὴν ῥάχιν, ἔπειτα τὸν ἐσήκωσεν ἐπάνω καὶ πάλιν τὸν ἠρώτησαν· τὴν δὲ δευτέραν φορὰν τοῦ ἔκοψε τὸν λαιμὸν ὀλίγον τι, καὶ πάλιν τὸν ἐσήκωσε, καὶ τὸν ἠρώτησαν πάλιν ἐὰν θέλῃ νὰ τουρκεύσῃ, νὰ γλυτώσῃ τὴν ζωήν του, λέγοντές του, ὅτι καὶ αἱ πληγαί του ἰατρεύονται· τὴν τρίτην φορὰν τοῦ εἶπε νὰ γονατίσῃ· καὶ αὐτός, ἔτρεξε μὲ μεγάλην δύναμιν καὶ ὁρμὴν ἀπὸ τὴν πολλὴν ἔφεσιν καὶ ἐπιθυμίαν ὁποῦ εἶχε νὰ τελειώσῃ τὸν δρόμον τοῦ μαρτυρίου· ἔτρεξε, λέγω, καὶ κλίνας τὰ γόνατα, ἐξεφώνησε τὸ γλυκύτατον ὄνομα τῆς κυρίας Θεοτόκου, λέγων τρεῖς φοράς, «Παναγία βοήθει μοι·» καὶ τότε πλέον ὁ δήμιος τὸν ἐκτύπησε μὲ ὅλην του τὴν δύναμιν, ἀλλὰ πάλιν δὲν ἀπεκόπη ἡ πάντιμος αὐτοῦ κεφαλὴ, οὔτε μὲ μίαν, οὔτε μὲ δύο, ἕως ὁποῦ μὲ ἀπανθρωπίας καὶ σκληρότητος ὑπερβολὴν τὸν ἔπιασεν ἀπὸ τὰς τρίχας τῆς κεφαλῆς καὶ τὸν ἔσφαξεν ὡσὰν πρόβατον. Καὶ οὕτως ὁ ἔνδοξος Νικόλαος τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισται, κατὰ τὸν θεῖον Ἀπόστολον, τὴν πρὸς Χριστὸν τὸν Θεὸν πίστιν τετήρηκε, τὸν σωτήριον δρόμον τοῦ μαρτυρίου τετέλεκε καὶ τὸ στέφος τῆς ἀφθαρσίας ἔλαβε παρὰ Θεοῦ κατὰ τὸ εἰκοστὸν τρίτον ἔτος τῆς ἡλικίας του, κατὰ τοὺς χιλίους ἑπτακοσίους πενῆντα τέσσαρας χρόνους ἀπὸ Χριστοῦ, κατὰ τὴν τριακοστὴν πρώτην τοῦ Ὀκτωβρίου μηνὸς, ἐν ὥρᾳ ἕκτῃ, εἰς τὴν ὁποίαν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐσταυρώθη.

Καὶ τότε «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ» σκότος πυκνότατον ἔπεσεν εἰς ὅλην τὴν Χίον, τόσον ὁποῦ τὰ πλήθη ὁποῦ ἐπερίμεναν νὰ ἰδοῦν τὸ τέλος Τοῦρκοι Χριστιανοὶ, Φράγγοι, Ἑβραῖοι δὲν διέκριναν ὁ ἕνας τὸν ἄλλον ἀπὸ τὸ σκότος, οὐδὲ τὸν δρόμον ὁποῦ κάθε ἕνας ἀπὸ αὐτοὺς ἔμελλε νὰ περιπατήσῃ δὲν εὔρισκεν, ἀσὰν νὰ ἦτον μία σκοτεινοτάτη νύκτα τοῦ χειμῶνος. Οἱ δὲ χωρικοὶ βλέποντες ἔξαφνα τοιοῦτον παράδοξον σημεῖον, καὶ μὴν ἠξεύροντες τὴν αἰτίαν, ἔλεγον, «τοῦτο βέβαια δὲν εἶναι ἄλλο παρὰ ὀργὴ θεϊκὴ καθ' ἡμῶν·» καὶ ἔμειναν περιαδόμενον αὐτὸ τὸ σκότος ἕως τὴν σήμερον μόνον δὲ τὸ πρόσωπον τοῦ Μάρτυρος νεκρὸν—μέγα θαῦμα!—ἔλαμπεν ὡς ἄστρον λαμπρότατον μέσα εἰς τὸ σκότος ἐκεῖνο. Ἀλλὰ καὶ θεῖον φῶς ἐπεσκίαζε τὸ μαρτυρικὸν λείψανον τρεῖς νύκτας ἀκολούθως ὁποῦ τὸ ἐφύλαττον εἰς τὸν τόπον τῆς καταδίκης· οἱ δὲ πεπλανημένοι ἀγαρηνοὶ βλέποντες τὸ οὐράνιον ἐκεῖνο φῶς καὶ τὴν ἐντροπὴν μὴν ὑποφέροντες ἔλεγον, ὅτι πῦρ κατέβη ἀπὸ τὸν οὐρανὸν νὰ κατακαύσῃ τὸ σῶμά του. Ὅθεν λαβόντες ἀφορμὴν ἀπὸ τοῦτο, ἔκαψαν καὶ ἐμαύρισαν τὸ πρόσωπόν του μὲ δαδία διὰ νὰ μὴ φαίνεται εἰς ἔλεγχον καὶ κατηγορίαν των τὸ κάλλος καὶ ἡ λαμπρότης ὁποῦ εἶχεν ἐκ θείας χάριτος· καὶ οὐ μόνον μὲ τὸ οὐράνιον φῶς ἐδόξασεν ὁ Χριστὸς τὸν Μάρτυρά του, ἀλλὰ καὶ μὲ εὐωδίαν θαυμαστὴν καὶ ἄῤῥητον, ἡ ὁποία ἐγέμιζε τὸν ἀέρα ἓν ὅσῳ ἔμεινεν ἐκεῖ τὸ ἅγιον λείψανον· τινὲς δὲ ἀπὸ τοὺς φύλακας ἔκοψαν δάκτυλα καὶ ἄλλα εὐκολόκοπα μέλη καὶ τὰ ἔδωκαν εἰς μερικοὺς γνωρίμους των χριστιανούς. Ὁ δὲ νὰ πάρουν ἄσπρα, ἄλλοι δὲ πάλιν χριστιανοὶ, ἔλαβον χῶμα βρεγμένον ἀπὸ τὰ μαρτυρικὰ αἵματα. Τέλος πάντων μετὰ τρεῖς ἡμέρας ἔῤῥιψαν τὸ ἅγιον λείψανον εἰς τὴν θάλασσαν, διὰ νὰ μὴ τὸ λάβουν οἱ χριστιανοί. Ποῦ δὲ ἐφέρθη, καὶ κατήντησε δὲν ἠξεύρει κανείς. Οὕτως ἐδόξασε τὸν Θεόν, ἀδελφοὶ, ὁ Θεῖος Νικόλαος, μὲ τοὺς ὑπὲρ φύσιν ἀγῶνας τοῦ μαρτυρίου του, καὶ ὁ Θεὸς ἀντεδόξασεν αὐτὸν μὲ τὰ παράδοξα θαύματα τῆς θείας αὐτοῦ παντοδυναμίας.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν τοῦ θαυμαστοῦ τούτου Μάρτυρος, μία γυναῖκα σεμνὴ καὶ κοσμία, Σμαράγδα τὸ ὄνομά της, ἐκινδύνευεν εἰς θάνατον, ἀπὸ ἕνα δεινότατον καὶ ἀθεράπευτον πάθος, τὸ δὲ πάθος αὐτὸ τῆς συνέβη ἀπὸ τὴν ἀκόλουθον περίστασιν· υἱὸν εἶχεν αὐτὴ εἰς τὴν ξενητειὰν διατρίβοντα, ὅστις ἐπάνω εἰς τὸ ἄνθος τῆς ἡλικίας του ἀπέθανε· μαθοῦσα λοιπὸν τὴν τοιαύτην λυπηρὰν εἴδησιν τοῦ υἱοῦ της τόσον ἀμέτρως ἐλυπήθη, ὥστε ὁ ποῦ

(1) Ἐκεῖ περίπου ὅπου εἶναι σήμερον ἡ Μαρμανένια Βρύση (Μελὲκ πασά) Κ. Π.

ἔπαθεν ἕνα ἀσυνείθιστον πάθος. ἔπαυσε δηλαδὴ εἰς τὸ ἑξῆς ἡ κατὰ μῆνα φυσικὴ ῥύσις τοῦ αἱματός της, καὶ τὸ αἷμα ἐκεῖνο ὁποῦ ἐμποδίσθη ἀπὸ τοὺς φυσικοὺς πόρους, ἔστρεψε καὶ ἔβγαινεν ἀπὸ τὸ στόμα της, καὶ τόσον πολὺ ὁ ποῦ λεκάνην ἐγέμιζε, καθὼς ἡ ἰδία ἔλεγε κρίζει λοιπὸν τοὺς ἰατρούς, δοκιμάζουν ἐκεῖνοι μὲ ὅλην τὴν δύναμιν τῆς τέχνης των νὰ τὴν θεραπεύσουν, ἀλλὰ δὲν δύνανται· πρόσπιπτει εἰς τὴν χάριν τῶν θαυματουργῶν καὶ ἰαματικῶν Ἀναργύρων, προσκαλεῖ τὰ ἱερά των λείψανα, τῆς ψάλλουν ἁγιασμὸν μὲ αὐτά, ἀλλ' ὄχι, μόνον θεραπείαν εὑρίσκει, ἀλλ' οὔτε κἂν παραμικρὰν παρηγορίαν· προσκαλεῖ ἔπειτα καὶ τὴν χαριτόβρυτον κάραν τῆς ὁσίας Ματρώνης, ἀλλ' ὁ Θεὸς ὁ δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας, βουλόμενος νὰ λοξάσῃ τὸν νέον αὐτοῦ Μάρτυρα Νικόλαον (καθὼς ἔδειξαν τὰ πράγματα ὕστερον) δὲν ἠδόκησε νὰ τὴν θεραπεύσῃ οὔτε ἡ Ἁγία Ματρώνα, τὸ δὲ πάθος ἠῦξανε, καὶ θάνατον ἀπαραίτητον ἐφοβέριζε τῆς ἀθλίας γυναικὸς ἐπειδὴ λοιπὸν ἀπηλπίσθη αὐτὴ ἀπὸ κάθε λογῆς βοήθειαν, καὶ ἐπειδὴ εἰς ἐκείνας τὰς ἡμέρας ἐτελείωσε τὸν ἀγῶνα τοῦ Μαρτυρίου ὁ Θεῖος Νικόλας καὶ εἰς κάθε μέρος τὰ διηγήματα τῶν μαρτυρίων του καὶ τῶν θαυμάτων του ἐλέγοντο, καὶ ἠκούοντα, διὰ τοῦτο μὲ πολλὴν εὐλάβειαν, καὶ μεγάλην πίστιν ζητεῖ ἀπὸ τὸν Μάρτυρα τὴν ὑγείαν της, καὶ κατὰ μίμησιν τῆς Εὐαγγελικῆς αἱμορροούσης ἔλεγεν εἰς τὸν ἄνδρα της, «Ἀλεξανδρῆ (τοῦτο ἦτον τὸ ὄνομά του) κάμε ὅ,τι ἠμπορέσῃς νὰ λάβωμεν τίποτες ἀπὸ τὸ μαρτυρικὸν λείψανον τοῦ Νικολάου, καὶ ἐλπίζω, ὅτι θέλει μοῦ γένῃ ἰατρὸς θαυμάσιος» καὶ ὥ τοῦ θαύματος. ἀδελφοί, οὕτως ἔγινε διότι ἀφ' οὗ αὐτὸς ἐπεμελήθη καὶ εὗρεν ὀλίγον τι ἀπὸ τὸ λείψανον τοῦ ἁγίου καὶ τὸ ἐπροσκύνησε καὶ τὸ ἠσπάσθη ἡ ἀσθενὴς, ἔλαβε τὴν ὑγείαν της, δοξάζουσα τὸν Θεὸν, καὶ τὸν Ἅγιον.

Ταῦτα πάντα καὶ ὑμεῖς συνεγράψαμεν μὲ ὅλην τὴν ἀλήθειας, ἀπὸ τὰ σημειώματα ὁποῦ τότε παρευθὺς πολλοὶ αὐτόπται καὶ αὐτήκοοι ἔκαμαν, καὶ ἀπὸ τὴν μαρτυρίαν πολλῶν ἀξιοπίστων ἀνθρώπων, ὁποῦ καὶ αὐτοὶ αὐτόπται καὶ αὐτήκοοι ἐγένοντο τῶν πραγμάτων, καὶ μέχρι τῶν ἡμερῶν ἡμῶν ζῶσι, καὶ τὰ κηρύττουσι. Τὰ ἐσημειώσαμεν λέγω, εἰς δόξαν Θεοῦ, καὶ εἰς τιμὴν τοῦ θείου Μάρτυρος οὗ ταῖς ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλεῆσαι, καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ, ζ'. Θεοῦ συγκατάβασιν.

Προστάξει ὁ ἥλιος, Θεοῦ τοῦ κτίστου, ἑαυτοῦ φωταυγείᾳ, συνέστειλεν ἀκτῖνας, ἡνίκα ξίφει τὴν ἱερὰν κεφαλήν, οἱ δυσσεβεῖς, ἀθλοφόρε, ἀπέτεμον, τὴν σὴν λαμπρὸν καὶ σεπτήν, πάντως τιμῶν τελευτήν.

Ῥωννύμενος σθένει σου, παντοδυνάμῳ ὁ ἀθλοφόρος Χριστέ, διήνυσε τὸν δρόμον τοῦ μαρτυρίου γιγαντιαίῳ ποδί, καὶ ἐν σκηνώμασε θείοις ἐσκήνωσε, σὺν τοῖς ἀγγέλοις ζωῶν, εὐλογητὸς ὁ θεός.

Ζιὼν τὴν οὐράνιον, οἰκεῖς παμμάκαρ σὺν τοῖς μαρτύρων χοροῖς, ἐλλαμπόμενος αἴγλῃ, καὶ φωταυγείᾳ τοῦ ἀνεσπέρου φωτός, μετὰ ἀγγέλων βοῶν εὐφραινόμενος, ἐν ἀσιγήτῳ φωνῇ εὐλογητὸς ὁ Θεός.

Θεοτοκίον.

Ὡς ὄρθρος ἀνέτειλας, δικαιοσύνης ἥλιον ἔχουσα τὸν ἐκ σκότους τὸν κόσμον τῆς ἀγνωσίας ἀποκαθαίροντα, θεογνωσίας ἀκτῖσιν, ᾧ ψάλλομεν, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἄλλος ἐν τῇ καμίνῳ.

Ἐν τῇ καμίνῳ τῶν βασάνων Νικόλαε ὡς χρυσὸν, ἐδοκίμασεν ὁ Κύριος ἐν τῇ γῇ, καὶ ὡς θεῖον ὁλοκαύτωμα, σὲ προσδεξάμενος, κοινωνὸν θείας δόξης ἐποίησε.

Ἧψει τὴν κάραν, ἀπετμήθης παμμάκαρ καὶ τοῖς σεπτοῖς, δήμοις τῶν Μαρτύρων πάντων ἐν οὐρανῷ, συνεσκήνωσας Νικόλαε, εὐλογημένος εἰ τῷ Δεσπότῃ κραυγάζων γηθόμενος.

Ὡς παῤῥησίαν, σὺ κεκτημένος Νικόλαε πρὸς Θεόν, τοῖς μετ' εὐλαβείας θείας τὴν ἱεράν, ἐκτελοῦσί σου πανήγυριν, ψυχῶν τὴν κάθαρσιν, καὶ σωμάτων τὴν ἴασιν δώρησαι.

Θεοτοκίον.

Δεδοξασμένη, πεφωτισμένη Μητροπάρθενε, πάντας τοὺς τιμῶντά, σε τὴν παναληθῆ, Θεοτόκον περιφρούρησον, εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ η'. Ἐπταπλασίως κάμινον.

Πῷ θρόνῳ παριστάμενος, τῆς Τριάδος Νικόλαε, ἅμα τοῖς Μαρτύρων ἱεροῖς στρατεύμασι, τῶν ἄθλων τὰ ἔπαθλα, λαμβάνων παρ' αὐτῆς δαψιλῶς, καὶ νικητικά, ὡς ἀθλητὴς τὰ βραβεῖα, δεχόμενος τρισμάκαρ, σὺν πολλῇ εὐφροσύνῃ, ὑμνεῖς τὸ θεῖον κράτος εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὲρ ἡμῶν ἱκέτευε, ἀθλοφόρε Νικόλαε, τὸν Θεὸν τῶν ὅλων, τῶν θερμῶς τελούντων σου, τὴν μνήμην τὴν πάντιμον καὶ παναγίαν σου τελευτήν, ἔχων πρὸς αὐτόν, μαρτυρικὴν παρρησίαν, προσάγειν ἱκεσίας, καὶ πληροῦν τὰς αἰτήσεις, τῶν πίστει προστρεχόντων τῇ σκέπῃ σου τῇ θείᾳ.

Φωτοφανὴς ὡς ἥλιος, ἡ σὴ μνήμη ἀνέτειλεν, ἀθλητὰ Κυρίου, Καρυῶν τὸ βλάστημα, καὶ Χίου τὸ καύχημα, καὶ ὀρθοδόξων κλέος λαμπρόν, καὶ φωταγωγέ, πνευματικαῖς λαμπηδόσι, τοὺς πόθῳ ἐκτελοῦντας καὶ ἐν ὕμνοις τιμῶντας τοὺς ἄθλους οὓς ὑπέστης ὑπὲρ τῆς εὐσεβείας.

Θεοτοκίον.

Νύμφη Θεοῦ πανάμωμε, τοὺς πρὸς σὲ καταφεύγοντας, τῆς αἰχμαλωσίας τῶν παθῶν ἐξάρπασον, καὶ τὴν αὐτοδέσποτον ἐλευθερίαν Δέσποινα, ταῖς τῶν ὀρθοδόξων ἐκκλησίαις παράσχου, ταῖς πίστει μελῳδούσαις, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε.

Καρυῶν σὺ βλαστὸς εὐθαλέστατος, εὐτελοῦς τινος κώμης ἐβλάστησας, καὶ ἐν αὐτῇ ἐξήνθησας, ἀρδευθεὶς δι' αἱμάτων, ἐξ ὧν καλλιμάρτυς, ἄλλος φοίνιξ ἐφάνης ὑψίκομος,

Οὐχ ὡς Ἄβελ ποτὲ προσενήνοχας, εἰς θυσίαν Θεῷ ζῷα ἄλογα, σαυτὸν δὲ θῦμα ἄμωμον, Ζαχαρίου τῷ ζήλῳ, καὶ τοῦ Προδρόμου, καὶ Μαρτύρων ἁπάντων Νικόλαε.

Νῦν ἡ Χίος ἀγάλλου καὶ χόρευε, ὡς λαμπραγαρ ἐν πόλεσι πέφυκας, σὰ φῶς ἐκδισκεύουσα, Νικολάου τοὺς ἄθλους, καὶ θεῖον αἷμα, τὸ ἐνσοὶ ἐκχυθὲν ὑπὲρ πίστεως.

Θεοτοκίον.

Ὡς Θεοῦ ἀκηλίδωτον ἔσοπτρον, ὑπεδέξω αὐτὸν σωματούμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι, γνωριζόμενον Κόρη, ᾧ μελῳδοῦμεν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Χορείαις τῶν ἀγγέλων καὶ τῶν λοιπῶν, οὐρανίων ταγμάτων ἠριθμησαι. ἐν οὐρανῷ, καὶ τῶν Ἀποστόλων καὶ προφητῶν, Μαρτύρων καὶ ὁσίων τε, καὶ ἱεραρχῶν τῶν πανευκλεῶν, καὶ ἱερομαρτύρων, καὶ πάντων τῶν δικαίων, Μάρτυς Νικόλαε τρισόλβιε.

Ψυχῆς σου τὴν λαμπρότητα ἐκδηλῶν, τοῖς ἐν γῇ θεοφόρε Νικόλαε, φωτὶ τὸ σὸν, πρόσωπον ἐλάμπρυνεν ὁ Θεός, θαυματουργῶν ἐξαίσια, θαύματα καὶ τέρατα φοβερά, τὴν νῆσον πᾶσαν ζόφῳ ἐκάλυψεν ἐν ὥρᾳ, τῆς ἐκτομῆς σου παναοιδιμε.

Ὡς μέγιστον τὸ κλέος σου ἀθλητά, καὶ ἡ δόξα καὶ χάρις ἣν ἔλαβες παρὰ Θεοῦ, πᾶσαν ἐγκωμίων ὑπερβικᾷ, σύνθεσίν τε καὶ δύναμιν, λόγου εὐφυμνέου, ἀλλ' εὐμενῶς, τὸ εὐτελές μου τοῦτο, δῶρον δέξαι καὶ δός μοι, ταῖς σαῖς πρεσβείαις τὴν ἀντάμειψιν.

Θεοτοκίον.

Σωτῆρα, ὡς τεκοῦσα καὶ λυτρωτήν, σωτηρίας με κόρη ἀξίωσον, ἐπιτυχεῖν, Πάναγνε πταισμάτων μου τὰς

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΕΡΕΥΝΑΣ ΚΑΙ ΤΕΚΜΗΡΙΩΣΗΣ ΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΙΔΡΥΜΑ ΜΑΝΟΥΗΛ ΚΑΙ ΑΙΚΑΤΕΡΙΝΗΣ ΤΣΑΚΑΛΩΤΟΥ ΚΑΙ ΣΤΕΦΑΝΟΥ ΔΕΛΤΑ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ ΚΑΙ ΑΝΝΑΣ ΣΤΕΦΑΝΟΥ ΔΕΛΤΑ ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΕΘΝΙΚΟΝ ΑΣΤΕΡΟΣΚΟΠΕΙΟ ΑΘΗΝΩΝ ΙΔΡΥΜΑ ΚΟΡΔΕΛΙΟΥ ΕΥΑΓΓΕΛΙΔΗ ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΕΡΕΥΝΑΣ ΚΑΙ ΤΕΚΜΗΡΙΩΣΗΣ ΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΙΔΡΥΜΑ ΜΑΝΟΥΗΛ ΚΑΙ ΑΙΚΑΤΕΡΙΝΗΣ ΤΣΑΚΑΛΩΤΟΥ ΚΑΙ ΣΤΕΦΑΝΟΥ ΔΕΛΤΑ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ ΚΑΙ ΑΝΝΑΣ ΣΤΕΦΑΝΟΥ ΔΕΛΤΑ ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΕΘΝΙΚΟΝ ΑΣΤΕΡΟΣΚΟΠΕΙΟ ΑΘΗΝΩΝ ΙΔΡΥΜΑ ΚΟΡΔΕΛΙΟΥ ΕΥΑΓΓΕΛΙΔΗ

σειρὰς, ταῖς σαῖς πρεσβείαις λύουσα πάντα γὰρ ὡς θέλεις, νῦν κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

Ἄλλος. Λίθος ἀχειρότμητος ὄρους.

Θ'τε τῶν πολλῶν ἡ ἀγάπη, πρὸς τὸν Χριστὸν κατεψυχράνθη, τότε σὺ Νικόλαε ὤφθης, πυρὶ τοῦ θείου πόθου τε καὶ τοῦ φίλτρου, πεπυρωμένος Ἅγιε, ὅθεν ἐνήθλησας στερρότατα.

Θέρμανον κάμοῦ τὴν καρδίαν, τὴν ἀμαρτίαις ψυχρανθεῖσαν, τοῦ ἀνευφημοῦντός σε πίστει, εὐχαῖς σου θείαις, πρὸς τὸν ἔνθεον πόθον, Νικόλαε μακάριε, καὶ ἐραστὰ Χριστοῦ θερμότατε.

Τῷ μεθ' ἱερᾶς εὐλαβείας, συνταξαμένῳ σοι τοὺς ὕμνους, νίκην τῶν παθῶν μοι παράσχου, ταῖς σαῖς πρεσβείαις ἀθλοφόρε Κυρίου, καὶ Νικηφόρον ὄντα με, κλήσει, καὶ πράγματι ἀνάδειξον.

Θεοτοκίον.

Θεῖσαί μου Χριστὲ ὅταν ἔλθῃς, κρῖναι τὸν κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου, ταῖς ἱκεσίαις τῆς κυησάσης Σε, καὶ τοῦ σεπτοῦ Σου Μάρτυρος, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τοῖς αἵμασί σου τρισμάκαρ, ἡ σὴ πατρὶς πιανθεῖσα, νῆσος ἡ Χίος βοᾷ σοι, Νικόλαε νεομάρτυς, σὺ μου εἶ δόξα καὶ κλέος, καὶ πρὸς Θεὸν πρέσβυς θεῖος.

Θεοτοκίον, ὅμοιον.

Χρυσοπλοκώτατε πύργε καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Εἰς τοὺς Αἴνους στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Πρὸς ἐτησίως τὴν μνήμην σου ἑορτάζοντας, Νικόλαε τρισμάκαρ, καὶ πιστῶς εὐφημοῦντας, τοὺς ἄθλους, τοὺς ἀγῶνας, οὓς καρτερῶς, ἐναθλῶν καθυπέμεινας, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, τοῦ δι' ἡμᾶς, καθ' ἡμᾶς ἐναθρωπήσαντος.

Εἰ καὶ τοὺς πόδας ἐν ξύλῳ Μάρτυς ἠσφάλισαι καὶ ἐν εἱρκτῇ ἐβλήθης, καὶ πλακὸς βαρυτάτης, τὸν πιεσμὸν ὑπέστης, πόθῳ Χριστοῦ, γενναιόφρον Νικόλαε, ἀλλὰ τὸν δρόμον διήνυσας ἀνδρικῶς, τῆς ἀθλήσεως μακάριε.

Ἀποτμηθεὶς διὰ ξίφους πάσας διέτεμες, τὰς μηχανὰς τοῦ πλάνου. καὶ δολίου δέλεαρ, Νικόλαε θεόφρον, δι' ὃ τοὺς πιστῶς, τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι παγίδων τῶν τούτου, ταῖς πρὸς Θεόν, εὐπροσδέκτοις ἱκεσίαις σου.

Καὶ μετὰ θάνατον Μάρτυς σὲ ἐμεγάλυνεν, ὁ τῶν ἁπάντων κτίστης, τέρασι καὶ σημείοις, φωτὶ γὰρ οὐρανίῳ τὸ ἱερόν, ἐπεσκίασε λείψανον, σοῦ τὸ πολύαθλον Μάκαρ καὶ θαυμαστῆς, εὐωδίας ἐπληρώσατο.

Δόξα ἦχος πλ. δ'.

Τίς μὴ ἐκπλαγῇ, τίς μὴ εἰκότως θαυμάσῃ, τὴν θαυμαστὴν καρτερίαν, καὶ ἀνένδοτον ἔνστασιν Νικολάου τοῦ λαμπροῦ ἀθλητοῦ. Οὐδὲν γὰρ αὐτὸν τῆς τοῦ Χριστοῦ ἀγάπης χωρίσαι κατίσχυσεν· οὐ τυράννων θωπεῖαι, οὔτε μὴν ἀπειλαὶ, οὐ φυλακαὶ, καὶ βασάνων ποικιλίαι. Ἀλλὰ πάντα ὑπενεγκὼν τὰ δεινά, ἐδραῖος ἐν αὐτῇ καὶ ἀκλόνητος, μέχρι τοῦ διὰ ξίφους μακαρίου τέλους διέμεινεν. Ἀλλ' ὡς νῦν πρὸς αὐτὸν στεφηφορῶν παριστάμενος ἀθλητά, ἐκτενῶς ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα προσδέξαι.
Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τῶν κανόνων τοῦ ἁγίου ᾠδὴ γ'. καὶ ς'. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ ἁγίου Δημητρίου. Ὀκτωβρίου κς'.

Μεγαλυνάρια.

Ὡς ἀστὴρ ἐξέλαμψας φαεινὸς, ἐκ τῆς νήσου Χίου, τῶν Μαρτύρων ἡ καλλονὴ, Νικόλαε μάκαρ καὶ πάντας καταυγάζεις, τοὺς σὲ ἀνευφημοῦντας καὶ μεγαλύνοντας.

Πρόμαχος Νικόλαε τοῖς πιστῶς, τῇ σῇ θείᾳ σκέπῃ, καταφεύγουσι καὶ φρουρούς, γενοῦ καὶ προστάτης, ῥυόμενος εὐχαῖς σου, κινδύνων πολυτρόπων, ψυχῆς καὶ σώματος.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΣΤΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΦΛΑΓΟΝΟΣ
ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΚΣΤ. ΝΟΕΜΒΡΙΟΥ

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα Ἰστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. δ.

Τὶ ὑμᾶς καλέσωμεν Ἅγιοι

Τί σε νῦν σοφὲ ὀνομάσωμεν, μοναστῶν ὑπογραμμόν, καὶ ἰαμάτων αὐτουργόν, ἐγκρατείας ταῖς πληγαῖς, πάθη μαστίξαντα ψυχῆς· πολίτην τῶν Ἀγγέλων καὶ συνόμιλον, τῆς ἄνω μητροπόλεως οἰκήτορα· τῶν ἀρετῶν ἐνδιαίτημα, καὶ πνεύματος καταγώγιον· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. (Δίς).

Τί σε νῦν σοφὲ προσφθεγξώμεθα, τῆς ἐρήμου πολιστήν, καὶ ἡσυχίας ἐραστήν, τῶν παθῶν ἐκμειωτὴν καὶ μοναστῶν καθηγητήν, φωστῆρα διακρίσεως ἀκοίμητον πατέρων θεοφόρων τὸν ἰσάξιον, (1) θαυματουργὸν ἀληθέστατον, πάθη ποικίλα ἰώμενον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσωμεν Ἅγιε, ποταμὸν τῆς νοητῆς, ἐκπορευόμενον Ἐδέμ· ὀχετὸν τὸν τοῦ Θεοῦ, χορηγουμένων ἀγαθῶν, πλημμύραν τῶν θαυμάτων ἀνεξάντλητον, ἰατῆρα τῶν νηπίων ἑτοιμότατον, τῆς οἰκουμένης τὸ καύχημα, Στυλιανὲ τὸ ὑπέρλαμπρον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ ὀνομάσωμεν ἔνδοξε, γεωργὸν τῶν ἀνθρωπίνων παμμακάριστε φυτῶν, αὐξητὴν τῶν παιδαρίων τὸν παχύτατον σαφῶς, νομίμως θεοσδότων ἐμπειρότατον, δογμάτων θεοπνεύστων τὸν διδάσκαλον, καὶ παιδευτὴν ἱκανώτατον, Στυλιανὲ παμμακάριστε, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσω πανόσιε τῶν θαυμάτων τῶν μεγίστων ἀνεξάντλητον πηγήν, ὁριστὴν τῆς εὐσεβείας καὶ διδάσκαλον ἐθνῶν. Ἡλίαν τὸν προφήτην ἄλλον δεύτερον, τοῦ κόσμου τοῦ αὐχμῶντος ὕδωρ φέριστον· ἐν ὄρεσι διαιτώμενον καὶ τοῖς ἐν κόσμῳ προφθάνοντα, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος β'.

Δεῦτε πιστοί, τὸν θαυματουργὸν ὑμνῳδίαις εὐφημήσωμεν, δι' οὗ ἀπαλλαγὴν τῶν πόνων, οἱ ἐν κινδύνοις ὑπάρχοντες εὑρίσκομεν. Δεῦτε λαοί, Στυλιανὸν τὸν ἔνδοξον ἀπαύστως τιμήσωμεν· χαίροις, λέγοντες, ὁ ἐκ μήτρας ἀ-

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΜΟΥΣΕΙΟ ΓΡΗΓΟΡΙΟΣ ΠΑΠΑΣΤΑΘΗΣ

σειρὰς, ταῖς σαῖς πρεσβείαις λύουσα πάντα γὰρ ὡς θέλεις, νῦν κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

Ἄλλος. Λίθος ἀχειρότμητος ὄρους.

Θ'τε τῶν πολλῶν ἡ ἀγάπη, πρὸς τὸν Χριστὸν κατεψυχράνθη, τότε σὺ Νικόλαε ὤφθης, πυρὶ τοῦ θείου πόθου τε καὶ τοῦ φίλτρου, πεπυρωμένος Ἅγιε, ὅθεν ἐνήθλησας στερρότατα.

Θέρμανον κἀμοῦ τὴν καρδίαν, τὴν ἀμαρτίαις ψυχρανθεῖσαν, τοῦ ἀνευφημοῦντός σε πίστει, εὐχαῖς σου θείαις, πρὸς τὸν ἔνθεον πόθον, Νικόλαε μακάριε, καὶ ἐραστὰ Χριστοῦ θερμότατε.

Τῷ μεθ' ἱερᾶς εὐλαβείας, συνταξαμένῳ σοι τοὺς ὕμνους, νίκην τῶν παθῶν μοι παράσχου, ταῖς σαῖς πρεσβείαις ἀθλοφόρε Κυρίου, καὶ Νικηφόρον ὄντα με, κλήσει, καὶ πράγματι ἀνάθεικτον.

Θεοτοκίον.

Θεῖσαί μου Χριστὲ ὅταν ἔλθῃς, κρῖναι τὸν κόσμον μετὰ δόξης, λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου, ταῖς ἱκεσίαις τῆς κυησάσης Σε, καὶ τοῦ σεπτοῦ Σου Μάρτυρος, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τοῖς αἵμασί σου τρισμάκαρ, ἡ σὴ πατρὶς πιανθεῖσα, νῆσος ἡ Χίος βοᾷ σοι, Νικόλαε νεομάρτυς, σὺ μου εἶ δόξα καὶ κλέος, καὶ πρὸς Θεὸν πρέσβυς θεῖος.

Θεοτοκίον, ὅμοιον.

Χρυσοπλοκώτατε πύργε καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Εἰς τοὺς Αἴνους στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Πολὺς ἐτησίως τὴν μνήμην σου ἑορτάζοντας, Νικόλαε τρισμάκαρ, καὶ πιστῶς εὐφημοῦντας, τοὺς ἄθλους, τοὺς ἀγῶνας, οὓς καρτερῶς, ἐναθλῶν καθυπέμεινας, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης, τοῦ δι' ἡμᾶς, καθ' ἡμᾶς ἐναθρωπήσαντος.

Εἰ καὶ τοὺς πόδας ἐν ξύλῳ Μάρτυς ἠσφάλισαι καὶ ἐν εἱρκτῇ ἐβλήθης, καὶ πλακὸς βαρυτάτης, τὸν πιεσμὸν ὑπέστης, πόθῳ Χριστοῦ, γενναιόφρον Νικόλαε, ἀλλὰ τὸν δρόμον διήνυσας ἀνδρικῶς, τῆς ἀθλήσεως μακάριε.

Ἀποτμηθεὶς διὰ ξίφους πάσας διέτεμες, τὰς μηχανὰς τοῦ πλάνου. καὶ δολίου βελίαρ, Νικόλαε θεόφρον, δι' ὃ τοὺς πιστῶς, τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι παγίδων τῶν τούτου ταῖς πρὸς Θεόν, εὐπροσδέκτοις ἱκεσίαις σου.

Καὶ μετὰ θάνατον Μάρτυς σὲ ἐμεγάλυνεν, ὁ τῶν ἁπάντων κτίστης, τέρασι καὶ σημείοις, φωτὶ γὰρ οὐρανίῳ τὸ ἱερόν, ἐπεσκίασε λείψανον, σοῦ τὸ πολύαθλον Μάκαρ καὶ θαυμαστῆς, εὐωδίας ἐπληρώσατο.

Δόξα ἦχος πλ. δ'.

Τίς μὴ ἐκπλαγῇ, τίς μὴ εἰκότως θαυμάσῃ, τὴν θαυμαστὴν καρτερίαν, καὶ ἀνένδοτον ἔνστασιν Νικολάου τοῦ λαμπροῦ ἀθλητοῦ. Οὐδὲν γὰρ αὐτὸν τῆς τοῦ Χριστοῦ ἀγάπης χωρίσαι κατίσχυσεν· οὐ τυράννων θωπεῖαι, οὔτε μὴν ἀπειλαὶ, οὐ φυλακαὶ, καὶ βασάνων ποικιλίαι. Ἀλλὰ πάντα ὑπενεγκὼν τὰ δεινὰ, ἑδραῖος ἐν αὐτῇ καὶ ἀκλόνητος, μέχρι τοῦ διὰ ξίφους μακαρίου τέλους διέμεινεν. Ἀλλ' ὡς νῦν πρὸς αὐτὸν στεφηφορῶν παριστάμενος ἀθλητά, ἐκτενῶς ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα προσδέξαι.
Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τῶν κανόνων τοῦ ἁγίου φδὴ γ'. καὶ ς'. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ ἁγίου Δημητρίου. Ὀκτωβρίου κς'.

Μεγαλυνάρια.

Ὡς ἀστὴρ ἐξέλαμψας φαεινὸς, ἐκ τῆς νήσου Χίου, τῶν Μαρτύρων ἡ καλλονὴ, Νικόλαε μάκαρ καὶ πάντας καταυγάζεις, τοὺς σὲ ἀνευφημοῦντας καὶ μεγαλύνοντας.

Πρόμαχος Νικόλαε τοῖς πιστῶς, τῇ σῇ θείᾳ σκέπῃ, καταφεύγουσι καὶ φρουρὸς, γενοῦ καὶ προστάτης, ῥυόμενος εὐχαῖς σου, κινδύνων πολυτρόπων, ψυχῆς καὶ σώματος.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΣΤΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΦΛΑΓΟΝΟΣ
ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΚΣΤ· ΝΟΕΜΒΡΙΟΥ

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα Ἰστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. δ.

Τὶ ὑμᾶς καλέσωμεν Ἅγιοι

Τί σε νῦν σοφὲ ὀνομάσωμεν, μοναστῶν ὑπογραμμόν, καὶ ἰαμάτων αὐτουργόν, ἐγκρατείας ταῖς πληγαῖς, πάθη μαστέξαντα ψυχῆς· πολίτην τῶν Ἀγγέλων καὶ συνόμιλον, τῆς ἄνω μητροπόλεως οἰκήτορα· τῶν ἀρετῶν ἐνδιαίτημα, καὶ πνεύματος καταγώγιον· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. (Δίς).

Τί σε νῦν σοφὲ προσφθεγξώμεθα, τῆς ἐρήμου πολιστήν, καὶ ἡσυχίας ἐραστήν, τῶν παθῶν ἐκμειωτὴν καὶ μοναστῶν καθηγητήν, φωστῆρα διακρίσεως ἀκοίμητον πατέρων θεοφόρων τὸν ἰσάξιον, (1) θαυματουργὸν ἀληθέστατον, πάθη ποικίλα ἰώμενον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσωμεν Ἅγιε, ποταμὸν τῆς νοητῆς, ἐκπορευόμενον Ἐδέμ· ὀχετὸν τὸν τοῦ Θεοῦ, χορηγουμένων ἀγαθῶν, πλημμύραν τῶν θαυμάτων ἀνεξάντλητον, ἰατῆρα τῶν νηπίων ἑτοιμότατον, τῆς οἰκουμένης τὸ καύχημα, Στυλιανὲ τὸ ὑπέρλαμπρον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σὲ ὀνομάσωμεν ἔνδοξε, γεωργὸν τῶν ἀνθρωπίνων παμμακάριστε φυτῶν, αὐξητὴν τῶν παιδαρίων τὸν παχύτατον σαφῶς, νομίμως θεοσδότων ἐμπερότατον, δογμάτων θεοπνεύστων τὸν διδάσκαλον, καὶ παιδευτὴν ἱκανώτατον, Στυλιανὲ παμμακάριστε, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσω πανόσιε τῶν θαυμάτων τῶν μεγίστων ἀνεξάντλητον πηγήν, ὁριστὴν τῆς εὐσεβείας καὶ διδάσκαλον ἐθνῶν. Ἡλίαν τὸν προφήτην ἄλλον δεύτερον, τοῦ κόσμου τοῦ αὐχμῶντος ὕδωρ φέριστον· ἐν ὄρεσι διαιτώμενον καὶ τοῖς ἐν κόσμῳ προφθάνοντα, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος Β'.

Δεῦτε πιστοί, τὸν θαυματουργὸν ὑμνῳδίαις εὐφημήσωμεν, δι' οὗ ἀπαλλαγὴν τῶν πόνων, οἱ ἐν κινδύνοις ὑπάρχοντες εὑρίσκομεν. Δεῦτε λαοί, Στυλιανὸν τὸν ἔνδοξον ἀπαύστως τιμήσωμεν· χαίροις, λέγοντες, ὁ ἐκ μήτρας ἀ-

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣ

γιασθείς, καὶ τῶν σῶν γεννητόρων τὴν ἀτεκνίαν λύσας, ὡς Σαμουὴλ καὶ Ἱερεμίας· χαίροις, ὁ στερρὸς τῆς ἀσκήσεως φερώνυμος στύλος· χαίροις, τοῦ Πανα-γίου Πνεύματος καθαρὸν οἰκητήριον· χαίροις ὁ τῆς ἐρήμου οἰκιστής, καὶ ὑπὸ θείου Ἀγγέλου τρεφόμενος· χαίροις, ὁ τῶν ἀνιάτων παθῶν ἰατὴρ ὁ ταχύτατος· καὶ τῶν πονηρῶν πνευμάτων διώκτης ἑτοιμότατος, τῶν δὲ νεογνῶν παίδων ὁ φύλαξ σωτήριος· τοὺς προσκυνοῦντας οὖν εἰκόνα σου τὴν ἁγίαν καὶ σὲ ἑορτάζοντας πρόφθασον καὶ κινδύνων ἐξάρπασον, πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον. Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου. Ἀναγνώσματα ζήτει εἰς τοὺς ὁσίους Νικήταν, Ἰωάννην καὶ Ἰωσήφ.

Εἰς τὴν Αἰτήν· ἦχος Α΄.

Ὁ φωστὴρ ἀσκητῶν Στυλιανὸς σήμερον, τῶν μοναστῶν ταῖς χορείαις πνευματικῶς συγκαλεῖται, ὁμοφώνως ἀναμέλψας σὺν ἀγγέλοις Θεῷ ὑμνῳδίαν τὴν τρισάγιον. Ἴδε γὰρ Ἄγγελος σαρκοφόρος διαπρέψας, ἐν ἀσκήματι καὶ βίῳ Ἀγγελικῷ, τοὺς μὲν ἔχει πανηγυρίζοντας, ὡς αὐτῶν ὑποτύπωσις, τοὺς δὲ συνευφραινομένους, ἐν τῇ μνήμῃ αὐτοῦ, ὡς τούτων ὁμόσκηνος· διὸ καὶ ἡμεῖς ἑορτάζοντες αὐτὸν ἐτησίως εὐφημήσωμεν, ὡς πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Ἦχος Β΄.

Θ"σιε πάτερ ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον τοῦ Ἁγίου Πνεύματος, καὶ παρ' αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, θεραπεύεις τὴν τῶν παίδων πικρὰν ἀσθένειαν, καὶ διασώζεις ἅπαντας τοὺς προστρέχοντας ἐν τῷ σεπτῷ θείῳ ναῷ σου, καὶ τιμῶντας τὴν σεβάσμιον μνήμην σου ἀπὸ πάσης ἀνάγκης, πρεσβεύων πρὸς Κύριον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος Γ΄.

Στυλιανὲ ὅσιε στερρότατης ἀσκήσεως, τὴν μυστικὴν καὶ ἔμψυχον διατριβήν, ὡς ἐν αὐλοις ἀναπαυόμενος ἐτέλεσας· τοῖς ἐρημικωτέροις γὰρ συνάψας σεαυτὸν πνευματικῶς, τῶν ἰαμάτων τὰς ἐνεργείας πλουσίως ἀπέλαβες· διὸ ἡμᾶς τοὺς σὲ δοξολογοῦντας πρόφθασον, ἐξελοῦ ἡμᾶς πάσης καταιγίδος τῶν παθῶν, καὶ Χριστῷ τῷ Θεῷ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα Ἦχος Α΄.

Ἐ"λαμψαν τὰ καλά σου ἔργα, ὡς ἥλιος ἐπὶ τῆς γῆς καὶ ἐν οὐρανῷ, Χριστοῦ θεράπων Στυλιανέ, ἑτοίμως γὰρ ἡμᾶς προφθάνεις τοῖς θαύμασι, ῥυόμενος τῶν συνεχόντων κακῶν· διὸ ἱκέτευε, ὅσιε Πάτερ, ἐν τῇ μνήμῃ σου Θεοφόρε, ὁ τῶν νηπίων φύλαξ σωτήριος, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων
Εἰς τὰ Ἀπόστιχα. Ἦχος Α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ἀ πὸ μητρώων σπαργάνων ἀφιερωθεὶς τῷ Θεῷ, ἀκτῖνας τῶν θαυμάτων, ἀνεδέξω πλουσίως, ἐκ πνεύματος ἁγίου ὅθεν πιστῶς, ἀνυμνοῦντες αἰτούμεν σε, τοῦ καταπέμψαι ἀφθόνως Στυλιανέ, τὴν σὴν χάριν τὴν σωτήριον.

Στίχ. Τέλειος ἐναντίον Κυρίου.

Πᾶς οὐρανίους σκηνώσεις ἐν εὐφροσύνῃ οἰκῶν καὶ σὺν Ἀγγέλοις πᾶσι τῷ θρόνῳ τοῦ Κυρίου, παριστάμενος πάτερ Στυλιανέ, τοῖς τελοῦσι τὴν μνήμην σου, τῶν νοσημάτων τὴν λύσιν καὶ τῶν κακῶν, δωρηθῆναι καθικέτευε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Θ εοφεγγῆ σε φωστῆρα Πάτερ ἐπέγνωμεν, ταῖς νοηταῖς ἀκτῖσι, καταυγάζοντα κόσμον, καὶ σκότος ἐκμειοῦντα

τῆς πονηρᾶς, ἀσθενείας καὶ ὀλίψεως, Στυλιανὲ τὴν σὴν μνήμην, ὅθεν πιστῶς, ἑορτάζομεν τιμῶντές σε.

Δόξα ἦχος πλ. Β΄.

Θ"σιε πάτερ θαυματουργὲ Στυλιανέ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παρρησίαν οὖν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Ἀπολυτίκιον. Τῆς ἐρήμου πολίτης.
Καὶ νῦν. Τοῦ Γαβριήλ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Καθίσματα Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Πόν βίον εὐσεβῶς, ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρόν, αὐτοῦ Πνεύματος ὤφθης, φωτίζων τοὺς πίστει σοι, προσιόντας μακάριε, ὅθεν αἴτησαι τὸν σὲ Δεσπότην φωτίσαι, τὰς ψυχὰς ἡμῶν, τῶν ἀνυμνούντων σε πόθῳ, Στυλιανὲ πατὴρ ἡμῶν.

Δόξα καὶ νῦν. Μαρία τὸ σεπτόν.
Μετὰ τὴν Β΄. στιχολογίαν. Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Πᾶς φρονητίδας τοῦ βίου ἀπαρνησάμενος, καὶ Ἀγγέλων τὸν βίον ἀναλαβόμενος, ἐγκρατείᾳ τὴν ψυχὴν κατελάμπρυνας καὶ θαυμάτων ἐκ Θεοῦ, χάριν ἐδέξω δαψιλῶς, Στυλιανὲ Θεοφόρε, ὑπὲρ ἡμῶν ἱκετεύων τῶν εὐσεβῶς ἀνευφημούντων σε.

Δόξα καὶ νῦν Χαῖρε ἅγιον ὄρος.
Μετὰ τὸν πολυέλεον. Κάθισμα. Ἦχος δ΄.
Ἐπεφάνης σήμερον.

Ποῦ ὁσίου ἔλαμψεν ἡ θεία μνήμη, συγκαλεῖ γὰρ ἅπαντας, τοὺς εὐσεβῶς προσιόντας, Στυλιανὸς ὁ πατὴρ ἡμῶν ποιμὴν ὁ μέγας καὶ θαυμαστὸς ἀσκητής.

Δόξα καὶ νῦν Θεοτοκίον.

Η" θερμὴ ἀντίληψις τῶν ἐν ἀνάγκαις, σὺ ὑπάρχεις Δέσποινα, εὐλογημένη Μαριάμ· διὸ τοὺς δούλους σου φύλαττε, ἀπὸ παντοίων κινδύνων καὶ θλίψεων.

Τὸ Α΄. ἀντίφωνον τοῦ Δ΄ Ἦχου. Προκείμεν. Τέλειος ἐναντίον Κυρίου. Εὐαγγέλιον τοῦ ὁσίου Ἀντωνίου. Μετὰ τὸν Ν΄. Δόξα ταῖς τοῦ σοῦ ὁσίου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος Β΄.

Ὁ μόνος ἐν Ἁγίοις ἀναπαυόμενος Θεός, τὴν ἡγιασμένην σου ψυχὴν καθαρὸν εὑρὼν καταψύξιν, ἐν αὐτῇ κατῴκησε καὶ θείων χαρίτων αὐτὴν ἐνέπλησε· δι' ὧν φωταγωγεῖς τοὺς ὑμνοῦντάς σε, Στυλιανὲ μακάριε.

Κανὼν τοῦ Ἁγίου
ὨΙδὴ Α΄. Ἦχος Δ΄. Ἀνοίξω τὸ στόμα μου.

Πῶ φέγγει τῆς χάριτος καταυγαζόμενος ὅσιε, τοὺς πίστει τὴν μνήμην σου πανηγυρίζοντας, φωταγώγησον καὶ σκότους ἁμαρτίας, σῶσον ταῖς πρεσβείαις σου καὶ ἀπολύτρωσαι.

Ὃ δὸν τὴν εἰσάγουσαν, ἀνεπιστρέπτως διώδευσας, πρὸς πόλιν οὐράνιον μακαριώτατε· τὸ γὰρ Ἅγιον, ὠδήγησέ σε Πνεῦμα, ἐπαναπαυόμενον ἐν τῇ καρδίᾳ σου.

Ὑ"ψοῦσαν ταπείνωσιν, Στυλιανὲ Πάτερ ἔσχηκας, διὸ ὃ σου δεόμεθα, οἰκτειρον Ἅγιε, τὴν ταπείνωσιν ἡμῶν καὶ τὰς ὀδύνας, εἰς κοῦφον ἀπέργασαι τῶν καρδιῶν ἡμῶν.

Θεοτοκίον.

Πεσόντων ἀνάκλησις καὶ ἱσταμένων βεβαίωσις, ὑπάρχεις παναμωμε, ὅθεν σου δέομαι, πεπτωκότα μου, τὸν

ΕΘΝΙΚΟ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΠΙΜΕΛΗΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗΣ

νοῦν τῇ ἁμαρτίᾳ, ἀνόρθωσον Δέσποινα ὅπως δοξάζω σε.

Ὠ Γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ῥεόντων τὰ μέλλοντα ἠλλάξω, ἐμφρόνως τὸν σὸν ἀναλαβών, Σταυρὸν μακαριώτατε, τὰ πάθη νικήσας σου καὶ ἐν ἁβάτοις ὄρεσιν, ὑποχωρῶν διετέλεσας.

Ὁδὸν σοι τὴν λίαν ποθουμένην, πατέρων ὑπέδειξας σοφέ, ἣν εὗρες χρόνοις πλείοσι, ἐγκεκρυμμένην ὄρεσιν, προφητικῷ χαρίσματι, λελαμπρυσμένος πανόλβιε.

Δονούμενοι πάθεσι ποικίλοις, ἐν πίστει προστρέχομεν τῇ σῇ, σκέπῃ, μακαριώτατε, πρεσβείαις σου πάντας ἡμᾶς, ἐπίσκεψαι μακάριε, ἐκδυσωπῶν τὸν φιλάνθρωπον.

Θεοτοκίον.

Ῥανίσιν ἐλέους σου Παρθένε, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν ἁμαρτημάτων πάναγνε, καὶ ἐσβεσμένον ἄναψον τὸν λύχνον τῆς καρδίας μου, χρυσῇ λυχνίᾳ τοῦ Πνεύματος.

Κάθισμα. Ἦχος πλ. Δ'. Τὴν σοφίαν καὶ λόγον.

Τὴν Σταυρὸν τοῦ Κυρίου ἄρας σοφέ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νοῦν οὐκ ὑπέστρεψας ἐν τῷ κόσμῳ θεόσοφε, ἐγκρατείᾳ καὶ πόνοις τὰ πάθη ἐνέκρωσας, καὶ ναὸν ἡτοίμασας σαυτὸν τῷ κυρίῳ σου, ὅθεν χαρισμάτων ἀμοιβὰς ἐκομίσω, ἰᾶσθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα, Στυλιανὲ μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν Θεοτοκίον. Τὴν οὐράνιον πόλην

Ὠδὴ Δ'. Τὴν ἀνεξιχνίαστον.

Ὄρη ὑψηλότατα καταλαβών, κορυφὰς δαιμόνων ὑψούμενος ἐν ταπεινώσει, ἐταπείνωσας σοφέ, καὶ κατ' αὐτῶν ἠρίστευσας, κλέος ἀσκητῶν καὶ ἐδραίωμα.

Μάχαιραν ὡς δίστομον, τὸν τοῦ Χριστοῦ φόβον ὡπλισάμενος, δράκοντα τὸν ἀποστάτην καταβάλλεις νοητῶς, καὶ λίσθητῶς μακάριε, φύλαξ παιδαρίων ταχύτατος.

Ὅλος θείῳ Πνεύματι πυρακτωθείς, Πάτερ τὰ δεινὰ ἐκαρτέρησας, ἔτσι πλείστοις ταῖς ἐρήμοις προσχωρῶν καὶ ἐκζητῶν τὸν Κύριον, χάριτί σε θεία συνθάπτοντα.

Θεοτοκίον.

Σὲ τὸ ἱλαστήριον πάντων βροτῶν πίστει ἱκετεύω καὶ δέομαι, εὐλογημένη ἵλεόν μοι τὸν κριτὴν τὸν σὸν Υἱὸν ἀπέργασαι ὅπως κατὰ χρέος δοξάζω σε.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ἐβάδισας Ὅσιε, στενὴν καὶ τεθλιμμένην ὁδόν, θείαις ἀναβάσεσι καρδίας, καὶ θεωρίαις ἐμπλατυνόμενος, καὶ θέσει θεούμενος σαφῶς, πόλιν τὴν οὐράνιον, κατοικῶν Πάτερ ὅσιε.

Πὸ ὄμμα καθάραντι, τῆς διανοίας ὅσιε, χάριτι ἐδόθη προφητείας, ὡς ἐνεστῶτα λέγειν τὰ μέλλοντα, βλέποντα τὰ πόρρω ὡς ἐγγύς, Στυλιανὲ μακάριε, τῇ τοῦ πνεύματος χάριτι.

Ὁδύνης με λύτρωσαι, ἁμαρτιῶν καὶ θλίψεων, παῦσον τῆς καρδίας μου τὸν πόνον, καὶ τῶν πταισμάτων τὴν λύσιν βράβευσον, τὸν ἀγαθοδότην καὶ Θεόν, ἔχων ὑπακούοντα, Στυλιανὲ μακάριε.

Θεοτοκίον.

Νοός μου θεράπευσον, τὰς ἐκτροπὰς πανάχραντε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ῥαθυμίας σκότος ἀπέλασον, ὅπως ἐν αἰνέσει σε ὑμνῶ τὴν ἀειμακάριστον, Θεοτόκε πανύμνητε.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Μαράνας πάθη τοῦ σώματος, ὡς δένδρον καθωράθης ὑψούμενον, καρποὺς τὰ θαύματα, καὶ τὰ σεπτά σου διδάγματα, ἱερωτάτως φέρων Στυλιανὲ ὅσιε. (Δίς).

Μυρίοις πόνοις ὠμίλησας, τὸ σῶμα ἀσθενῶς διακείμενος, πάτερ πανόλβιε, ὅθεν ἐν πίστει κράζομεν, τὰς ἀλγηδόνας παῦσον ἡμῶν τῶν δούλων σου.

Θεοτοκίον.

Μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι καὶ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένα ἐμβίβασον, τῆς σωτηρίας Κόρη Θεοχαρίτωτε.

Κοντάκιον Ἦχος Δ'. Ἐπεφάνη σήμερον.

Ἐν τῇ μνήμῃ σήμερον τῇ ἱερᾷ σου, συνελθόντες ἅπαντες, ἐκδυσωποῦμεν οἱ πιστοί, Στυλιανὲ ὁσιώτατε, παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

Ὁ Οἶκος.

Ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης διεξῆλθεν ὁ φθόγγος τῶν τερπνῶν ἀρετῶν καὶ ἐνθέων ἀγώνων σου, ὅσιε Πάτερ· νέος γὰρ ὑπάρχων τῇ ἡλικίᾳ ἐν ἐρήμοις συνδιαιτᾶσθαι ἐπόθησας· ὕμνους τῷ Χριστῷ, ψαλμῳδίας τε καὶ εὐχὰς ἀναπέμπων, ἀεὶ ἡμέρας τε καὶ νυκτός, συναυξάνων ἓν τε πόνοις καὶ διακρίσει, ἀγνῶς τὸν βίον ἐκτελέσας· ὅθεν καὶ ἰαμάτων γέγονας πηγή, καὶ τῶν παίδων φύλαξ ἀκοίμητος· διὸ ἱκέτευε, σοῦ δεόμεθα παρὰ Κυρίου εὑρεῖν ἡμᾶς ἔλεος.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ ΚΣΤ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΣΤΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΦΛΑΓΟΝΟΣ

Σ'. Ἀσκήσεως πέπτωκεν ὁ στεῤῥὸς στύλος,
Στυλιανὸς γὰρ τὸν βίον κατεστράφη.

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Στυλιανὸς ἐγεννήθη εἰς τὴν Παφλαγονίαν, ἡγιάσθη δέ, ὡς ἄλλος Σαμουήλ, ἀπὸ τὴν κοιλίαν τῆς μητρός του καὶ ἔγεινε κατοικητήριον τοῦ Ἁγίου Πνεύματος· σκορπίσας τὸν πλοῦτον, ὃν εἶχεν ἀπὸ τοὺς γονεῖς του εἰς τοὺς πτωχούς, ἔγεινε μοναχὸς καὶ ὑπερέβαλεν ὅλους τοὺς μοναχούς, καὶ κατὰ τὴν σκληραγωγίαν καὶ κατὰ τὴν ἐπίπονον ἄσκησιν· ἔπειτα ἀναχωρήσας, ἐπῆγεν εἰς τὴν ἔρημον, καὶ ἐμβῆκεν εἰς ἕνα σπήλαιον, ἐκεῖ δὲ κλεισθείς, κατέβαλε πᾶσαν ἄσκησιν, καὶ σκληραγωγίαν, δοξολογῶν μὲ ὕμνους καὶ δοξολογίας τὸν τρισυπόστατον Θεόν· τῆς σαρκὸς τὰς ἐμπαθεῖς ὀρέξεις ἐχαλιναγώγει, καὶ κατεδάμαζε μὲ παντελῆ νηστείαν. Δὲν ἐφαντάζετο ἄλλο ἐκείνη ἡ τρισόλβιος ψυχή, παρὰ μόνον τὸ ἀσύγκριτον κάλλος τῆς τρισηλίου Θεότητος· καὶ τόσον ἐλέπτυνε τὴν ψυχήν του ἐν ταῖς νοεραῖς θεωρίαις, ὥστε, σχεδὸν εἰπεῖν, ἔγεινεν ὅλος οὐράνιος· ἐκεῖ δὲ εἰς τὸ σπήλαιον εὑρισκόμενος ἠξιώθη καὶ παρὰ θείου Ἀγγέλου λαμβάνειν τροφήν· ἔγεινε δὲ ὁ ἰατρὸς διαφόρων ἀνιάτων παθῶν. Πολιτευσάμενος λοιπὸν μὲ τοιοῦτον ἰσάγγελον βίον, ἦλθεν εἰς καιρὸν νὰ μετεμψυτευθῇ εἰς τὴν γῆν τῶν πραέων, εἰς ἣν ἐπόθει, καὶ προγινώσκων τὴν ὥραν τῆς τελευτῆς του, δοξολογήσας, ἀπῆλθε πρὸς Κύριον, λάμψαντος τοῦ προσώπου αὐτοῦ ὡς ὁ ἥλιος· διὸ καὶ παραυτίκα χοροὶ Ἀγγέλων τὴν παναγίαν αὐτοῦ ψυχὴν παρέλαβον. Ἔγεινε δὲ ἰατρός, ὄχι μόνον ὅταν ὡς Ἄγγελος ἔζη ἐν τούτῳ τῷ κόσμῳ, διαφόρων ἀνιάτων παθῶν, ἀλλὰ καὶ μετὰ θάνατον· διότι ὅταν ἠκολούθει θανατηφόρος ἀσθένεια εἰς τὰ νήπια, καὶ ἀπέθνησκον ταῦτα καὶ ἔμενον ἄτεκνοι οἱ γονεῖς των, τότε, ὅσοι γονεῖς ἐπεκαλοῦντο ἐκ πίστεως τὸ πανάγιον ὄνομα τοῦ Ἁγίου Στυλιανοῦ, καὶ ἐζωγράφιζον τὴν πανσέβαστον καὶ ἁγίαν αὐτοῦ εἰκόνα, ὄχι μόνον ἐκεῖνοι ἠξιώνοντο νὰ κάμωσιν ἄλλα τέκνα, ἀλλὰ καὶ τὰ ἀσθενοῦντα νήπια ἐλυτρώνοντο ἀπὸ τὴν ἀσθένειαν· καὶ μέχρι σήμερον, ὅσοι τὸν ἐπικαλεσθοῦν ἐξ ὅλης ψυχῆς καὶ καρδίας, λαμβάνουν τὴν ἴασιν. Οὗ ταῖς πρεσβείαις ἀξιωθείημεν καὶ ἡμεῖς γενέσθαι μέτοχοι τῆς οὐρανῶν βασιλείας· ἧς γένοιτο ἐν Χριστῷ Ἰησοῦ τυχεῖν. Ἀμήν.

ΕΛΛΗΝΙΚΟΝ ΙΔΡΥΜΑ ΠΟΛΙΤΙΣΜΟΥ ΜΙΧΑΗΛ ΝΤΟΡΗΣ ΠΑΠΑΓΕΩΡΓΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΚΟΙΝΟΥ

Ὠδὴ Ζ΄. Οὐκ ἐλάτρευσαν.

Τὴν καρδίαν τῆς Τριάδος οἰκητήριον ἀπεργασάμενος, ὅθεν ἡ θεία σοφός, τῶν σεπτῶν λειψάνων σου μακαριώτατε, μύρα ἐκβλύζει ἀεὶ προχεόμενα, εἰς φωτισμὸν καὶ κάθαρσιν τῶν σεπτῶς σοι προσιόντων.

Ἡ ψυχή σου θείου πνεύματος ἐλλαμπομένη, ἀεὶ ψυχῶν ἑώρα πιστῶς, τῶν προσερχομένων σοι θαυμασιώτατε, τὰ βουλεύματα, προφητικαῖς προγνώσεσι, ἱερῶς θαυμαζομένη.

Θεοτοκίον.

Ἀναλλοίωτον τεκοῦσα μόνη Κύριον, Θεοχαρίτωτε, τῇ δεξιᾷ τῇ αὐτοῦ, ἁγνὴ ἀλλοιώσας μου τὸν νοῦν, ἱκέτευε, πρὸς τὰ κρείττονα δεινῶς περιτρεπόμενον, ταῖς τοῦ βίου ἀσχολίαις.

Ὠδὴ Η΄. Παῖδας εὐαγεῖς.

Ἱστάμενος ἄνω πρὸς τὸ ὄρος, ὡς ἐπὶ λυχνίας Πάτερ ὅσιε, πάντων τὰ νοήματα, πίστει καταφώτιζε, ὑποδεικνύων ἄριστα μακαριώτατε, τὴν τρίβον τῆς ζωῆς καὶ ἀνάγων, τούτους θείῳ λόγῳ πρὸς ὕψος ἀπαθείᾳ.

Νοῒ ἀπαθείᾳ καθαρθέντι, ὡμίλεις Κυρίῳ Παντοκράτορι, ὑφ' οὗ τὰ ἀπόρρητα ὅσιε μυούμενος, Στυλιανὲ προέλεγες εἰς σωτηρίαν ψυχῶν, ὡς μέγιστος παμμάκαρ προφήτης, ὅθεν σὲ συμφώνως παμμάκαρ εὐφημοῦμεν.

Θεοτοκίον.

Ὑράθης Ἀγγέλων ὑπερτέρα, Θεὸν ἀπορρήτως σωματώσασα, τοῦτον οὖν ἱκέτευε, Δέσποινα Πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον παθῶν γενέσθαι με, νοὸς ἐνύψηλῇ ταπεινώσει, ἀνυμνολογοῦντα τὴν σὴν μεγίστην χάριν.

Ὠδὴ Θ΄. Ἅπας γηγενής.

Σοῦ τὸ ἱερόν, καὶ ἅγιον λείψανον ἐν τάφῳ κείμενον, θάπτει τὰ νοσήματα, καὶ φλέγει στίφος, δαιμόνων πάντοτε. Στυλιανὲ μακάριε, τῇ θείᾳ χάριτι, ἀναβλύζον, πᾶσι τὰ ἰάματα, τοῖς πιστῶς σε ἀεὶ μακαρίζουσι.

Ὥσπερ οὐρανῶν, τὰ ὄρη καὶ σπήλαια ᾤκησας, ὅσιε, ὅθεν εἰρήνευσαν ἀγριοι θῆρες καθυποτάξαντι, πάθη σαρκὸς δεισκάθεκτα μακαριώτατε, καὶ δικαίῳ, ἤδη χρηματίσαντι, διὰ τοῦτο πίστει σὲ γεραίρομεν.

Θεοτοκίον.

Φώτισον ἁγνή, ψυχῆς μου τὰ ὄμματα, φῶς ἡ κυήσασα, μὴ καταλαβέτω μοι, τῆς ἁμαρτίας σκότος βαθύτατον, μηδὲ βυθὸς καλύψειμε τῆς ἀπογνώσεως, ἀλλ' αὐτή με, σῶσον καὶ κυβέρνησον, πρὸς λιμένα τοῦ θείου θελήματος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐκ μήτρας καθηγίασε Θεός σε Πάτερ ὅσιε, Ἱερεμίαν ὡς πάλαι, καὶ Σαμουὴλ Θεοφόρε, προφήτην θεῖον δείξας σε Στυλιανὲ μακάριε, τῶν Ἀγγέλων ὁμόσκηνε, μεθ' ὧν μνημόνευε πάντων, τῶν σὲ σεπτῶς ἀνυμνούντων.

Θεοτοκίον.

Ἐν δύο ταῖς θελήσεσι, καὶ φύσεσι παναμωμε, μιᾷ δὲ τῇ ὑποστάσει τέκτεις Θεὸν ἀπορρήτως, τὸν δι' ἡμᾶς πτωχεύσαντα, μέχρι Θεοῦ θελήματι, καὶ ἡμᾶν χαρισάμενον, τὸν τῆς θεότητος πλοῦτον Θεοκυήτορ Παρθένε.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄.
Ἦχος Β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Πάντες τὸν θαυμαστόν, τιμήσωμεν ἐν ὕμνοις, Στυλιανὸν τὸν θεῖον πρεσβεύοντα Κυρίῳ, ὑπὲρ τῶν ἀνυμνούντων αὐτόν.

Πόν ὅσιον πιστοί, θαυματουργὸν Κυρίου, Στυλιανὸν τὸν μέγαν, Ἀγγέλων συνοδίτην, πιστῶς ἀνευφημήσωμεν.

Ἔχου νῦν παρ' ἡμῶν, δεήσεις θεορρῆμον, καὶ ταύτας ἐν Κυρίῳ, προσάγαγε προθύμως, καὶ σῶσον τοὺς ὑμνοῦντάς σε.

Παῖδας τῶν ὑμνωδῶν, καὶ σὲ τιμώντων πόθῳ, διάσωζε κινδύνων, φυλάττων ἀσθενείας, Στυλιανὲ μακάριε.

Δόξα. Ἦχος πλ. Δ΄.

Μῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητὴν σε τιμῶμεν, Στυλιανὲ πατὴρ ἡμῶν· διὰ γὰρ σοῦ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορευέσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θραμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, ὁσίων συμμέτοχε καὶ δικαίων· μεθ' ὧν δέ, καὶ τῶν παιδαρίων φύλαξ σωτήριος. Πρέσβευε οὖν τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι. Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν Ὠδὴ Γ΄. καὶ ς΄. Ἀπόστολος καὶ Εὐαγγέλιον. Ζήτει τοῦ Ἁγίου Ἀντωνίου. Κοινωνικόν. Εἰς μνημόσυνον.

Μεγαλυνάριον.

Μέγιστος ὑπάρχεις ἡμῶν φρουρός, φύλαξ τε τῶν παίδων, ἀντιλήπτωρ καὶ πρεσβευτής, ἐν κινδύνοις ῥύστης, λοιμοῦτε καθαιρέτης, Στυλιανὲ τρισμάκαρ, διὸ τιμῶμέν σε.

ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΧΙΟΥ

ΠΟΙΗΜΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

Τῇ 26ῃ Νοεμβρίου ἑορτάζομεν τὴν μνήμην καὶ τὴν ἄθλησιν τοῦ Ἁγίου Νεομάρτυρος Γεωργίου, καταγομένου ἐκ τῆς νήσου Χίου καὶ ἀθλήσαντος εἰς τὰς Κυδωνίας, ἐν ἔτει 1807 ἀπὸ Χριστοῦ.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ ψάλλομεν τὰ παρόντα προσόμοια.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες ὑμᾶς.

Ἡ Χίος σὲ βλάστημα τερπνόν, Ἀθλητὰ ἐξήνεγκε, Κυδωνιῶν δὲ ἡ πόλις σε, καλῶς ἐξέθρεψε, καὶ ὁ οὐρανός σε, μετὰ τέλος εἵληφε. Γεώργιε τρισμάκαρ ἀθλήσαντα, καὶ τὴν πανεύφημον, ἐκτμηθέντα ξίφει κάραν σου ὡς ὡραῖον καρπὸν καὶ ἀκήρατον.

Γεώργιε Μάρτυς τοῦ Χριστοῦ, ἐν ὠδαῖς τῶν ἄθλων σου, καὶ τῶν ἀγώνων γεραίρομεν τὸ κλέος ἔνδοξε, οὓς ἀνδριοφρόνως, καὶ γενναίως ἤνεγκας, ὡς πρέσβυν πρὸς Θεὸν κεκτημένοισε, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ποῦ ξῆν τὸ θανεῖν ὑπὲρ Χριστοῦ, νουνεχῶς προέκρινας. Θεόφρον. Μάρτυς Γεώργιε, δι' ὃ γηθόμενος, πρὸς τοὺς ἐκζητοῦντας, συλλαβεῖν εἰς θάνατον, σαὐτὸν ἐθελουσίως παρέδωκας, οἱ ὡς ἀρνίον σε, ὅλως ἄφωνον ἀπήγαγον, καὶ θανάτῳ βιαίῳ κατέκρεναν.

Γεώργιε Μάρτυς τοῦ Χριστοῦ, τὴν ἐνεγκαμένην σε, Χίον εὐχαῖς σου περίσωζε, πάσης κακώσεως, καὶ ἣν τῶν αἱμάτων, ταῖς ροαῖς ἡγίασας, πόλιν ἀνεπηρέαστον φύλαττε, ἀνευφημοῦσάν σε, καὶ πιστῶν ἅπαν τὸ πλήρωμα, σαῖς πρεσβείαις συντήρει ἀπήμαντον.

Δόξα, Ἦχος πλ. δ΄.

Τὴν ἐτήσιον μνήμην σήμερον, τοῦ Νεομάρτυρος Γεωργίου· πνευματικοῖς

ΨΗΦΙΑΚΟΣ ΒΥΖΑΝΤΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΡΕΙΤΙΚΗ ΕΚΔΟΤΙΚΗ ΑΘΗΝΩΝ ΕΠΙΜΕΛΗΤΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

ἄσμασιν εὐφημήσωμεν πιστοί, γενναίως γὰρ ἀγωνισάμενος, καὶ τὸν δρόμον τελέσας τοῦ **Μαρτυρίου** δι' αἵματος, **Χριστῷ** προσήχθη ὡς ἱερὸν ὁλοκάρπωμα, ᾧ καὶ νῦν ἐν δόξῃ μαρτυρικῇ παριστάμενος, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ Βασιλεὺς τῶν Οὐρανῶν. Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον, καὶ τὰ Ἀναγνώσματα, ζήτει τοῦ Ἁγίου Ἰσιδώρου.

Εἰς τὴν Αἰτήν. Ἦχος α΄.

Φαιδρύνεται λαμπρῶς, **Χίος** ἡ πατρίς σου καὶ κώμη ἡ τῶν **Κυδωνιῶν**, ἐπὶ τῇ σῇ μνήμῃ **Νεομάρτυς Γεώργιε**, τῆς μὲν γὰρ πολίτης ἐγένου, τῆς δὲ πολιοῦχος ἦδη κατέστης καὶ φρουρός· ἀλλὰ καὶ πᾶσα ἡ τῶν πιστῶν Ἐκκλησία ἀγάλλεται, νέον σε πρέσβυν πρὸς Θεὸν κτησαμένη, ἣν ἐν εἰρήνῃ καὶ εὐσεβείᾳ ταῖς πρὸς αὐτὸν εὐπροσδέκτοις ἱκεσίαις σου διαφύλαττε.

Δόξα, Ἦχος πλ. α΄.

Δεῦτε φιλοθέων ὁμήγυρις, δεῦτε γηθοσύνως συνδράμωμεν, δεῦτε καὶ κοσμήσωμεν ἄσμασι τὴν Ἐκκλησίαν, ἐπὶ τῇ μνήμῃ **Γεωργίου** τοῦ νεοφανοῦς Ἀθλητοῦ σήμερον γὰρ οὐρανῶν ἀνοιγέντων, εἰσέρχεται ἐν δόξῃ, καὶ μετὰ παρρησίας τῷ ποθουμένῳ **Χριστῷ** παρίσταται· καὶ ὁ ἐν γῇ νομίμως ἀθλήσας, καὶ στερρῶς ἀγωνισάμενος, ἀκηράτῳ στέφει ἐν οὐρανῷ, παρὰ τοῦ στεφοδότου καταστέφεται καὶ τῶν ἀγώνων αὐτοῦ βραβεῖα ἐπάξια, παρὰ τοῦ ἀγωνοθέτου κομίζεται. Πάντες οὖν δεόμενοι αὐτοῦ, μετ' εὐλαβείας βοήσωμεν· μὴ ἐπιλάθῃ Ἅγιε, τῶν πιστῶς ἐπιτελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν, Μακαρίζομέν σε.
Εἰς τὸν Στίχ. Ἦχος. πλ. δ΄.
Ὦ τοῦ παραδόξου θαύματος!

Νέε Ἀθλητὰ **Γεώργιε** σὺ ἀληθῶς, εὐγενές, ἀνεδείχθης γεώργιον, τοῦ Ἁγίου Πνεύματος, τοὺς αὐτοῦ γὰρ ἀοίδιμε, ἔφυσας ὄντως, καρποὺς τοῖς ἄθλοις σου, καὶ καταρδεύσας ῥείθροις αἱμάτων σου, θείως διέθρεψας, καὶ ἀφθάρτοις ἔθηκας ἐν οὐρανῷ θήκαις καὶ συνέκλεισας, ὅτι ὁ ὑμνοῦμέν σε.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Τόνος τῆς **Χίου** καὶ βλάστημα, ὑπάρχων μάρτυς **Χριστοῦ**, κατὰ σάρκα **Γεώργιε**, νῦν **Χίος** γεγέννησαι, κατὰ χάριν ἀοίδιμε, τοῦ προανάρχου **Πατρὸς** καὶ σύγκληρος, τοῦ συναν**άρχου Υἱοῦ** ὡς μέτοχος, καὶ κοινωνὸς αὐτοῦ, τῶν παθῶν καὶ σύμμορφος ὑπὲρ ἡμῶν, σὺν **Πατρὶ** καὶ **Πνεύματι**, ἐλεῶν ἔργασαι.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν

Χριστῷ συνῶν καὶ συζῶν ἀεί, καὶ σὺν αὐτῷ ὑπὲρ νοῦν, ἐν μεθέξει θεούμενος καὶ συνδοξαζόμενος, τῶν τιμώντων σε μέμνησο, καὶ ἐκτελούντων πόθῳ τὴν μνήμην σου, καὶ εὐφημούντων, τοὺς θείους ἄθλους σου, καὶ προσκυνούντων σου, πίστει τὸ ἐκτύπωμα τὸ τῆς μορφῆς, καὶ τὰ θεῖα λείψανα μάρτυς **Γεώργιε**.

Δόξα, Ἦχος γ΄.

Ἔδοξας ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι **Γεώργιε**, καὶ ἔξοδός σου ἐκ τῆς προσκαίρου ζωῆς, κάκωσις αὐτοῖς ἐλογίσθη. Ἀλλὰ ζῇς ἐν **Χριστῷ** τὴν μακαρίαν καὶ εἰρηναίαν ζωήν, σὺν τοῖς Ἀγγέλοις καὶ τοῖς ἀπ' αἰῶνος Ἁγίοις εὐφραινόμενος· μεθ' ὧν μὴ παύσῃ πρεσβεύων, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὁ Μάρτυς **Γεώργιος** ξίφει τὴν κάραν τμηθείς, θεόθεν δεδόξασται, ἐν οὐρανῷ καὶ ἐν γῇ, τῆς **Χίου** τὸ σέμνωμα, ἄνω γὰρ ἀφθαρσίας στέφει θείῳ ἐστέφθη, κάτω δὲ θείοις ὕμνοις, παρ' ἀνθρώπων ὑμνεῖται, αὐτοῦ ταῖς ἱκεσίαις **Χριστὲ ὁ Θεός**, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τὰ συνήθη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογ. Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὸν νέον ἀθλητήν, καὶ λαμπρὸν ἀριστέα, ὑμνήσωμεν πιστοί, ἐν ᾠδαῖς ἐτησίοις, **Γεώργιον** τὸν ἔνδοξον, τὸ τῆς **Χίου** καλλώπισμα, ὡς ἀθλήσαντα, καὶ τῶν δαιμόνων τὰ στίφη, ἐκνικήσαντα, τῇ τοῦ **Σταυροῦ** πανοπλίᾳ, καὶ ῥώμῃ καὶ χάριτι.

Δόξα, Καὶ νῦν, Θεοτοκίον, Μαρία τὸ σεπτόν.
Μετὰ τὴν β΄. Στιχολογ. Κάθισμα,
Ἦχος δ΄. Ἐπεφάνης σήμερον

Ἐλαμπρύνθη ἄθλοις σου καὶ ἡγιάσθη, τῇ ἐκχύσει **Ἅγιε**, αἱμάτων σου τῶν ἱερῶν, **Κυδωνιέων** ὁ σύλλογος, καὶ τὴν σὴν κόνιν, κατέχων δοξάζει σε.

Δόξα, καὶ νῦν, Θεοτοκίον

Ἐπληγώθην πάθεσιν, ἰάτρευσόν με, ἐν κακοῖς ἀπόλλυμαι, σῶσόν με **Δέσποινα ἁγνή**, ἡ τὸν **Σωτῆρα** κυήσασα, καὶ ἰατῆρα, τοῦ κόσμου **Θεόνυμφε**.

Μετὰ τὸν Πολυέλεον, Ἦχος γ΄.
Τὴν ὡραιότητα·

Λαμπρῶς τὸ πνεῦμά σου, **Χριστὸς** ἐδέξατο, **Μάρτυς Γεώργιε**, ὑπὲρ τοῖς ἄθλοις σου, ἐδόξασας ἐπὶ τῆς γῆς, κηρύξας **Θεὸν** τῶν ὅλων, δυσσεβῶν ἐνώπιον, σαρκωθέντα βουλήματι, καὶ λαμπρῶς ἐδόξασεν, ἐν τοῖς θείοις σκηνώμασιν, ἐν δόξῃ ἀφράστῳ καὶ ἀλήκτῳ, συντάξας μαρτύρων τῇ χορείᾳ.

Καὶ νῦν, Τὴν ὡραιότητα. Καὶ μετὰ τὰ συνήθη, ὁ Κανὼν ᾠδὴ α΄.

Ἦχος α΄. Ὠδὴν ἐπινίκιον.

Φωτὶ παριστάμενος τῷ ἀνεσπέρῳ, τὸ σκότος ἀπέλασον, τὸ τῆς διανοίας

μου, λαμπρότατε ἀθλητά, τοῦ ἀνυμνῆσαι, ἐν ᾠδαῖς τὴν θείαν μνήμην σου.

Τὴν **Χίος** σε βλάστημα καὶ θεῖον ἄνθος, τερπνὸν καὶ πανεύοσμον, ἀθλητὰ **Γεώργιε**, ἐξήνεγκεν εὐκλεῶς, ἀλλ' ἐναθλήσαντα ἐκ τῆς γῆς, **Χριστὸς** ἐδρέψατο.

Ἐχθρὸς ὁ ἀρχέκακος ὑποσκελίσας, εἰς βάθρον κατέρραξεν, ὄντα νηπιόφρονα, ἀλλ' ἀνδρωθεὶς ταῖς φρεσὶν εἰς ὕψος ἦρθης, ἀθλητά, θείας ἀθλήσεως.

Θεοτοκίον.

Ἅκτισι **Θεόνυμφε** τῶν πρεσβειῶν σου, ἀχλὺν διασκέδασον τοῦ νοός μου ἄχραντε, τοῦ ἄσμασιν ἱεροῖς, ἀνευφημεῖν διηνεκῶς, τὰ μεγαλεῖά σου.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

Τὴν τῶν ἠθῶν σου σεμνοπρέπειαν, λόγου τε καὶ ἔργου παντὸς ἀθλητά, **Κυδωνιέων** ὁ λαός, εὐφημεῖ ὁ χριστώνυμος καὶ ψυχῆς τὴν γενναιότητα, ὑμνεῖ καὶ δοξάζει σου.

Νομίμως ἤθλησας **Γεώργιε** καὶ στεφάνῳ δόξης ἐστέφθης λαμπρῶς, ἀκούσας γὰρ τὴν κατὰ σοῦ, γενομένην μακάριε, προδοσίαν τὴν πρὸς θάνατον, οὐδόλως ἐμάκρυνας.

Ἐθελουσίως δὲ στερρόψυχε, φέρων τοῖς ζητοῦσι παρέσχες σαυτόν, καὶ ἀπαχθεὶς τῷ δικαστῇ, θαρσαλέως ἐκήρυξας, τὴν πίστιν τὴν ἔνθεον **Χριστοῦ** τοῦ **Θεοῦ** ἡμῶν.

Θεοτοκίον.

Ἵνα θεώσῃ τὸ ἀνθρώπινον, ἄνθρωπος ἐκ σοῦ τῆς ἁγνῆς ὁ **Θεός**, γέγονεν, ὃν ὁ εὐκλεὴς ἀθλοφόρος ἐδόξασε, καὶ σὲ πᾶσιν ἀνεκήρυξε **Μητέρα** ἀπείρανδρον.

Κάθισμα, Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἡ εὐσήμως μνήμη σου **Μάρτυς Χριστοῦ** τοῦ **Θεοῦ**, **Γεώργιε** ἐνδόξε, εἰς

εὐφημίαν τῶν σῶν, ἀγώνων συνήγαγεν, ἅπαν πιστῶν τὸ πλῆθος, οὓς φρουρῶν μὴ ἐλλείπῃς, ῥύου παντὸς κινδύνου, καὶ παντοίας ἀνάγκης, ταῖς σαῖς πρὸς τὸν Θεὸν ἱεραῖς παρακλήσεσιν.

Δόξα καὶ νῦν, Θεοτοκίον. Ταχὺ προκατάλαβε.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

Ἀπτόητος παρέστης ἀνόμῳ δικαστῇ, καὶ τὴν σὴν ἐκήρυξας εὐσέβειαν τραν-ῶς, καὶ μὴ θωπείαις, ὑπείξας ταῖς παρ' ἐκείνου, εἱρκτῇ παμμάκαρ, ἐμβληθῆναι κατεκρίθης, ἐν ᾗ τὸν Θεὸν ἐμεγάλυνες.

Ἡμέραις ἐπὶ πλείσταις ἐμμένων τῇ εἱρκτῇ, τὸν Θεὸν ἐδόξαζες ἐξ ὅλης τῆς ψυχῆς, καὶ τῆς καρδίας τρισμάκαρ καὶ διανοίας, καὶ μετὰ πόθου ἀσιγήτως ἀνεβόας, δόξα τῇ δυνάμει σου Κύριε.

Σατὰν τοὺς ψυχοφθόρους, θεόφρον, λογισμούς, μακρὰν ἀπεσόβησεν ἡ θεία ἀπὸ σοῦ, εὐχαριστία, Γεώργιε, τῶν πανσέπτων, καὶ οὐρανίων μυστηρίων τοῦ Σωτῆρος, τούτων εὐλαβῶς μετασχόντος σου.

Θεοτοκίον.

Ὑμνοῦμέν σε Παρθένε Θεόνυμφε ἁγνή, ὡς θεογεννήτριαν καὶ τεῖχος τῶν πιστῶν, σὺ γὰρ τὴν φύσιν ἀνέστησας τὴν πεσοῦσαν, καὶ τὴν εἰκόνα ἀνενέωσας τεκοῦσα, μόνη τῶν προόντα Θεὸν τοῦ Ἀδάμ.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Ἰσχὺν ἐξ ὕψους κατελθεῖν πιστῶν ὁ λαός, ᾔτει καθ' ἑκάστην εὐχαῖς καὶ δεήσεσι, τῇ σῇ καρδίᾳ πανοπλίσας με, ἣν καὶ λαβὼν θεόθεν, ἐνήθλησας γενναίως.

Ἰσχὺν σε Μάρτυς ἄνωθεν Χριστὸς ὁ Θεός, κραταιὰν ἀθλοῦντα ἀξίως ἐνέδυσεν, ὁ τῆς σαρκὸς εἰδὼς τὸ ἄτονον, ὅθεν ἐναθλήσας ᾖρας τρόπαια νίκης.

Τὴν σὴν ἀνδρείαν ἔνδοξε Ἀγγέλων πληθύς, ἄνωθεν ὁρῶσα ἐτέρπετο ἅπασα, καὶ δῆμος κάτω ὁ χριστώνυμος, τῶν Κυδωνιέων ἐκρότει σοι τὰς χεῖρας.

Θεοτοκίον.

Σὲ μόνην καταφύγιον πλουτοῦμεν ἁγνή, πάντες οἱ Θεὸν κακῶς παροργίσαντες, καὶ ἁμαρτίαις βαρυνόμενοι, ὅπως ταῖς σαῖς πρεσβείαις αὐτῷ ἱλεωθῶμεν.

Ὠδὴ ς'. Τὸν προφήτην Ἰωνᾶν.

Τῇ μαχαίρᾳ ἐν χαρᾷ, ἀθλητὰ πνευματικῇ, τὴν τιμιαν κεφαλήν, καὶ αὐχένα τὸν σεπτόν, ὑπέκλινας, ἀποτμηθεὶς δὲ Χριστῷ προσήνεξαι.

Ὥσπερ ἄμωμος ἀμνός, ὥσπερ θῦμα λογικόν, ἱερεῖον ὡς τερπνόν, προσηνέχθης τῇ Χριστοῦ, Γεώργιε, ἐπουρανίῳ τραπέζῃ ἔνδοξε.

Ἀλγηδόνας τὰς φρικτὰς ὑπομείνας ἀνδρικῶς, τοῦ δημίου ἀπηγῶς τέμνοντός σου, ἀθλητά, τὸν πάνσεπτον, αὐχένα θῦμα Θεῷ προσήνεξαι.

Θεοτοκίον.

Μετὰ τόκον σε Ἁγνή, ὡς πρὸ τόκου Μαριάμ, τῇ δυνάμει τοῦ ἐκ σοῦ, σαρκωθέντος Ἰησοῦ, Γεώργιος ὁ Νεομάρτυς τρανῶς ἐκήρυξε.

Κοντάκιον, ἦχος δ'. Τὰ ἄνω ζητῶν.

Ὡς γέλων σε Χριστοῦ, καὶ Μάρτυρα δοξάζομεν, αἰτούμενοι θερμῶς τὴν θείαν σου ἀντίληψιν, ἀθλητὰ Γεώργιε, ἣν παράσχοις ἡμῖν τοῖς οἰκέταις σου, καταφεύγουσι πρὸς σέ, ῥυόμενος δεινῶν, τῶν συνεχόντων ἡμᾶς.

Ὁ Οἶκος.

Ὃν ἐπόθησας Χριστὸν γνησίως, ἀγγελώνυμε Μάρτυς στερρόφρον, καὶ ὡς θυσίαν σεαυτὸν προσενήνοχας, μὴ διαλείπῃς ἐνθέοις πρεσβείαις σου, ὑπὲρ ἡμῶν ἱκετεύων τῶν δούλων σου, τῶν τὴν μνήμην σου, τὴν ἱερὰν καὶ σεβάσμιον, τελούντων ἐν ᾠδαῖς τε καὶ ἄσμασι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιστον, πῶς συνεσχέθη, ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν, τῆς θεϊκῆς καὶ ἀτρέπτου Θεότητος, Κόρη πάναγνε, διὸ Θεοτόκον σε πιστῶς, κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

Μετὰ τὸν Πολυέλεον. Ἦχος δ΄.
Ἐπεφάνης σήμερον

Τὸ σεπτόν σου πρόσωπον, στίλβον ὡράτο, ἐκ τῆς θείας χάριτος, τοῖς θεωμένοις Ἄγγελε, ἐν ἐξαισίᾳ λευκότητι, δηλοῦν τὴν δόξαν, ἣν ἔσχες ἀοίδιμε.

Δόξα Ὅμοιον.

Ὡς αὐτόπτης γέγονα, ὁ σὸς οἰκέτης, τῆς μορφῆς σου Ἁγιε, δεδοξασμένης ἐκ Θεοῦ, κάλλους τῇ θείᾳ λαμπρότητι, οὕτω σὴν δόξαν, ἰδεῖν με ἀξίωσον.

Καὶ νῦν, Θεοτοκίον.

Προστασία ἄμαχε τῶν ἐν ἀνάγκαις, καὶ πρεσβεία ἕτοιμος τῶν ἐλπιζόντων ἐπὶ σέ, ἀπὸ κινδύνων με λύτρωσαι, καὶ μὴ παρόψῃ, ἡ πάντων βοήθεια.

Οἱ ἀναβαθμοί, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἦχου, Προκείμενον, Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου· τὸ Πᾶσα πνοή. Εὐαγγέλιον, ζήτει τοῦ Ἁγίου Γεωργίου εἰς τὸν ὄρθρον. Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα Ἐλέησόν με ὁ Θεός, τὸ Δοξαστικὸν τοῦ Ἑσπερινοῦ, Ἦχος β'. Νέος Μάρτυς. Οἱ Κανόνες τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου.

Ὠδὴ α'. Ἦχος α'. Ὠδὴν ἐπινίκιον.

Ἀλλὰ ἀγγελώνυμε τὴν τοῦ νοός μου, εὐχάς σου πρὸς Κύριον, Μάρτυς διασκέδασον ὑμνήσαι σου ἐν ᾠδαῖς, προθυμουμένου τὴν σεπτήν καὶ θείαν ἄθλησιν.

Ἡ ἔνδοξος ἄθλησις καὶ ἡ σφαγή σου, φαιδρὰς ἡμῖν γέγονεν, ἑορτῆς ὑπόθεσις· καλλίνικε Ἀγγελῆ, ἐν ᾗ ἀσμάτων ἐν ᾠδαῖς ἀνευφημοῦμέν σε.

Τὰ ἄνω σκηνώματα, τὸ θεῖον πνεῦμα, τὸ σὸν ὑπεδέξαντο Μάρτυς ἀγγελώνυμε, ὁ δὲ θαλάσσης βυθός, ὡμότητι τῶν δικαστῶν, τὸ σῶμα ἔκρυψεν.

Θεοτοκίον.

Ἐλέους τὴν ἄβυσσον ἡ τετοκυῖα, ἐλέησον οἰκτειρον, τὴν ἐμὴν ἀσθένειαν θεοχαρίτωτε, καὶ χειραγώγησον πρὸς φῶς τῆς κατανύξεως.

Ἕτερος Κανών. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ὡς φίλον σε τοῦ Δεσπότου γνήσιον, πιστῶς γεραίρομεν, ὡς παρρησίαν ἔχοντα πολλήν, πρὸς αὐτὸν ἀγγελώνυμε, ὡς ἀθλητὴν ἀήττητον, καὶ ἀριστέα ἀξιάγαστον.

Ὑπέστης πόθῳ Χριστοῦ καὶ ἔρωτι, χαίρων τῷ πνεύματι, εἰρκτὴν βασάνους καὶ τὴν ἐκτομήν, Νεομάρτυς τῆς κάρας σου, καὶ ὡς θυσία ἄμωμος, καὶ προσφορὰ αὐτῷ προσήνεξαι.

Προσώπου σου τὴν πολλὴν λαμπρότητα, πάντες ἐθαύμασαν, τὴν ἐξαίσιαν μάρτυς Ἀγγελῆ, ἣν νεκρῶν ἠδη ἐστιλβε, πάντως ἐκ θείας χάριτος, δοξαζομένου πανοικίμε.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς γεγένηκας Θεὸν καὶ Κύριον, καὶ Θεοτόκος μόνη ἀληθῶς, καὶ κυρίως ἐκλήθης ἁγνή. δι' ὃ πιστῶς γεραίρομεν καὶ κατὰ χρέος σε δοξάζομεν.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

Πυρποληθείσης τῆς καρδίας σου, τῷ τοῦ θείου πόθου ἀΰλῳ πυρί, φέρων παρέδωκας σαυτόν, εἰς σφαγὴν ἐθελούσιον, ἀγγελώνυμε πανθαύμαστε, δι' ὃ εὐφημοῦμέν σε.

Ἀτομολήσας πρὸς τὰ σκάμματα, ἔφερες γενναίως Χριστοῦ ἀθλητά, πάσας βασάνους Ἀγγελῆ, καὶ εἰς τέλος, τὸν θάνατον, καὶ ὄντως ἄμωμος, Χριστῷ προσενήνεξαι.

Πούς συνδραμόντας ἐν τῇ μνήμῃ σου, καὶ ἀνευφημοῦντας ἐν πίστει θερμῇ, τοὺς σοὺς ἀγῶνας Ἀγγελῆ, καὶ σφαγήν τὴν ἑκούσιον, ἐκ λοιμώδους νόσου φύλαττε, καὶ πάσης κακώσεως.

Θεοτοκίον.

Δεῖξόν μοι τρίβον τὴν σωτήριον, δι' ἧς βασιλείαν οὐράνιον, κληρονομήσω ἀγαθή, ὁ ἀνάξιος δοῦλός σου, καὶ ἀκούσω τὴν τρισάγιον ᾠδὴν ἀγαλλόμενος.

Ἕτερος. Εὐφραίνεται ἐπὶ σοί.

Γηθόμενος ἐν εἰρκτῇ, δεινὰς αἰκείας Ἀγγελῆ ἔφερες, σύμου, Χριστέ, δύναμις, κράζων καὶ ἰσχύς μου ἀήττητος.

Κατέβαλες ἀνδρικῶς, τῶν μεγαλαύχων τὴν ὀφρὺν κράτιστε, Ἀγαρηνῶν λόγοις σου, τὴν αὐτῶν ἐλέγξας δυσσέβειαν.

Ὑμνοῦμεν τοὺς αἰκισμούς, καὶ τὴν ἐν ξύφῳ Ἀγγελῆ κάθαιρξιν, ἃ κερτερῶς ἤνεγκας, καὶ τὴν ἐκτομὴν τῆς κάρας σου.

Θεοτοκίον.

Χωρίον φωτοειδὲς τῆς ὑπερφώτου ἀληθῶς φύσεως, φῶς θεϊκὸν ἄχραντε, καὶ φωτὸς ἀκτῖνα παράσχου μοι.

Κάθισμα, Ἦχος γ'. Τὴν ὡραιότητα.

Ῥείθροις αἱμάτων σου, τὴν γῆν ἐπίανας. ἀλλὰ καὶ θάλασσαν σὺ καθηγίασας, τῷ σώματί σου, Ἀγγελῆ, ὃ ἔρριπται ἀπηνείᾳ, καὶ δεινῇ ὠμότητι, ἐν αὐτῇ τοῦ δικάζοντος, ὅθεν δυσωποῦμέν σε, τοὺς ἐν γῇ καὶ τοὺς πλέοντας, περίσωζε ἐκ παντὸς κινδύνου, τῇ θείᾳ σου ἀθλητᾷ ἐπισκέψει.

Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι, Θεοτόκε, ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι· δι' ὃ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ κεχαριτωμένη.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

Τοῦ Πνεύματος ἡ χάρις, σκηνώσασα ἐν σοί, πάντα καταλείψασθαι τοῦ κόσμου τὰ τερπνά, Μάρτυς γενναῖε, παρέπεισε καὶ ἡδέα, καὶ τελευταῖον Ἀγγελῆ κάρπωμα θεῖον, τῷ Θεῷ γενέσθαι καὶ σφάγιον.

Ἡ ἄθλησίς σου Μάρτυς θεόφρον Ἀγγελῆ, ἑορτῆς ὑπόθεσιν προὐξένησε λαμπράν, τοῖς σὲ ποθοῦσιν ἀήττητε Ἀθλοφόρε, τῶν νεοάθλων ἐγκαλλώπισμα καὶ κλέος, ὅθεν συνελθόντες ὑμνοῦμέν σε.

Πούς ὄντας ἐν θαλάσσῃ, ἡ τάφος σου τελεῖ, ἀοράτως πάρεσο καὶ ῥύου τῶν δεινῶν, πρὸς σὲ βοῶντας ἐν πίστει καὶ εὐλαβείᾳ, καὶ τὴν θερμήν σου, προστασίαν ἐξαιτούντας, ἐν ταῖς τρικυμίαις καὶ κλείδωσι.

Θεοτοκίον.

Ἐλέησόν με μόνη, ἐλέους τὴν πηγήν, Θεοτόκε τέξασα καὶ λῦσον τὴν δεινήν, ψυχῆς μου νόσον καὶ πώρωσιν τῆς καρδίας· δακρύων ῥεῖθρα καὶ κατάνυξιν πρὸ τέλους, δοῦσα καὶ δεινῶν ἀπολύτρωσιν.

Ἕτερος. Ἐπαρθένα σε ἐδοῦσα.

Πρὸ νεκρώσεως νενέκρωσαι προαιρέσει, καὶ τοῦτο δῆλον γέγονεν, ἐκ τῶν τοῦ προσώπου καὶ στήθους κρουσμάτων σου δι' ὧν σεαυτὸν κατετίτρωσκες.

Μετὰ δέους τε καὶ πόθου Μάρτυς Κυρίου, τοὺς σοὺς ὑπὲρ τῆς πίστεως, εὐφημῶ ἀγῶνας, καὶ τὴν ἱεράν σου σφαγήν, καὶ χύσιν τοῦ αἵματος, καὶ τὸν πρὸς Χριστὸν θεῖον ἔρωτα.

Πᾶς πρεσβείας σου πρὸς Κύριον Νεομάρτυς, τοὺς σὲ τιμῶντας φύλαττε, ἐκ παντὸς κινδύνου, σώματος ὁμοῦ καὶ ψυχῆς, ἐν γῇ καὶ θαλάσσῃ τε, ἐν παντὶ καιρῷ ἀγγελώνυμε.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΙΟΝΥΣΙΟΣ ΘΕΟΔΩΡΟΥ ΠΑΠΑΣΤΡΑΤΟΣ

Θεοτοκίον.

Νομοθέτην ἡ τεκοῦσα καὶ φωτοδότην, τὴν χαλεπὴν ἀπέλασον, σκοτεινὸν νοός μου, σοῦ τῶν πρεσβειῶν τῷ φωτί, καὶ σῶσόν με Δέσποινα, τὸν μεμολυσμένον ἀμόλυντε.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Παῖς σαῖς πρεσβείαις δὸς ἡμῖν Χριστοῦ ἀθλητά, λύσιν τῶν δεινῶν καὶ πταισμάτων συγχώρησιν, τοῖς εὐφημοῦσί σου τὴν ἄθλησιν, καὶ ἀσπαζομένοις τὸν τύπον τῆς μορφῆς σου.

Ὡς φέλον σε πιστότατον ὑμνοῦμεν Χριστοῦ, Μάρτυς ὡς αὐτοῦ τῶν παθῶν κοινωνήσαντα καὶ τὴν τελείαν καὶ ἀσύγκριτον, πρὸς αὐτὸν ἀγάπην, παμμάκαρ ἐσχηκότα.

Ὡς ἥλιος ἀνέτειλεν ἡ μνήμη σου φαιδρά, πάντων τὰς καρδίας ἐνθέως φαιδρύνουσα, καὶ πρὸς τὸν ἔρωτα θερμαίνουσα, τοῦ Θεοῦ τῶν ὅλων τοῦ στέψαντός σε, μάκαρ.

Θεοτοκίον.

Βασίλισσαν Παρθένον σε κηρύττει ὁ Δαβίδ, ἄχραντε Ἁγνή, διὸ ἱκετεύω σε, τῆς οὐρανίου βασιλείας με, ποίησον κληρονόμον, ἵνα σε μακαρίζω.

Ἕτερος. Σὺ Κύριέ μου φῶς.

Τὴν μάστιγα λοιμοῦ, τὴν δεινὴν καὶ πανόλεθρον, πρεσβείαις σου Νεομάρτυς, πρὸς τὸν Κύριον στῆσον, καὶ παῦσον ἀγγελώνυμε.

Τὴν ἔφοδον λοιμοῦ, ταῖς πρεσβείαις σου κώλυσον, τῶν εὐφημούντων σου πόρρω, ἀγγελώνυμε Μάρτυς, τὴν μνήμην τὴν πανέιρον.

Μὴ νόσος ἡ δεινή, μετελθέτω τοὺς δούλους σου, ἡμᾶς τοὺς σὲ εὐφημοῦντας, λοιμώδης ἡ φρικαλέα, εὐχαῖς σου, ἀγγελώνυμε.

Θεοτοκίον.

Παράδεισος ζωῆς, Θεοτόκε ὑπάρχουσα, θανάτου τῆς ἁμαρτίας, καὶ παθῶν πολυτρόπων, ἐκλύτρωσαί με τάχιον.

Ὠδὴ στ'. Τὸν Προφήτην Ἰωνᾶν.

Τ περβαίνει ἀληθῶς, καρτερία ἡ πολλή, ἐγκωμίων τοὺς θεσμούς, ἣν ἀνέδειξας ἄθλων, πανθαύμαστε. μαρτύρων νέων τό σεμνολόγημα.

Τὸ οὐράνιον ἐν σοί, πῦρ ἀνήφθη ἀθλητά, ὃ ὁ Κύριος βαλεῖν ἦλθε μάκαρ ἐπὶ γῆς, καὶ ἔφλεξε τὴν σὴν καρδίαν εἰς θεῖον ἔρωτα.

Ἐν χαρᾷ πνευματικῇ, Νεομάρτυς Ἀγγελῆ, εὐσεβούντων ἡ πληθύς, τὴν σὴν μνήμην ἐκτελεῖ, ὑμνοῦσά σου, τοὺς θείους ἄθλους καὶ τὰ παλαίσματα.

Θεοτοκίον.

Τὴν Μητέρα τοῦ Θεοῦ καὶ καλὴν ἐν γυναιξί, δυσωπῶ σε ἐκτενῶς, μὴ παρίδῃς με Ἁγνή, ἀλλ' οἴκτειρον, καὶ πάσης βλάβης σῶον συντήρησον.

Ἕτερος. Θύσω σοι μετὰ φωνῆς.

Ἔχει σε, Ἀγγελῆ, πολιοῦχον καὶ φύλακα, καὶ ἀντιλήπτορα μέγαν ἐν κινδύνοις πᾶσιν ἡ νῆσος Χίος, ἐν ᾗ, μάκαρ, τὸ πανέιρον αἷμα ἐξέχεας.

Τιμῶντές σου, Ἀγγελῆ, τὴν σφαγὴν τὴν ἑκούσιον, καὶ τοὺς γενναίους ἀγῶνας, ἑορτὴν ἐτήσιον ἐκτελοῦμεν, καὶ τὴν σὴν προστασίαν αἰτούμεθα.

Τὸ αἷμά σου, δεξαμένη ἡ γῆ καθηγίαστο, ὁ δὲ ἀὴρ τὸ σὸν πνεῦμα, καὶ ὁ τῆς θαλάσσης βυθὸς τὸ σῶμα, δι' ὃ σῶζε, τοὺς ἐν γῇ καὶ θαλάσσῃ προσβείαις σου.

Θεοτοκίον.

Μόνην σε τιμιωτέραν ἔγνωμεν, Πάναγνε, τῶν Χερουβὶμ ὡς τεκοῦσαν, τοῦ φωτὸς τὸν Πρύτανιν Θεοτόκε, ὃν δυσώπει πρὸς τὸ φῶς με σκηνῶσαι τὸ ἄδυτον.

Κοντάκιον ἦχος γ'.

Τ'εράν προσθήκην σε, ἡ τῶν μαρτύρων χορεία, Ἀγγελῆ ἐδέξατο, ἐν οὐρανῷ γηθομένη, ἤθλησας καὶ γὰρ νομίμως νῦν γενναιόφρον, ᾔσχυνας τὸ τῶν τυράννων ἄθεον θράσος, καὶ τὸ στέφος ἐκομίσω, τῆς ἀφθαρσίας, ξίφει τὴν κάραν τμηθείς.

Ὁ Οἶκος.

Τὴν ἄνω ζωὴν τὴν ἀήρω καὶ ἄληκτον, ποθῶν ἐπιτεύξασθαι, ἀγγελώνυμε, καὶ ἀγγελόφρων Ἀγγελῆ, Νεομάρτυς τοῦ Χριστοῦ ἀξιάγαστε, τὴν κάτω τὴν φθαρτὴν καὶ ἐπίκηρον νουνεχῶς καταλέλοιπας, δι' ὃ ἑθελουσίως φέρων σαυτὸν παρέδωκας τῇ ὠμότητι καὶ ἰταμότητι τῶν τυράννων, καὶ τὸ αὐτοῦ ἄθεον θράσος, καὶ ὀφρὺν τὴν ἐπηρμένην κατέρραξας, τῷ ἀπτοήτῳ σου παραστήματι καὶ τῇ εὐτολμίᾳ τῶν λόγων σου, δι' ὧν τὴν μὲν ἐκείνων ἀσέβειαν ἤλεγξας, τὸν δὲ Χριστὸν τρανῶς ἐκήρυξας, Θεὸν τέλειον ἄνθρωπον, παρ' οὗ τὸ στέφος τῆς ἀφθαρσίας εἴληφας, ὑπὲρ αὐτοῦ ξίφει τὴν κάραν τμηθείς.

ΜΟΥΣΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΠΑΤΡΩΝ ΔΗΜΗΤΡΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΚΑΛΛΙΝΙΚΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΑΓΓΕΛΗ ΤΟΥ ΕΝ ΧΙΩ ΑΘΛΗΣΑΝΤΟΣ

ΣΥΓΓΡΑΦΕΝ ΠΑΡΑ ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

Τοῦ Νεομάρτυρος Ἀγγελῆ τὴν μνήμην σήμερον ἑορτάζομεν. Χαρῆτε ὅλοι οἱ εὐλαβεῖς φιλομάρτυρες, ὅσοι ὀδιστάκτως καὶ ἀναμφιβόλως, καρδίᾳ μὲν τὸν πιστεύετε, στόματι δὲ τὸν ὁμολογεῖτε τῆς αἰωνίου ἀληθείας τοῦ Ἰησοῦ Χριστοῦ παναληθέστατον Μάρτυρα. Τὸν ἐξωμότην Ἀγγελῆν ὑμνοῦμεν καὶ εὐφημοῦμεν καὶ τοὺς μαρτυρικούς του ἀγῶνας περικροτοῦμεν καὶ δοξάζομεν. Ἂς πληροφορηθῶσιν ὅσοι διστάζουσι καὶ περὶ τῆς ἁγιότητος καὶ τῆς μαρτυρικῆς αὐτοῦ δόξης ἀμφιβάλλουσιν, ὅτι Μάρτυς εἶναι τῇ ἀληθείᾳ καὶ κατὰ τὴν ἀνέκαθεν τῆς Ἐκκλησίας παράδοσιν, πάσης μαρτυρικῆς τιμῆς ἄξιος. Τὸν ἀρνησίχριστον ὡς Χριστοῦ ἀγαθὸν καὶ πιστὸν δοῦλον μὲ ἐπινικίους ᾠδὰς καὶ μαρτυρικὰ ἄσματα τιμῶμεν, ἵνα καὶ ἡμεῖς Μάρτυρες τῇ προαιρέσει κατὰ τὸν Μέγαν Βασίλειον γενώμεθα. Ἂς ἐμφραγοῦν τὰ ἀπύλωτα στόματα τῶν ἀντιλεγόντων καὶ μὴ ὁμολογούντων αὐτὸν καὶ τοὺς ὁμοίους αὐτοῦ ὄντως θείους Μάρτυρας· ὅτι κατὰ τοὺς θείους ἡμῶν Πατέρας, τὸ Μαρτύριον δὲν εἶναι ἁπλῶς ἄφεσις ἁμαρτιῶν, ἀλλὰ καὶ ἁγιότης καὶ δόξα καὶ τιμὴ οὐράνιος. Ἡμεῖς λοιπὸν φιλαλήθως διηγούμεθα εἰς τὴν ὑμετέραν ἀγάπην τὴν τοῦ Ἀγγελῆ χριστιανικὴν ζωὴν καὶ τὴν εὐαγγελικὴν πολιτείαν, καὶ τὸν ὑπὲρ τῆς εὐσεβείας ἔνθερμον ζῆλόν του, ἀλλὰ καὶ τὴν ἀξιοδάκρυτον πτῶσιν του κηρύττομεν, καὶ τὴν ἀντίχριστον ἄρνησίν του δὲν σιωπῶμεν· καθὼς καὶ τὸ ἱερὸν Εὐαγγέλιον, καὶ τὴν ἐκ θείας ἀποκαλύψεως ὁμολογίαν τοῦ Ἀποστόλου Πέτρου ἐκθειάζει, καὶ τὴν τριτὴν αὐτοῦ ἄρνησιν κηρύττει· δὲν σιωπῶμεν τὴν πτῶσιν, ἐπειδὴ ἔχομεν ἀκόλουθον τὴν πεπαρρησιασμένην αὐτοῦ ὁμολογίαν, καὶ τῶν μαρτυρικῶν ἀγώνων τὴν λαμπρότητα. Ἀκούσατε λοιπὸν μετὰ προσοχῆς τὴν σύντομον ταύτην διήγησιν, ἡ ὁποία τοὺς μὲν καλῶς ἑστῶτας εἰς τὴν ἀρετὴν θέλει διδάξει νὰ προσέχουν διὰ νὰ μὴ πέσουν ἢ ἀπὸ ἀμέλειαν, ἢ ἀπὸ ὑπερηφάνειαν, τοὺς δὲ πεσόντας θέλει διεγείρει καὶ παρακινήσει εἰς μετάνοιαν καὶ ἀνόρθωσιν ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας

Οὗτος λοιπὸν ὁ νέος τοῦ Χριστοῦ στρατιώτης, ὁ νικητὴς σαρκὸς καὶ κόσμου καὶ κοσμοκράτορος, ὁ οὐρανόφρων καὶ ἀγγελόφρων, λέγω, Ἀγγελῆς, ἐγεννήθη εἰς μίαν πόλιν τῆς Πελοποννήσου Ἄργος λεγομένην· τὸ γένος του καὶ τὴν ἀνατροφήν του καὶ τὴν πολιτείαν του καὶ τὴν κατάστασιν ὁποῦ εἶχεν εἰς τὸ Ἄργος, δὲν ἠδυνήθημεν νὰ τὰ μάθωμεν· τόσον μόνον ἐμάθομεν, ὅτι εἰς τὸ Κουσάντασι

εὑρίσκετο καὶ διέτριβε, καὶ ἐμπειρικὸς ἰατρὸς ἐγιωρίζετο· ἄνθρωπος εὐλαβής, ἥσυχος, φιλακόλουθος, ἐλεήμων, εὐσεβής, καὶ ζηλωτὴς τῆς εὐσεβείας θερμότατος, (καθὼς ἐβεβαιώθημεν ἀπὸ ἀξιοπίστους ἀνθρώπους, οἵτινες εἶχον τὴν γνωριμίαν του καὶ τὴν συναναστροφήν του). Ἀλλὰ τί ἠκολούθησεν εἰς τὸν καλὸν Ἀγγελῆν, ἀπὸ αὐτὸν τὸν ὑπὲρ τῆς εὐσεβείας ὑπέρμετρον ζῆλόν του, εἶναι ἄξιον διηγήσεως, καὶ νὰ σιωπηθῇ δὲν πρέπει. Ἔτυχεν εἰς μίαν του συναναστροφὴν εἰς Φραντσέζος ἄθεος, ὅστις ἀκούων τὸν ἔνθεον καὶ θεοσεβῆ Ἀγγελῆν νὰ λέγῃ πρὸς τοὺς παρόντας λόγους ὑπὲρ τῆς ἡμετέρας εὐσεβείας, καὶ τῆς ἁγίας μας πίστεως, τὸν ἐχλεύαζε καὶ τὸν περιεγέλα ὁ μιαρός, ὡς ἀσεβὴς καὶ ἄθεος ὁποῦ ἦτον· ὁ δὲ θεῖος Ἀγγελῆς δὲν ἐσιώπησε, καθὼς πολλοὶ διὰ τὸ πολιτικὸν κάμνουσιν, ἀλλὰ ἀντέλεγε, καὶ ὅπως ἠμπόρει τὴν μὲν ἁγίαν μας πίστιν ἐδιαφέντευε, τὸν δὲ ἀλητήριον Φραντσέζον ἀπεδείκνυεν ἀσεβῆ καὶ ἄθεον, καὶ ἐκ τούτου ἔγινεν ἱκανὴ φιλονεικία, καὶ τέλος πάντων λέγει ὁ Ἀγγελῆς πρὸς τὸν ἀσεβῆ ἐκεῖνον· «ἐγὼ ὄχι μόνον μὲ λόγια γυμνὰ δύναμαι νὰ ἀποδείξω τὴν ἁγιότητα τῆς πίστεως μου, ἀλλὰ καὶ μὲ τὰ ἔργα ἐμπράκτως. Λοιπὸν ἄφες τὰ λόγια καὶ τὰς φυλαρίας, καὶ ἂς φιλονεικίσωμεν μὲ τὰ ἔργα· φόρεσε ἐσὺ ὅλα σου τὰ ἄρματα, καὶ ὅπως θέλεις ἁρματώσου, καὶ ἐγὼ χωρὶς κανὲν ἅρμα, χωρὶς μάχαιραν, χωρὶς πιστόλαν, χωρὶς τουφέκι, γυμνὸς ἀπὸ ἅρματα καθὼς μὲ βλέπεις, μόνον μὲ ἕν ξύλον εἰς τὸ χέρι νὰ πολεμήσωμεν μεταξύ μας νὰ σὲ νικήσω, καὶ νὰ σὲ φονεύσω μὲ τὴν δύναμιν τῆς πίστεώς μου». Αὐτὰ ἠρέθισαν τὸν Φραντσέζον καὶ εἰς θυμὸν τὸν ἐκίνησαν, καὶ μὴν ὑποφέρων νὰ βλέπῃ ἕνα εὐτελέστατον Γραικὸν νὰ ἔχῃ τόσην πεποίθησιν καὶ θάρρος εἰς τὴν δύναμιν τῆς πίστεώς του, ἐδέχθη τὸν ἀγῶνα νὰ πολεμήσουν μὲ θάρρος εἰς τὰ ἅρματά του, ὅτι θέλει τὸν φονεύσει, ἐν μὲν διὰ νὰ κάμῃ ἐκδίκησιν εἰς τὸν ἐχθρόν του, καὶ ἄλλο διὰ νὰ δείξῃ ὁ ἄπιστος ψευδῆ τὴν δύναμιν τῆς ἁγίας μας πίστεως, εἰς τὴν ὁποίαν κατεκαυχᾶτο ὁ Ἀγγελῆς καὶ ὅλον εἶχε τὸ θάρρος του εἰς αὐτήν. Καὶ ὁ μὲν Πέτρος, ἡ πέτρα τῆς πίστεως, ὁ κορυφαῖος τῶν Ἀποστόλων, ὀλίγον περιπατήσας ἐπάνω εἰς τὰ κύματα τῆς θαλάσσης, ὠλιγοπίστησε, καὶ διὰ τοῦτο ἤρχισε νὰ βυθίζηται εἰς τὰ ὕδατα, ὁ δὲ Ἀγγελῆς, τόσον στερεὰν πίστιν εἶχε καὶ τόσον θάρρος εἶχεν ὅτι θέλει θαυματουργήσει ὁ Θεός καὶ θέλει δείξει τὴν δύναμιν τῆς πίστεώς του, ὥστε ὁποῦ δὲν ἠθέλησε νὰ γίνῃ ἡ μονομαχία καὶ ὁ πόλεμος παράμερα καὶ κρυφά, ἀλλὰ παῤῥησίᾳ καὶ φανερά· ὅθεν παρουσιάζεται μὲ τὸν ἀντανωνιστήν του εἰς τὸν Κόνσολον τὸν Φραντσέζον (Γάλλον πρόξενον) καὶ ἀναφέρει εἰς αὐτὸν τὴν περὶ πίστεως φιλονεικίαν των καὶ εἰς ἐπήκοον τῶν παρευρεθέντων εἶπε τὰς βλασφημίας ὅπου ἔλεγεν ὁ ἄθεος ἐκεῖνος κατὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἁγιωτάτης Αὐτοῦ πίστεως καὶ τὴν ἀπολογίαν ὅπου ἔκαμαν αὐτὸς ὑπὲρ τῆς ἀληθείας τῆς πίστεώς μας. Καὶ ὕστερον ἀπὸ τοῦτο μὲ ἄδειαν καὶ γνώμην τοῦ προξένου ἔκαμαν γράμματα εἰς τὴν καγγελλαρίαν (τὴν πρεσβείαν), ὅτι ἐν γνώσει φρενῶν καὶ προαιρέσει ἠθέλησαν νὰ πολεμήσουν οἱ δύο αὐτοί, ὁ μὲν Φραντσέζος μὲ ἅρματα τοῦ πολέμου, ὁ δὲ Γραικὸς Ἀγγελῆς χωρὶς ἅρματα, κρατῶν μόνον ἕν ξύλον εἰς τὸ χέρι καὶ ὁποιους ἀπὸ τοὺς δύο ἤθελε φονευθῇ νὰ εἶναι καλὰ πεφονευμένος καὶ ὁ νικήσας καὶ φονεύσας τὸν ἄλλον νὰ μὴν ἔχῃ ὕστερον ἀπό τινα καμμίαν ἐξέτασιν ἢ κρίσιν ἢ τιμωρίαν διὰ τὸν φονευθέντα. Τοιοῦτον γράμμα καὶ τοιαύτην συμφωνίαν καὶ ἀπόφασιν ἔκαμον· καὶ δὲν εἶναι θαυμαστὸν ἂν ὁ ὑπερήφανος Φραντσέζος ἀνεδέχθη τὸν ἀγῶνα τοῦτον, ἐλπίζων εἰς τὴν δύναμίν του καὶ εἰς τὰ ἅρματά του ὡς ἄλλος ἀλλόφυλος Γολιάθ, νὰ φονεύσῃ μὲ πρῶτον κτύπημα τὸν ἀναρμάτωτον Ἀγγελῆν· δὲν εἶναι, λέγω τοῦτο θαυμαστόν. Τὸ θαυμαστὸν ὄντως καὶ ὑπερθαύμαστον εἶναι, πῶς ὁ Ἀγγελῆς, ὡς ἄλλος Δαυΐδ, εἶχε πίστιν ἀδίστακτον, ὅτι χωρὶς ἅρματα, μὲ μόνην τὴν θείαν δύναμιν θὰ φονεύσῃ τὸν ἀλλόφυλον. Ἀλλ' ἴσως τις δὲν ἤθελε τὸ ὀνομάσῃ πίστιν ἀδίστακτον ἕνα τοιοῦτον τόλμημα ἀλλὰ ἐλαφρότητα νοὸς ἢ ἄλλο τι παρόμοιον· τὸ ἀκόλουθον ὅμως τοῦ διηγήματος δὲν τὸ δεικνύει ἐλαφρότητα νοὸς καὶ τρέλλαν καὶ παραφροσύνην, ἐπειδὴ δὲν ἠθέλησεν εὐθὺς τὴν ὥραν ἐκείνην νὰ τελειώσῃ τὸν ἀγῶνα, ἀλλὰ μὲ συμφωνίαν τοῦ ἀντιπάλου, τὸν ἄφησε τῇ ἐπαύριον, ὡς ἔδειξαν τὰ πράγματα, διὰ νὰ λάβῃ καιρὸν νὰ φορέσῃ καὶ αὐτὸς τὰ οὐράνια ἅρματα ἐναντίον τῶν γηΐνων ἁρμάτων τοῦ ἀλλοφύλου· ὅθεν τρέχει εἰς τὸν πνευματικόν του πατέρα καὶ ἐξομολογεῖται τὰ ὅσα ὡς ἄνθρωπος ἥμαρτε, φανερώνει πρὸς αὐτὸν τὸν προκείμενον ἀγῶνά του καὶ ζητεῖ τὰς εὐχάς του καὶ δι' αὐτῶν τὴν ἐξ ὕψους βοήθειαν. Πολλὰ ἐπίσχισεν ὁ πνευματικὸς νὰ τὸν ἐμποδίσῃ, ἀλλὰ δὲν ἠδυνήθη. Λοιπὸν εὐξάμενος τὸν ἀπέλυσεν, αὐτὸς δὲ πηγαίνων εἰς τὴν κατοικίαν του, ἐπέρασεν ὅλην τὴν νύκτα ἐκείνην εἰς θερμὴν δέησιν πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, νὰ θαυμαστώσῃ τὴν δύναμιν τῆς θείας του πίστεως ἐναντίον τοῦ βλασφήμου Φραντσέζου, ἔπειτα τὸ ταχὺ ἐκοιμήσησε τῶν ἀχράντων Μυστηρίων, καὶ οὕτω καθωπλισμένος μὲ τὴν θείαν δύναμιν, ἐβγῆκεν εἰς παράταξιν τοῦ ἀλλοφύλου, καὶ τὸν προσκαλεῖ νὰ συμπλακοῦν καὶ νὰ πολεμήσουν. Τίς νὰ μὴ θαυμάσῃ καὶ νὰ μὴ φωνάξῃ μετ' ἐκπλήξεως· ὦ θεότατε Ἀγγελῆ μεγάλη σου ἡ Πίστις! ἄλλο δὲν εἶχεν εἰς τὸ στόμα, καὶ ἄλλο δὲν ἔλεγε παρὰ «μὲ τὸν πόλεμόν μου τοῦτον, θὰ δείξω εἰς τοὺς ἀπίστους τὴν δύναμιν τῆς πίστεώς μου». Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, εὐσεβέστατοι ἀκροαταί, φαίνεταί μοι, καὶ βλέπω μὲ τοὺς ὀφθαλμοὺς τοῦ νοός μου δύο ἐναντίαι πάθη μέσα εἰς τὰς καρδίας σας, φόβον καὶ πόθον· πόθον μὲν ὅτι ποθεῖτε καὶ ἀγαπᾶτε νὰ ἀκούσητε πεφονευμένον καὶ τεθνανατωμένον τὸν ἄθεον, διὰ νὰ φανῇ ἡ δύναμις τῆς πίστεώς μας, νὰ δοξασθῇ ὁ ὑπὸ τῶν ἀπίστων ἀθετούμενος Χριστός, φόβον δὲ μήπως καὶ δὲν εὐδοκήσῃ ὁ Θεός, διὰ τὰς αἰτίας ὁποῦ μόνος αὐτὸς ἠξεύρει, νὰ γίνῃ τὸ ποθούμενον θαῦμα· ἀλλὰ δίκαιος μὲν εἶναι ὁ πόθος σας, τῆς ὀλιγοπιστίας δὲ εἶναι ὁ φόβος σας· ἐπειδὴ ἀψευδὴς ὁ ἐπαγγελάμενος, «ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι ἐντεῦθεν ἐκεῖ καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν». Μὴ φοβῆσθε λοιπόν, ἀλλὰ καὶ μὴ ποθῆτε νὰ ἴδητε τεθνανατωμένον τὸν ἐχθρὸν τῆς πίστεως, διότι τὰ κρίματα Κυρίου ἄβυσσος πολλή· τίς ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ὁ βάθει σοφίας πάντα οἰκονομῶν καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, κρίμασιν οἷς οἶδε μόνος αὐτός, δὲν ἐσυγχώρησε νὰ γίνῃ αὐτὸς ὁ πόλεμος, καὶ νὰ τελειωθῇ αὐτὸς ὁ ποθούμενος ἀγών, ἀλλὰ εὐθὺς ὁποῦ ἐπαρρησιάσθη ὥσπερ λέων ἀπτόητος ὁ τῆς εὐσεβείας ἀγγελώνυμος ἀθλητὴς καὶ ἐζήτει εἰς συμπλοκὴν τὸν ἀντίπαλον, εὐθὺς ἔλαβεν ἐκεῖνον φόβος καὶ τρόμος ἀνείκαστος, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' αὐτόν, καὶ ἐκάλυψε τὴν διάνοιάν του σκότος, ἡ καρδία του ἐταράχθη, καὶ ἐγκατέλειπεν αὐτὸν ἡ ἰσχὺς αὐτοῦ· ὅθεν καὶ μὲ πολλὴν του καταισχύνην καὶ ἐντροπὴν παρητήθη καὶ ἔφευγεν, ἀλλὰ καὶ ἡ παραίτησις καὶ ἡ φυγή του δὲν ἔγινε καθὼς ἐκεῖνος ἤθελε κρυφίως, δηλαδὴ χωρὶς νὰ τὸν καταλάβουν πολλοί, ἐπειδὴ ὁ μακάριος Ἀγγελῆς ὡς ὁριστὴς καὶ νικητὴς ἐθριάμβευε τὴν ἐκείνου φυγήν, ὡς ἦτταν, καὶ ἐπέμενεν εἰς τὴν ἐξ ἀρχῆς συμφωνίαν τῶν γραμμάτων των, ζητῶν νὰ μονομαχήσουν, καὶ ἀποφασιστικὰ τοῦ ἔλεγε πῶς θὰ τὸν φονεύσῃ μὲ τὴν δύναμιν τῆς πίστεώς του.

Ὅθεν καὶ ἐπαῤῥησιάσθη δεύτερον εἰς τὸν Πρόξενον, καὶ ἐζήτει κατὰ τὴν ἀπόφασίν του νὰ τὸν βιάσῃ νὰ πολεμήσουν, καὶ ἐκείνου παραιτουμένου, ἐκηρύχθη παρὰ πάντων νικητὴς ὁ Ἀγγελῆς. ἢ μᾶλλον εἰπεῖν ἡ θεία πίστις ἡμῶν, καὶ νενικημένος ὁ ἄθεος Φραντσέζος, ὅθεν καὶ μὲ κρίσιν τοῦ Προξένου ἐπλήρωσε καὶ τὰ ἔξοδα τῆς Πρεσβείας, διὰ τὸ γράμμα ὅπου ἔκαμον. Ἐὰν ἦτο μέχρι λόγων ἡ φιλονεικία των, καὶ μοναχοὶ οἱ δύο ἐσυγχρούοντο, καὶ ἤθελε παραιτήσει ὁ Φραντσέζος, ἠμπόρει νὰ εἰπῇ τις, ὅτι δὲν κατεδέχθη νὰ πιασθῇ μὲ ἕνα τοιοῦτον, καὶ νὰ βάλῃ εἰς κίνδυνον τὴν ζωήν του χωρὶς ἀνάγκην· ἀλλ' ὅταν δὲν ἦτο λογομαχία μόνον ἀναμεταξύ των, ἀλλὰ καὶ παράστασις εἰς τὸν Πρόξενον καὶ κρίσις καὶ ἀπόφασις ἔγγραφος, καὶ ἔπειτα παραίτησις τόσον ἄτιμος καὶ ἐκνενίδιστος, ποῦ ἔχει τόπον πλέον αὐτὴ ἡ πρόφασις ὅτι καταφρονῶν αὐτὸν τάχα παρῄτησεν; Θεόθεν λοιπὸν ἦτο ὁ φόβος καὶ ἀπὸ τὸν φόβον ἐκεῖνον καὶ ὁ ἄθεος κατρηχύνθη, καὶ ὁ Ἀγγελῆς δὲν ἔγινεν ἀνθρωποκτόνος. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; αὕτη ἡ νίκη, κατὰ τὸν ἐπιστήθιον Μαθητήν, ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Πῶς διώκεται εἰς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτούς, καὶ ὁ Κύριος παρέδωκεν αὐτούς; Πῶς ὁ καλὰ ἁρματωμένος, ἐὰν ὁ Θεὸς δὲν ἤθελε τοῦ ταράξει τὴν καρδίαν καὶ τὰς φρένας του, καὶ ἐὰν δὲν ἔπιπτεν εἰς αὐτὸν φόβος καὶ τρόμος ἀπὸ τὸ μέγεθος τοῦ θείου βραχίονος, ἤθελε φοβηθῆ τόσον ὑπέρμετρα τὸν ὅλως ἀναρμάτωτον;

Τὶ τὰ μετὰ ταῦτα; ἔκτοτε καὶ εἰς τὸ ἑξῆς (λέγουσιν οἱ φίλοι καὶ γνωστοί του) παρῄτησεν ὁ Ἀγγελῆς τὴν ἰατρικὴν καὶ κάθε συναναστροφὴν ἀνθρώπων, καὶ κάθε ἄλλο τι καὶ ἐκάθητο ἥσυχος εἰς τὸ σπῆτί του, μέσα εἰς τὸ Πασᾶ χάνι, χωρὶς νὰ θέλῃ νὰ ἔβγῃ πλέον ἔξω, μόνον δύο φίλοι του τὸν ἔβλεπον, καὶ τὰ πρὸς ζωοτροφίαν τοῦ ἔφερον, καὶ νομίζοντες τὴν ἡσυχίαν του μελαγχολίαν καὶ ὑποχονδρίαν, ἐδοκίμαζον μὲ διαφόρους τρόπους νὰ διασκεδάσουν τοὺς λογισμούς του καὶ νὰ ἀποβάλλουν τὴν φαινομένην ὑποχονδρίαν του. Ὁ δὲ Ἀγγελῆς ἔλεγε πρὸς αὐτούς· «μὴ κοπιάζετε ματαίως καὶ ἀλλάξετε τὸν λογισμόν μου, ἐπειδὴ ἔκαμα ἀπόφασιν στερεὰν νὰ μαρτυρήσω ὑπὲρ Χριστοῦ καὶ νὰ χύσω τὸ αἷμά μου ὑπὲρ τῆς ἁγίας μου πίστεως, διὰ νὰ δείξω τὴν θείαν της δύναμιν. Πολλὰ καὶ διάφορα τοῦ εἶπον διὰ νὰ τοῦ βγάλουν τὸν λογισμὸν τοῦ μαρτυρίου, ἀλλὰ δὲν ἠδυνήθησαν. Οἱ δύο φίλοι του ἐκεῖνοι καὶ τότε μελαγχολίαν ἐνόμιζον τὴν ἡσυχίαν καὶ σιωπὴν ἐκείνην καὶ τὴν παραίτησιν τῆς ζωῆς του καὶ τὴν πρὸς τὸ μαρτύριον ὁρμήν του, καὶ ὕστερον ὁποῦ μᾶς ἔγραψαν τὰ ἀνωτέρω εἰρημένα, μελαγχολίαν τὴν γράφουσιν, ἐγὼ δὲ ἐπέχω καὶ δὲν τὴν ἀποφασίζω μελαγχολίαν τὰ πρότερα ἐκεῖνα. Τὶ δὲ νὰ εἴπω διὰ τὸ ἀπευκταῖον καὶ ἀνέλπιστον ἐκεῖνο ὁποῦ ἔκαμεν ὕστερον, ἀπορῶ, καὶ εἰς βάθος ἀμηχανίας ἐμπίπτω, καὶ ποίαν κρίσιν νὰ κάμω δὲν ἠξεύρω· ἐπειδὴ ἐκεῖνος ἦ τόσον ζηλωτὴς τῆς πίστεως, ὁ κατὰ μόνας καὶ καθ' ἡσυχίαν μελετῶν τὸν ὑπὲρ Χριστοῦ θάνατον, καὶ τὰ μαρτυρικὰ στίγματα φανταζόμενος νύκτα καὶ ἡμέραν ἐπάνω εἰς τὸ σῶμά του, ὁ τοιοῦτος, λέγω, στρέφων αὐτοὺς τοὺς λογισμοὺς τοῦ μαρτυρίου μόνος του μέσα εἰς τὸν νοῦν του, καὶ ἔχων ὑπερηφάνους λογισμοὺς πῶς τάχα ἐνίκησε τὸν ἄπιστον μὲ τὴν πρὸς τὸν Χριστὸν ἀδίστακτον πίστιν του, ἐγκατελείφθη ἀπὸ τὸν Θεὸν τὸν μισοῦντα τοὺς ὑψηλόφρονας καὶ οὕτως εὗρῶν τρόπον, καὶ ἐπιτήδειον καιρὸν ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος, τὸν ἐπλάνησεν (ἐγελάσθην ἔλεγεν ἐξομολογούμενος), τὸν ἐπλάνησε, λέγω, νὰ τουφεκύσῃ, διὰ νὰ λάβῃ τάχα ἀφορμὴν νὰ μαρτυρήσῃ· ὅθεν φεῦ τοῦ ἀνελπίστου κακοῦ! εἰς τὰ 1813 τῷ Σαββάτῳ τοῦ Δικαίου Λαζάρου, ἐξυρίσθη, ἔπειτα ἔβγαλε τὸ καπέλον ὁποῦ ἐφόρει καὶ ἔβαλε φέσι, καὶ ἓν μανδήλιον εἰς τὴν κεφαλήν του, καὶ ἐπῆγε χωρὶς καμμίαν βίαν ἢ παρακίνησιν, καὶ ἐζήτει νὰ τουρκεύσῃ, καὶ ἐκεῖ πάλιν μὲ ὅλον ὁποῦ δὲν τὸν ἐδέχθησαν παντελῶς νὰ τὸν κάμουν προσήλυτον εἰς τὴν πίστιν των, ἀλλὰ τὸν ὕβριζον καὶ τὸν ἐδίωκον, μὲ ὅλον τοῦτο, ὅ,τι καὶ ἂν τοῦ ἔκαμον, αὐτὸς δὲν ἔφευγεν ἐκεῖθεν, ἕως ὁποῦ τοὺς ἔκαμε καὶ τὸν ἐδέχθησαν, καὶ ἐξώμωσε φεῦ! τὴν ἁγίαν πίστιν τοῦ Χριστοῦ· ὅμως καὶ μετὰ τὴν ἄρνησιν δὲν ἤλλαξε τὸν ἀπ' ἀρχῆς σκοπόν του, ἀλλὰ ἔκαμνεν ἄτακτα κινήματα, διὰ νὰ δώσῃ ἀφορμὴν νὰ τὸν σύρουν εἰς κρίσιν, νὰ ὁμολογήσῃ ὅτι εἶναι χριστιανός. Ὅθεν καὶ μελαγχολικὸν καὶ ὑποχονδριακὸν τὸν ἐνόμιζον· ὅτι μίαν ἡμέραν πηγαίνει εἰς τὴν ταβέρναν ἑνὸς ἀπὸ τοὺς προῤῥηθέντας φίλους του, καὶ ἐζήτησε νὰ τὸν κεράσῃ, καὶ ἀφ' οὗ ἔπιε, τὸν ἐρωτᾷ ὁ φίλος του διατί φορεῖς πιστόλαν· καὶ αὐτὸς ἀπεκρίθη, τὴν φορῶ διὰ νὰ σὲ σκοτώσω· καὶ εὐθὺς μὲ τὸν λόγον, ἐτράβηξε τὴν πιστόλαν ἐπάνω εἰς τὸν ἄνθρωπον, καὶ βλάβην καμμίαν δὲν τοῦ ἔκαμεν, ἔκαψεν ὅμως μέρος ἀπὸ τὸ φόρεμά του· καὶ τοῦτο ἐστάθη αἰτία ὁποῦ τὸν ἐδίωξαν ἐκεῖθεν οἱ ἐξουσιασταὶ ὡς τρελλόν, καὶ τὸν ἔστειλαν εἰς τὴν Χίον.

Ἀλλὰ καὶ εἰς τὴν Χίον τί ἦτον τῇ ἀληθείᾳ, δὲν ἠδυνήθη τις νὰ τὸν καταλάβῃ· ἐπειδὴ ὅπου εὑρίσκεν Ἐκκλησίαν ἀνοικτήν, ἔμβαινε μέσα, καὶ μὲ τὴν ροὴν τῶν δακρύων του κατέβρεχε τὸ ἔδαφος τῆς Ἐκκλησίας, ἐμετάνιζεν, ἐκτύπα ἄπονα καὶ ἀλύπητα τὴν κεφαλήν του εἰς τὰ μάρμαρα τοῦ ἐδάφους, καὶ τόσον ὁποῦ καὶ μακρόθεν ἠκούετο ὁ κτύπος τοῦ μετώπου του εἰς τὰ μάρμαρα, ἠσπάζετο μὲ πολλὴν εὐλάβειαν τὰς ἁγίας εἰκόνας· πολλάκις δὲ, ὅταν δὲν ἦτο καιρὸς τῆς ἀκολουθίας, ἔλεγε τόσον κατανυκτικὰς εὐχὰς πρὸς τὸν Χριστόν, πρὸς τὴν Παναγίαν, καὶ

εἰς τοὺς Ἁγίους, ἐξαιρέτως δὲ εἰς τοὺς Μάρτυρας, ὁποῦ πολλοὶ ἐθαύμαζον πῶς τὰ προσήρμοζε καὶ τὰ ἔλεγεν, ὡσὰν νὰ τὰ εἶχεν ἀποστηθισμένα, καὶ τοὺς ἀκούοντας εἰς οἶκτον ἐκίνει καὶ δάκρυα. Ἄλλην φορὰν εἰσῆλθεν εἰς μίαν Ἐκκλησίαν, καὶ ἐπειδὴ ὁ ἐφημέριος φοβηθεὶς τὸν ἔβγαλεν ἔξω, ἐφοβέριζε νὰ τὸν φονεύσῃ· ἄλλοτε πάλιν ἔδιδε λειτουργίας εἰς τοὺς ἱερεῖς, ἐμοίραζεν ἐλεημοσύνην εἰς τοὺς πτωχοὺς νὰ παρακαλοῦν τὸν Θεὸν δι' αὐτόν· ἄλλην φορὰν ὅπου εὗρισκε συναγμένους χριστιανούς, ἐπήγαινε καὶ τοὺς ἔλεγε νὰ παρακαλοῦν τὸν Θεὸν διὰ νὰ τελειώσῃ τὸν ἀγῶνα του, καὶ ἔπειτα ἂν τοῦ ἔλεγον, καλότυχος ἐσὺ ὁποῦ μελετᾷς τοιοῦτον ἔργον, ἢ ἄλλο τι νὰ τὸν ἐπαινέσουν, ἀγρίευε καὶ πότε τοὺς ὕβριζε, πότε τοὺς ἐφοβέριζεν· ἐκεῖ ὁποῦ ἔλεγε φρόνιμα καὶ συνετὰ λόγια, ἂν κατελάμβανε πῶς τὸν περιεργάζονται, ἄφινε τὴν ὁμιλίαν, καὶ ἔλεγεν ἄλλα ἀντ' ἄλλων. Μίαν φορὰν βλέπων ἕνα Χριστιανὸν μεθυσμένον νὰ φλυαρῇ, τοῦ ἔδωκεν ἕνα βιρὶν πάτσαν εἰς τὸ στόμα διὰ τὸν ὁποῖον μάλιστα καὶ τινές, ὁποῦ τὸν εἶχον ὀπωσδήποτε εἰς εὐλάβειαν, ἐσκανδαλίσθησαν· αὐτὸς δὲ εὑρίσκων τὴν ἄλλην ἡμέραν ἐκεῖνον ὁποῦ ἔδειρε, τοῦ λέγει, «ἐγὼ εἶμαι χριστιανός, καὶ ὡς χριστιανὸς δὲν ἔδειρα σὲ τὸν ὁμόπιστόν μου, ἀλλὰ ἔδειρα τὸν διάμονα ὁποῦ ἐκάθητο εἰς τὰ χείλη σου, καὶ ἔλεγε τὰ λόγια ἐκεῖνα, ὁποῦ δὲν πρέπει νὰ λέγουν οἱ χριστιανοί.

Ἐκάθησε μίαν φορὰν ἐν ἡμέραις ραμαζανίου ὑποκάτω εἰς ἕνα τουρκικὸν σπῆτι, καὶ ἐζήτησε νερὸν ἀπὸ μίαν χριστιενὴν καὶ ἔπιε, ἔπειτα ἤναψε τὸ τσιμπουκάκι του καὶ ἔπινε καπνόν, καὶ ἔλεγεν ἐκεῖ ἐνώπιον πολλῶν ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων πῶς εἶναι χριστιανός, καὶ μέλλει νὰ μαρτυρήσῃ ὑπὲρ Χριστοῦ, καὶ νὰ καταισχύνῃ τὴν τουρκικὴν πίστιν, καὶ ἄλλα παρόμοια. Ὁ Τοῦρκος, ὁ οἰκοκύρης τῆς οἰκίας, βλέπων αὐτὸν ἄνωθεν νὰ πίνῃ καπνὸν καὶ νὰ λέγῃ καὶ τοιαῦτα λόγια, ὧν δὲ καὶ δαιμονισμένος ἀπὸ τὸ ραμαζάνι, ὥρμησεν ὡς θηρίον ἄγριον, καὶ ἁρπάζων τὴν πιστόλα τοῦ Ἀγγελῆ ἀπὸ τὴν ζώνην του, τὸν ἔδερνε μὲ τὴν πιστόλαν ὅπου ἔφθανεν, ἕως ὅτου ἐχόρτασε τὴν θηριώδη του μανίαν ὁ ἀλιτήριος· ὁ δὲ εὐλογημένος Ἀγγελῆς οὔτε ὠμίλησε ποσῶς, οὔτε μετεκινήθη ἀπὸ τὸ κάθισμά του, ἀλλ' ἦτον ὡς ἀμνὸς ἄκακος, ἐναντίον τοῦ κήραντος αὐτὸν ἄφωνος, καὶ ὡσεὶ ἄνθρωπος ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Μετὰ τὸν σκληρὸν ἐκεῖνον δαρμόν, καὶ τὴν ἀναχώρησιν τοῦ ἀσεβοῦς ἐπῆγεν εἰς ἱερεύς γνώριμός του καὶ τοῦ λέγει, «ἴδου καιρὸς ἁρμόδιος νὰ παρουσιασθῇς λέγων, «ἐπειδὴ οἱ Τοῦρκοι μὲ δέρνουν καὶ μὲ ἀτιμάζουν, δὲν στέργω πλέον νὰ εἶμαι εἰς τὴν πίστιν σας, ἀλλὰ εἶμαι χριστιανός, ὡς καὶ πρότερον, καὶ ὅ,τι θέλετε μὲ κάμετε, ἕτοιμος εἶμαι καὶ νὰ ἀποθάνω διὰ τὸν Χριστόν». Αὐτὰ τοῦ εἶπεν ὁ ἱερεύς, ὁ δὲ μακάριος Ἀγγελῆς δὲν ὠμίλησεν, ἀλλὰ ἐσήκωσε τὴν χεῖρά του εἰς τὸν οὐρανόν, ἐννοῶν μὲ τοῦτο, πῶς ὅταν ἔλθῃ τοῦ Κυρίου τὸ θέλημα, τότε ἂς γίνῃ αὐτὸ ὁποῦ μὲ συμβουλεύεις. Τὴν αὐτὴν ὥραν ἐκίνησε καὶ ἔκαμεν μίαν εὐχάριστον δοκιμήν, ἂν ἔφθασεν ἡ ὥρα, καὶ τὸ θέλημα τοῦ Θεοῦ· ἦτον ραμαζάνι, καθὼς εἴπομεν, καὶ αὐτὸς ἐπῆρε ψωμὶ καὶ τυρὶ καὶ κρασί, καὶ ἐπῆγεν εἰς τὴν πόρτα τοῦ Μεχκεμὲ· καὶ ἤπλωσε τὸ μανδῆλιον του ὡς τράπεζαν, καὶ κάθηται ἐκεῖ ἀμέριμνα καὶ ἄφοβα, καὶ τρώγει καὶ πίνει. Ἔμβαινον, ἔβγαινον πολλοὶ Ἀγαρηνοί, ἀλλ' οὐδεὶς δὲν τοῦ εἶπε τί ποιεῖς ὦ οὐκ ἔξεστι· ἄνθρωτε τί κάμνεις· τρώγεις ὁποῦ τώρα εἶνε ῥαμαζάνι· κρασὶ πίνεις ὁποῦ εἶσαι Τοῦρκος· καὶ μὲ τόσην αὐθάδειαν ἐμπρὸς εἰς τὴν πόρταν τοῦ Μεχκεμέ, οὐδεὶς, λέγω, δὲν τοῦ εἶπε τίποτε· ὅθεν ἐσηκώθη καὶ πηγαίνων παρέκει, λέγει εἰς μερικοὺς χριστιανοὺς «δὲν ἦλθεν ἀκόμη ἡ ὥρα».

Εἴπομεν ἀνωτέρω, ὅτι πάντας τοὺς ἁγίους ἐπεκαλεῖτο εἰς βοήθειαν, μάλιστα δὲ τοὺς Μάρτυρας, εἶχεν ὅμως μίαν ὑπερβάλλουσαν ἀγάπην καὶ πόθον διάπυρον καὶ εὐλάβειαν ὑπερέξοχον εἰς τὸν ἐν Ἱεράρχαις θαυματουργὸν Ἅγιον Μακάριον, τὸν Ἀρχιεπίσκοπον πρώην Κορίνθου, τὸν ἐν τῇ Χίῳ διαλάμψαντα, καὶ πρὸ ὀλίγων χρόνων δοξασθέντα παρὰ Θεοῦ, ὅθεν συχνὰ ἐπήγαινε καὶ ἔπιπτε προύμπτα ἐπάνω εἰς τὸν ἱερὸν αὐτοῦ τάφον, καὶ μὲ τὰ δάκρυά του τὸν ἔβρεχε καὶ μὲ πολλὰ κρούσματα τῆς κεφαλῆς του εἰς τὸν λίθον τοῦ μνήματος ἐβέτο τοῦ Ἁγίου, καὶ ἔλεγεν «Ἅγιε τοῦ Θεοῦ, καθὼς ζῶν ἀδήγησας εἰς τὸ μαρτύριον τὸν Νεομάρτυρα Πολύδωρον τὸν Κύπριον, καὶ Θεόδωρον τὸν Βυζάντιον, καὶ Δημήτριον τὸν Πελοποννήσιον, καὶ ἄλλους πολλοὺς ἐξομώτας εἰς ὁδὸν μετανοίας ὡδήγησας, οὕτω καὶ μετὰ θάνατον, μάλιστα τώρα ὁποῦ μετὰ παρρησίας Ἱεραρχικῆς πρίστασαι ἐνώπιον τοῦ θρόνου τῆς Θείας Μεγαλειότητος, ἐνδυνάμωσον καὶ ἐμὲ τὸν ἀνάξιον εἰς τὸ ὑπὲρ Χριστοῦ μαρτύριον, καὶ ἀξίωσόν με νὰ τελειώσω τὸν καλὸν ἀγῶνα τῆς ἀθλήσεως. Ἀλλὰ ἐκεῖ ὁποῦ ἐφαίνετο ἔνδακρυς, καὶ οἱ ἀναστεναγμοί του ἦτον σχεδὸν ἀκατάπαυστοι, ἔκαμνε κάποιαν τρέλλαν, καὶ ἐσκέπαζε τὴν ἐνγνῶσει ἀρετήν του, καὶ δὲν ἤξευρέ τις τί νὰ τῷ εἰπῇ, τρελλὸν ἢ φρόνιμον· καθὼς μίαν ἡμέραν, ἀφ' οὗ ἔκλαυσε πικρῶς καὶ ἔκρουσε πολλάκις τὴν κεφαλήν του ἐπάνω εἰς τὸ ἱερὸν μνῆμα, καὶ ἔτυψε τὸ στῆθός του ὡς ὁ τελώνης, τότε ἐζήτησε νὰ τῷ φέρουν ἓν ὀρνίθιον· τὸ ἔφεραν νομίσαντες ὅτι θέλει νὰ τοῦ τὸ ἑτοιμάσουν διὰ φαγητόν, τὸ ἐπλήρωσεν, ἔπειτα, λέγει, ποῖος εἶναι ἐπιτήδειος νὰ τοῦ κόψῃ τὸ κεφάλι μὲ μίαν· τὸ ἔκοψε μὲ μίαν εἰς νέος, ἔπιασεν αὐτὸς τὸ πουλὶ ἀπὸ τὸ ἓν χέρι, καὶ ἀπὸ τὸ ἄλλο τὸ κεφάλι, καὶ βλέπων εἰς τὸν οὐρανόν, ἐφώναξε μὲ κλαυθμηρὰν φωνήν, οὕτω Χριστέ μου νὰ χωρισθῇ καὶ τὸ ἰδικόν μου κεφάλι μὲ μίαν ἀπὸ τὸ σῶμά μου· ἔπειτα τὸ ἔρριψε μακράν, καὶ οὔτε ἐκεῖνος τὸ ἔφαγεν, οὔτε ἄλλος. καὶ τοῦτο βλέποντες οἱ παρόντες, ὅσοι ἐνατίλαβαν ὅτι ἀποφασιστικὰ ἑτοιμάζεται εἰς τὸν ὑπὲρ Χριστοῦ θάνατον, ἐδάκρυσαν· ὅσοι δὲ τὸ ἐνόμισαν παιγνίδι καὶ ἀστεῖον, ἐγέλασαν.

Ἐσύγναζε πολλάκις εἰς ἓν ἐξωκκλήσιον, καὶ ἔβλεπεν ἐκεῖ ἕνα Πνευματικόν, ὥστις ἐθαύμαζε τὴν κατάνυξίν του, τὰ δάκρυά του, τοὺς ἐκ βάθους στεναγμούς του τὴν συντριβὴν τῆς καρδίας του, τὴν ἐγκράτειάν του, τοὺς οὐρανοφόρους λογισμούς του. Ἔτυχε, λέγει, πολλάκις εἰς τὴν συνομιλίαν μας καὶ ἔμενεν ὁ ἄνθρωπος ὥραν ἱκανὴν ὡσὰν ἐκστατικός, καὶ δὲν συμπεραίνω ἄλλο, ἔλεγεν, ἀπὸ τὰ φαινόμενα ἐκεῖνα, παρὰ ὅτι ἐγίνετο θεόληπτος, καὶ ἡρπάζετο ὁ νοῦς του εἰς θείαν θεωρίαν· ἔπειτα μὲ ταπεινὴν φωνὴν

ἔλεγε, «Χριστέ μου, ἐσὺ τὰ ἠξεύρεις ὅλα μου· φθάνει, διὰ πλέον, φθάνει· δὲν ἠμπορῶ πλέον δὲν ἠμπορῶ, ἕως πότε νὰ γίνῃ, τὸ θέλημά σου». Ἐδοκίμασα, μᾶς ἔλεγεν ὁ Πνευματικός, μερικαῖς φοραῖς νὰ τὸν κάμω νὰ μοῦ φανερώσῃ κανένα μυστικὸν λογισμόν του, κανὲν πνευματικὸν πάθημα, ἤγουν θεωρίαν ἢ ἀποκάλυψιν, καὶ εὐθὺς μετέβαινεν εἰς ἄλλην ὁμιλίαν· ἄλλοτε ἔλεγε «τὶ πειράζεις ἕνα ἁμαρτωλὸν καὶ τρελλὸν ἄνθρωπον· πεινῶ, ἔχεις τίποτε νὰ μὲ δώσῃς νὰ φάγω»· Μὲ τοιαύτην πεπλασμένην μωρίαν, ἐπέρασεν ἐδῶ εἰς τὴν Χίον ὁ θεόσοφος καὶ θεόπνευστος Ἀγγελῆς, μῆνας ἓξ, ἕως ὁποῦ ἦλθε τοῦ Κυρίου τὸ θέλημα διὰ νὰ παῤῥησιασθῇ, καθὼς ἐδέετο καὶ παρεκάλει πρὸ τοῦ δὲ νὰ παῤῥησιασθῇ, τρεῖς ἡμέρας ἀπεχωρίσθη ἀπὸ τὴν συναναστροφὴν τῶν πολλῶν, καὶ περιεπάτει μόνος του, σύννους, σιωπῶν, καὶ ἐγνωρίζετο ὅτι εἰς μεγάλην καὶ ὑψηλὴν θεωρίαν εὑρίσκετο. Ἀφ' οὗ δὲ ὡμολόγησεν ὅτι ἐχλευάσθη καὶ ἐξεγελάσθη ὑπὸ τοῦ δολίου δαίμονος, καὶ ἐγνώρισε τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ μετενόησε καλῶς, καὶ ἔκλαυσε πικρῶς τὴν ἄρνησίν του ὡς ὁ Πέτρος καὶ κατεσυντρίβη ἀπὸ τὰ κτυπήματα, καὶ ἀπεκρέμασεν ὅλην του τὴν ἐλπίδα εἰς τὸν Θεόν, τότε καὶ ὁ Θεός, ὁ θέλων πάντας σωθῆναι, τὸν ἠξίωσε τοῦ ποθουμένου.

Ὁ δὲ τρόπος, μὲ τὸν ὁποῖον εἰσῆλθεν εἰς τὸ στάδιον τοῦ Μαρτυρίου, ἐστάθη τοιοῦτος· ἐπῆγε κρυφίως εἰς ἕνα Χριστιανόν, καὶ ἐξύρισε τὰ γένειά του, ἔπειτα ἦλθεν εἰς τὸ Τελωνεῖον καὶ ἐκεῖ βλέποντες αὐτὸν οἱ Ἀγαρηνοὶ χωρὶς γένεια, τὸν ἠρώτησαν, «τὶ εἶνε αὐτὸ τὸ σημεῖον· ποῦ εἶνε τὰ γένειά σου· πῶς τὰ ἐξύρισες»· καὶ αὐτὸς χαμογελῶν ἀπεκρίθη, «ἐν ὅσῳ ἤμην Τοῦρκος τὰ εἶχον, ἐπειδὴ τὰ ἔχουν οἱ Τοῦρκοι εἰς τιμήν, τώρα δὲ ὁποῦ εἶμαι Χριστιανός, καθὼς ἤμην καὶ πρότερον, τὰ ἔκοψα ὡς περιττὰ καὶ ἄχρηστα, ἐπειδὴ εἰς τὸν τόπον τοῦτον δὲν συνηθίζουν οἱ Χριστιανοὶ νὰ ἔχουν γένεια».

Ταῦτα ἀκούσαντες ἐκεῖνοι ἐδοκίμασαν πρῶτον μέσα εἰς τὸ Τελωνεῖον μὲ διαφόρους τρόπους νὰ τὸν διορθώσουν τάχα, ἀλλ' ὅσον ἐκεῖνοι ἐπάσχιζον νὰ μεταβάλουν τὴν γνώμην του, τόσον αὐτὸς μὲ παῤῥησίαν καὶ ἐλευθερίαν καὶ ἀφοβίαν ἐκήρυττε πῶς εἶνε Χριστιανός, καὶ ἠρνεῖτο τὴν ἰδικήν του θρησκείαν. Λοιπὸν ἔδωκαν εἴδησιν τοῦ Γιανιτσαραγᾶ, καὶ ἔστειλε νὰ τὸν πάρουν μέσα εἰς τὸ Κάστρον. Ἔτυχε δὲ νὰ εἶνε ἡ ὥρα ὁποῦ συνήρχοντο νὰ προσκυνήσουν τὸ πλῆθος τῶν Ἀγαρηνῶν εἰς τὸ τζαμί, ὁποῦ εἶνε κοντὰ εἰς τὸ Τελωνεῖον. Λοιπὸν ἠθέλησαν νὰ τὸν ἀνεβάσουν βιαίως ἐπάνω εἰς τὸ τζαμί, καὶ τότε βλέποντες τὸ πλῆθος, πῶς δὲν ἤθελεν, ὥρμησαν ἐπάνω του πολλοὶ ὡς ἄγρια θηρία, καὶ ἄλλοι σύροντες ἔμπροσθεν, ἄλλοι σπρώχνοντες ὄπισθεν, ἄλλοι δέροντες ἀσπλαγχνα, ὅπου ἔφθανε καθ' εἷς, τὸν ἔβλαζον νὰ τὸν ἀναβιβάσουν· ἐκεῖνος δὲ ὁ δολίδιμος ἐφώναξε «θανατώσετέ με ταύτην τὴν ὥραν, δὲν ἀναβαίνω εἰς τὸ τζαμί, ἐπειδὴ εἶμαι Χριστιανός;». Λοιπὸν τὸν ἔφεραν μέσα εἰς τὸ Κάστρον, καὶ τὸν ἔβαλαν σιδηροδέσμιον εἰς τὴν σκοτεινὴν φυλακήν.

Τὶ ἔκαμον, καὶ πῶς τὸν ἐβασάνισαν τὴν νύκτα ἐκείνην πολλὰ λέγουσι, πλὴν κανὲν δὲν γράφομεν, διότι δὲν ἠξεύρομεν ἀκριβῶς τὴν ἀλήθειαν, καὶ λέγομεν μόνον τὰ ἀκόλουθα τῆς διηγήσεως.

Τὴν ἄλλην ἡμέραν τὸν ἐξέβαλον ἀπὸ τὴν σκοτεινὴν φυλακὴν τοῦ Κάστρου, καὶ τὸν ἔφεραν εἰς τὸ κονάκι τοῦ Μουσελίμη, καὶ ἐκεῖ συνελεύσεως τῶν Ἀγάδων γενομένης, παρεστάθη ὁ Μάρτυς τῆς ἀληθείας εἰς δευτέραν ἐξέτασιν καὶ ἐπειδὴ ὅσα καὶ ἂν τοῦ εἶπον κολακευτικὰ καὶ φοβεριστικά, δὲν ἐστάθη τρόπος νὰ μεταβάλλουν τὴν γνώμην του, τὸν ἐφυλάκισαν πάλιν, καὶ ἔβαλον τοὺς πόδας του εἰς τὸ τουμπροῦκι καὶ τὴν ἀκόλουθον ἡμέραν, βλέποντες τὸ ἀμετάθετον τῆς γνώμης του, τὸν ἔβγαλαν ἀντικρὺ τοῦ κονακίου εἰς τόπον λεγόμενον Βουνάκι, καὶ καθὼς ἐζήτησε καὶ ἔκοψαν μὲ μίαν τὸ κεφάλι, τοῦ ὁ νιθίου, ἔπειτα ἐφώναξε μετὰ δακρύων, οὕτω Χριστέ μου νὰ κοπῇ μὲ μίαν καὶ τὸ ἰδικόν μου κεφάλι, οὕτω καὶ ἐγένετο, ὅτι εὐθὺς μὲ μίαν τὴν πρώτην ἀπετμήθη ἡ πάντιμος αὐτοῦ κεφαλή, καὶ ἔλαβε τοῦ Μαρτυρίου τὸν στέφανον, εἰς τὰ 1813. Δεκεμβρίου 3, καὶ τότε ἀπεκαλύφθησαν ἐκ πολλῶν καρδιῶν διαλογισμοί, καὶ ὅλοι ἐπληροφορήθησαν καὶ ἐβεβαιώθησαν, ὅτι οὔτε ὑποχονδριακὸς ἦτον, οὔτε τρελλός, ἀλλὰ ἦτον ἄνθρωπος φρόνιμος, συνετός, θεόφρων, καὶ ὅλα ἐκεῖνα τὰ ἔκαμνε θελητικῶς, καθὼς τὸ πάλαι ὁ μακάριος Συμεὼν ὁ διὰ Χριστὸν Σαλός.

Ἔμενε δὲ τὸ μαρτυρικὸν σῶμα εἰς τὸν τόπον τῆς καταδίκης τρία ἡμερονύκτια, καὶ συνέτρεχον εἰς τὴν ἁγίαν θεωρίαν τοῦ σεβασμιωτάτου προσώπου του, (ὅτι κατὰ ἀλήθειαν πολλὴν σεβασμιότητα εἶχε καὶ χάριν θείαν) τὰ πλήθη τῶν Χριστιανῶν, ἄνδρες καὶ γυναῖκες, μικροὶ καὶ μεγάλοι, ἱερεῖς καὶ λαϊκοί, καὶ ὅσοι ἠδυνήθησαν, ἔλαβαν ἐξ αὐτοῦ μὲ δόσιν χρημάτων, ἄλλος τρίχας, ἄλλος φόρεμα, ἄλλος κρέας, καὶ ἄλλος αἷμα εἰς ἁγιασμόν των· τινὲς δὲ καὶ χιλιάδας γρόσια ἔταξαν, καὶ μεσίτας ἔβαλον διὰ νὰ τὸ ἀγοράσουν ὅλον, καὶ ἐπένευσαν νὰ τὸ δώσουν, ἀλλὰ κρίμασιν οἷς οἶδε Κύριος, δὲν ἠξιώθησαν τοῦ ποθουμένου, ἐπειδὴ τὴν ὥραν ἐκείνην ὥρμησεν εἰς ἱερεύς, καὶ ἁρπάσας τὴν ἁγίαν του κάραν, τὴν ἠσπάζετο ἔμπροσθεν τῶν Ἀγαρηνῶν, καὶ ἐκ τούτου σκληρυνθέντες, ἐσήκωσαν παρευθὺς τὸ Ἅγιον Λείψανον, ὁμοῦ καὶ τὸ χῶμα ὁποῦ ἦτον ὑποκάτω του, καὶ τὸ ἐῤῥίψαν εἰς τὴν θάλασσαν εἰς 25 ὀργυιὰς βάθος τοῦ πελάγους, τὸ ὁποῖον ἐδοκίμασαν τὴν νύκτα νὰ τὸ βγάλουν τινὲς φιλομάρτυρες, ἀλλὰ δὲν ἠδυνήθησαν.

Τοιαύτη ἐστάθη ἡ πρὸ τοῦ Μαρτυρίου ζωὴ καὶ πολιτεία τοῦ ἁοιδίμου Ἀγγελῆ, ὡς ἠκούσατε, χριστιανικὴ δηλονότι καὶ εὐαγγελική, ἀλλὰ μὲ τὸ νὰ μὴν ἐφύλαξε τὴν παραγγελίαν τοῦ Ἀποστόλου Παύλου, τὴν λέγουσαν, «ὃ » δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ», μὲ τὸ νὰ ἔτρεχε τὸ θάῤῥος του εἰς τὸν ἑαυτόν του, καὶ μὲ τὸ νὰ μὴν ἐδέχθη ἄλλου τινὸς τὴν συμβουλήν, ἔπεσε πτῶμα ἐλεεινόν, καὶ ὁ προγνώστης Θεὸς προγινώσκων τὰ μέλλοντα, παρεχώρησε πρὸς ὀλίγον διὰ νὰ τὸν ταπεινώσῃ, (ὅτι κατὰ τοὺς θείους Πατέρας καλλίτερα ἔχει ὁ Θεὸς ἁμαρτωλὸν ταπεινόν, παρὰ δίκαιον ὑπερήφανον) καὶ ἀφ' οὗ, ὡς εἴρηται, ἐταπεινώθη καὶ μετενόησε, καὶ ὅλην του τὴν ἐλπίδα ἀπεκρέμασεν εἰς τὴν θείαν βοήθειαν, τότε οὐ μόνον ἐκ τοῦ πτώματος τῆς ἀγνήσεως τὸν ἠνώρθωσεν, ἀλλὰ καὶ εἰς τὸ ὕψος τῆς μαρτυρικῆς δόξης τὸν ἀνύψωσε.

Τώρα δι'ἓν τοιοῦτον, ὅ,τι λογῆς εἶναι ὁ μακάριος Ἀγγελῆς, τίς ἀμφιβάλλει, καὶ τίς δὲν τὸν ὁμολογεῖ ὄντως θεῖον Μάρτυρα, καὶ μαρτυρικῆς τιμῆς ἄξιον; φαίνεταί μοι οὐδείς, ἐκτὸς μόνον ἐὰν ἦναι τις ἀμαθὴς καὶ δὲν ἠξεύρει τὰς ἐκκλησιαστικὰς ἱστορίας. Δὲν ἑορτάζει ἡ Ἐκκλησία καὶ μαρτυρικῶς δοξάζει τὸν Πέρσην Ἰάκωβον; δὲν κηρύττει Μάρτυρας τὸν Παγχάριον, τὸν Μείρακα, τὸ πλῆθος τῶν Χριστιανῶν, ὁποῦ διὰ τὸν φόβον τῶν βασάνων ἐξώμοσαν, καὶ ἔπειτα ἀπὸ νουθεσίαν τοῦ Μεγαλομάρτυρος Κοδράτου ὡμολόγησαν πάλιν τὸν Χριστόν, καὶ ἀπέθανον ἐν τῇ ὁμολογίᾳ τῆς Πίστεως; Δὲν φαίνονται τοιαῦτα παραδείγματα πάμπολλα εἰς τὰς Ἐκκλησιαστικὰς Ἱστορίας; Ὄντως λοιπόν, ὄντως Μάρτυρες παναληθέστατοι εἶναι οὗτοι ἅπαντες οἱ ἀρνηθέντες, ἔπειτα μαρτυρήσαντες, σὺν αὐτοῖς δὲ καὶ ὁσήμερον ἑορταζόμενος νέος μάρτυς Ἀγγελῆς, καὶ μαρτυρικῆς τιμῆς ἄξιοι. Καὶ ἡμεῖς πρέπει νὰ τοὺς τιμῶμεν, ὅτι κατὰ τὸν Μέγαν Βασίλειον, «ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδόξων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας»· πρέπει, λέγω, νὰ τοὺς τιμῶμεν καὶ νὰ τοὺς ἑορτάζωμεν, ἐξαιρέτως δὲ τὸν θεῖον Ἀγγελῆν, τοῦ ὁποίου τὴν λαμπρὰν μαρτυρίαν μὲ τοὺς ὀφθαλμούς μας εἴδομεν καὶ πολιοῦχον καὶ προστάτην καὶ ἔφορον καὶ πρὸς Θεὸν μεσίτην ἠξιώθημεν νὰ τὸν ἔχωμεν· οὗ ταῖς ἁγίαις πρεσβείαις πρὸς Κύριον, ρυσθείημεν τῶν ἐπικειμένων δεινῶν καὶ τῶν ἐπερχομένων καὶ ἀξιωθείημεν τῶν μελλόντων ἀγαθῶν τῆς οὐρανίου βασιλείας. Ἀμήν.

Ὠδὴ ζ'. Ἡ κάμινος Σωτὴρ ἐδροσίζετο.

Δικίας τὰς πολλὰς ἃς ὑπήνεγκας, εἰρηνοφόρε, τὰ ἄλγεινὰ καὶ τὸν θάνατον, ἀγγελώνυμε πίστει, ἀνευφημοῦμεν καὶ δοξάζομεν.

Ὡς τοῦ θερμοῦ σου πρὸς Κύριον ἔρωτος, ὡ τοῦ σοῦ πόθου καὶ φίλτρου πανθαύμαστε, ἃ σε τῆς ἐπικήρου, ζωῆς ἐξήγαγε πρὸς ἄληκτον.

Νομίμως ἀθλοφόρε ἠγώνισαι, τὴν πίστιν πρὸς τὸν Κτίστην τετήρηκας, λοιπὸν ἀπόκειταί σοι, τὸ νίκης στέφος ἀγγελώνυμε.

Θεοτοκίον.

Νεφέλην σε γινώσκω Θεόνυμφε, τὸν ἥλιον τῆς δόξης κυήσασαν, φωταγωγοῦντα πάντα, τὰ νυκτώδη μου ἐγκλήματα.

Ἕτερος. Ὁ διασώσας ἐν πυρί.

Δεῦτε οἱ φίλαθλοι λαοί, δράμωμεν προθύμῳ καρδίᾳ, καὶ τὴν ἐτήσιον λαμπρῶς, ἑορτὴν ἐνθέως τιμήσωμεν, τοῦ λαμπροῦ Νεομάρτυρος, ἐν ᾠδαῖς τὰς ἀριστείας αὐτοῦ κροτοῦντες.

Ὅπου ὡς γέγραπται ἐν σοί, Μάρτυς ἐπλεόνασε πάντως, ἡ ἁμαρτία Ἀγγελῆ, ὑπερεπερίσσευσεν ὕστερον, χάρις ἡ ἁγία τοῦ Πνεύματος, διὰ μετανοίας καὶ μαρτυρίου.

Σὺν Ἰακώβῳ Ἀγγελῆ, καὶ σὺν Παχαριῷ ὑμνοῦμεν, καὶ Μείρακι τοῖς ἀθληταῖς, καὶ σὺν Πέτρῳ τῷ πάνυ δοξάζομεν, μαθητῶν τῇ ἀκρότητι, ὡς τὴν ἦτταν ἀναπαλαισάμενον κατ' ἐκείνους.

Θεοτοκίον.

Τὴν ἀπορρήτως ἐν γαστρί, καὶ ὑπερφυῶς δεξαμένην, τὸν ἀναλλοίωτον Θεόν, εὐσπλαγχνίᾳ βροτοῖς ὁμιλήσαντα, οἱ πιστοὶ προσκυνήσωμεν, ὡς Μητέρα τοῦ Κυρίου εὐλογημένην.

Ὠδὴ η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Κατέπληξας ἄνωθεν Ἀγγέλων τοὺς χοροὺς, καὶ θάμβος προὐξένησας ἀνθρώποις Ἀγγελῆ, καὶ φάλαγξ δαιμόνων, τὴν σπουδὴν πρὸς σφαγὴν ἔφριξεν, ὁρῶσα καὶ τέτρωται καιρίως.

Ἡ μάχαιρα σώματος ἐχώρησε τοῦ σοῦ, ψυχὴν σου τὴν ἄσπιλον ἀλλ' ἤνωσαι Χριστῷ, καὶ νῦν βασιλεύεις σὺν αὐτῷ Ἀγγελῆ, καὶ συζῇς ἐν δόξῃ εἰς πάντας τοὺς αἰῶνας.

Τὸ πνεῦμα σου ἤνωται Ἀγγέλων τοῖς χοροῖς, τὸ δὲ σῶμα ἔρριπται θαλάσσης τῷ βυθῷ, ὁ φανὲν ἐλέγξει, τοὺς τυράννους πικρῶς, ἐν τῇ ἀδεκάστῳ κρίσει τῶν πεπραγμένων.

Θεοτοκίον.

Ἀνάστησον κείμενον εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντας με πολέμησον ἐχθρούς, τρωθέντα ἀτόποις ἡδυναῖς τὴν ψυχήν, ἀγνὴ μὴ παρίδῃς, ἀλλ' οἰκτείρων καὶ σῶσον.

Ἕτερος. Αὐτρωτὰ τοῦ παντός.

Κεφαλῆς καὶ τοῦ στήθους τὰ κρούσματα, καὶ ὀμμάτων τὰ ἔμπονα δάκρυα, καὶ τοὺς ἐκ βάθους ἅπαντας στεναγμοὺς τῆς καρδίας, ὁ πανοικτίρμων ἐπακούσας ἀθλῆσαι ἠξίωσεν.

Ἀταπείνωτον ἔσχες τὸ φρόνημα, καὶ ψυχῆς σου τὸν τόνον ἀνένδοτον, ἐν τῷ ἀθλεῖν θαυμάσιε, καὶ τυράννων τὰ θράση, μὴ πτήξας ὅλως, μέχρι τέλους γενναίως ἐνήθλησας.

Ἀνυμνοῦντες τὸ κλέος τῶν ἄθλων σου, πρὸς Θεόν σε μεσίτην προβάλλομεν, δεινῶν τὴν ἀπολύτρωσιν, καὶ παθημάτων τὴν λύσιν θεόφρον Μάρτυς, διὰ σοῦ ἐξαιτοῦμεν οἱ δοῦλοί σου.

Θεοτοκίον.

Οἱ πολλοί σου ἡμᾶς διασώζουσιν, οἰκτιρμοὶ Παναγία Μητρόθεε, ἁμαρτημάτων κρίσεως, καὶ ποικίλων κινδύνων· σὺ γὰρ τεκοῦσα, τὸν Θεὸν ἐλεεῖς κόσμον ἅπαντα.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

Τὴν φωτοφόρον ψυχήν σου αἱ τῶν Ἀγγέλων χορεῖαι, καὶ τῶν Μαρτύρων Ἀγγελῆ, καὶ δικαίων οἱ δῆμοι, πόθῳ παρέλαβον φαιδρῶς, Χριστῷ ἀγαγόντες τῷ παντάνακτι, ὃς ἐδέξατο ταύτην γηθοσύνως, οἷαν νύμφην ἐκλεκτήν.

Δίαν φαιδρὰ ἡ ἡμέρα, καὶ πανευφρόσυνος ὤφθη, Μάρτυς Κυρίου Ἀγγελῆ, ἐν ᾗ ἠθλησας πόθῳ, καὶ θείῳ ἔρωτι Χριστοῦ, δοξάσας αὐτὸν τοῖς θείοις ἄθλοις σου, καὶ τὸ στέφος δεξάμενος τῆς νίκης, ἀνηνέχθης πρὸς αὐτόν.

Φαιδρὰ καὶ νῦν ἡ ἡμέρα, καὶ λαμπροφόρος ἐπέστη, ἐν ᾗ τὰ πλήθη τῶν πιστῶν, ἐκτελεῖ σου τὴν μνήμην, καὶ τοὺς ἀγῶνας σου κροτεῖ καὶ τέλος δοξάζει τὸ μακάριον, ἀγγελώνυμε Μάρτυς ἀθλοφόρε, φρυκτωροῦσα τοὺς τιμῶντας σε πιστῶς.

Θεοτοκίον.

Ὡς ἠτεκνοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις ταῖς μεθοδείαις τοῦ ἐχθροῦ, καὶ ῥαθύμως βιοῦντα καὶ παροργίζοντα Θεόν, Πανάμωμε φώτισον, ὁδήγησον, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Ἕτερος. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ.

Συγχορεύοις τοῖς τῶν Ἀγγέλων χοροῖς, Μαρτύρων τε τοῖς δήμοις συναγάλλῃ, ἐν τοῖς οὐρανοῖς ἐν ἐκκλησίᾳ πρωτοτόκων, ὑμνῶν ἀσιγήτως Μάρτυς ἔνδοξε, τὴν μονοῤῥικὴν θεαρχίαν, αἴγλης ἀπροσίτου μάκαρ, ἐκ ταύτης ἀπολαύων ἀεί.

Ἐν ταῖς οὐρανίαις μοναῖς κατοικῶν, ἐν τόπῳ νοητῷ Μάρτυς Κυρίου, ὅπου οἱ χοροὶ πάντων Ἀγγέλων καὶ Ἁγίων, ὁρῶσι τὸ κάλλος τὸ ἀμήχανον, ὁ μακαριότης ἀκούει, πάντων ὑπερεύχου μάκαρ, τῶν πίστει τιμώντων σε νῦν.

Τῷ ἐκ πόθου τὴν θείαν μνήμην ᾠδαῖς, δοξάσαντι τὴν σὴν Μάρτυς θεόφρον, δίδου Ἀγγελῆ σαῖς ἱκεσίαις εὐπροσδέκτοις, δεινῶν λυτρωθῆναί τε καὶ θλίψεων, καὶ τῶν ὀφλημάτων τὴν λύσιν, ἔχων παῤῥησίαν πλείστην, ὡς μάρτυς Χριστοῦ τοῦ Θεοῦ.

Θεοτοκίον.

Ὡς ὑπέρλαμπρον Θεοτόκε Ἁγνή, ψυχῆς τὸ καθαρὸν ἔχουσα κάλλος, χάριν δὲ Θεοῦ ἐμπιπλαμένη

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΜΕΛΗΤΗΣ ΝΙΚΟΛΑΟΣ ΜΑΣΤΟΡΗΣ ΠΑΠΑΣΤΕΡΓΙΟΥ

οὐρανόθεν, φωτὶ ἀϋδίῳ καταυγάζεις ἀεί, τοὺς ἐν εὐφροσύνῃ βοῶντας, ὄντως ἀνωτέρα πάντων ὑπάρχεις Παρθένε Ἁγνή.

Ἐξαποστειλάρια. Ἦχος πλ. δ΄. Ἐν πνεύματι τῷ ἱερῷ.

Πίστιν τὴν θείαν Ἀγγελῆ, ἣν ἠρνήσω τὸ πρῶτον, ἀνέλαβες μακάριε, καὶ ἐκήρυξας αὖθις, πρὸ τῶν ἀθέων τυράννων, καὶ σφαγεὶς σῷ αἵματι, ἐκύρωσας ἄθλοφόρε, ἣ κατήργεταί σοι νῦν, μένει δέ σοι τοῦ τοῦ λοιποῦ, ἐλπίς τε καὶ ἀγάπη.

Πὰ ἐλπιζόμενά σοι νῦν, ἀγαθὰ Ἀθλοφόρε, λαβών, τὰ τελεώτατα, ἐν ἡμέρᾳ τῆς δίκης, ἀποβαλεῖς τὴν ἐλπίδα, καὶ ἐξῆς οὐκ ἔσται σοι, ἡ πρὸς Θεὸν δὲ ἀγάπη, καὶ πρὸς πᾶσαν τὴν πληθύν, ἔσται μόνη ἀκραιφνής, Ἀγγέλων τε καὶ Ἁγίων.

Θεοτοκίον.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή, Θεοτόκε Παρθένε, τὴν σὴν ἄμαχον Δέσποινα, προστασίαν αἰτοῦμεν, οἱ θλίψεσι συσχεθέντες, καὶ κλυδωνιζόμενοι τοῦ βίου ταῖς τρικυμίαις· στῆσον αὔραις τῶν παθῶν, καὶ λιμένα πρὸς Θεοῦ, ἐμβίβασον θελημάτων.

Εἰς τοὺς Αἴνους. Ἦχος πλ. δ΄.

Ἀπὸ τοῦ παραδόξου θαύματος.

Δέξαι τὸν πόθον τὸν ἔνθεον, νέε Χριστοῦ ἀθλητά, τῶν πιστῶς ἐν τῇ μνήμῃ σου συνδραμόντων σήμερον, εὐφημῆσαι τοὺς ἄθλους σου, καὶ τοὺς ἀγῶνας οὓς ἀγχελώνυμε, χαίρων ὑπέστης τῷ θείῳ ἔρωτι, καὶ τὴν ἑκούσιον τῆς παντίμου κάρας σου ἀποτομήν, καὶ τὴν σὴν σωτήριον δίδου ἀντάμειψιν

Σὺν Παγχαρίᾳ σε μέλπομεν, Μάρτυς Χριστοῦ Ἀγγελῆ, καὶ σὺν Μείρακι ἅπαντες, εὐφημοῦμεν πόθῳ σε, καὶ πιστῶς σε δοξάζομεν, σὺν Ἰακώβῳ τῷ Πέρσῃ ἅσμασι, καὶ σὺν τῷ θείῳ Πέτρῳ ἀοίδιμε, τῷ κορυφαίῳ σε, ἐν ᾠδαῖς γεραίρομεν, ὡς κατ' αὐτούς, ἀναπολαισάμενον, τὴν ἧτταν ἄθλοις σου.

Θ᾽μματι ἰλέῳ ἔπιδε, τοὺς σοὺς οἰκτροὺς ὑμνητάς, καὶ πρεσβείαις σου δώρησαι, πᾶσι τὰ αἰτήματα, θεῖε Μάρτυς τὰ πρόσφορα, πρὸς σωτηρίαν ψυχῆς καὶ σώματος, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον, ὃν ἐπεπόθησας, καὶ αὐτοῦ τῷ ἔρωτι, ὡς ἀληθῶς, θάνατον ἑλόμενος ζωῆς ἠλόγησας.

Δοιμώδους νόσου τὴν ἔφοδον, Μάρτυς Χριστοῦ Ἀγγελῆ, τὴν δεινὴν καὶ πανόλεθρον, σαῖς εὐχαῖς πρὸς Κύριον, καὶ πρεσβείαις ἀπέλασον, ἐκ τῶν ἐν πίστει ἐξαιτουμένων σου, τὴν θείαν χάριν καὶ τὴν ἀντίληψιν, ἡμῶν τῶν δούλων σου, τῶν θερμῶς ποθούντων σε καὶ ἐν δεινοῖς, ῥύστην κεκτημένων σε καὶ θεῖον φύλακα.

Δόξα. Ἦχος πλ. δ΄.

Τὴν ὁδὸν τοῦ μαρτυρίου ἀνύσας, ἀγγελώνυμε Μάρτυς τοῦ Χριστοῦ, τῆς ἐφέσεως ἔστης, τῆς ὡς ἐν κινήσει νοουμένης τοῦ ἑφετοῦ, Χριστὸν ἀπολαβών, τὸν ὅρον ἔσχατον ὄντα καὶ πέρας, καὶ ἐφετῶν τὸ ἀκρότατον· δι' ὃ νῦν ἐν ταῖς ἐπουρανίοις μοναῖς κατοικῶν, καὶ ἀχράντοις νοὸς ἐπιβολαῖς, τὰς πανολβίους αὐγὰς τῆς θεότητος εἰσδεχόμενος, πρέσβευε καὶ ὑπὲρ ἡμῶν τῶν ἐν τῷ σκότει τοῦ βίου πορευομένων, ἵνα τοῦ θείου τύχωμεν φωτισμοῦ, τῶν ἐν πίστει καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Ὁ αὐτός.

Υ πόδεξαι Βηθλεέμ τὴν τοῦ Θεοῦ Μητρόπολιν, φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει· Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε· ποιμένες ἀγραυλοῦντες τὸν τρισάγιον ὕμνον μελῳδήσατε· πᾶσα πνοὴ αἰνεσάτω τὸν παντουργέτην.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν τὰ συνήθη Μεγαλυνάρια.

Χαίροις Ἀθλοφόρε νέε Χριστοῦ, Ἀγγελῆ τρισμάκαρ, σὺν Ἀγγέλων νῦν τοῖς χοροῖς, καὶ ταῖς τῶν Μαρτύρων,

καὶ πάντων τῶν Ἁγίων, ὡς παρεστὼς τῷ θρόνῳ τοῦ Παντοκράτορος.

Τ᾽μνοις τε καὶ ἄσμασιν εὐλαβῶς, ὡς Χριστοῦ σε φίλον, εὐφημοῦμεν καὶ κοινωνόν, θείων παθημάτων, αὐτοῦ καὶ τοῦ θανάτου, σύμμορφον γεγονότα Ἀγγελῆ ἔνδοξε

Τῷ Χριστῷ συνήφθης ἀποτμηθείς, τὴν τιμέαν κάραν ἀξιάγαστε Ἀγγελῆ, καὶ συζεῖς ἐκείνῳ καὶ συνδοξάζει μάκαρ, εἰς πάντας τοὺς αἰῶνας ἀγαλλιώμενος.

Μὴ παύσῃ δεόμενος Ἀθλητά, τοῦ Θεοῦ τῶν ὅλων, ὑπὲρ πάντων τῶν εὐσεβῶς, σὲ μακαριζόντων ὡς Μάρτυρα Κυρίου, ὡς ἔχων παῤῥησίαν, Ἀγγελῆ ἔνδοξε.

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΡΓΟΥ
ΜΟΔΕΣΤΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ
ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΙΗ΄ ΔΕΚΕΜΒΡΙΟΥ

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς, καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην, τὸν τῆς εὐσεβείας ὑπέρμαχον καὶ τῆς ἀσεβείας ἀντίπαλον, τῆς Ὀρθοδοξίας τὸν φωστῆρα τὸν μέγαν Ἱεροσολύμων μυστολέκτην τε καὶ θεῖον τοῦ μαρτυρίου ἀγαλλίαμα, τῶν ὀρθοδόξων τὸν στῦλον, τοῦ φωτὸς τὸν λύχνον, τὸν ἀστέρα τὸν φαεινόν, τὸν τὴν κτίσιν καταλαμπρύναντα, θαυμάτων ἀκτῖσι τὸν Μόδεστον.

Ποίοις πνευματικοῖς κάλλεσι, στεφανώσωμεν μαρτύρων κλέος, καὶ Ἱεραρχῶν ἐγκαλλώπισμα, Ἱερομαρτύρων ἀκροθίνιον καὶ τῆς οἰκουμένης τὸν λαμπτῆρα, τὸν μέγαν θαυματουργόν, τὸν θεῖον Μόδεστον, τοῖς ζώοις τὴν εὐρωστίαν παρεχόμενον· τοῦτον γὰρ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δεῦτε οἱ γηγενεῖς ἅσμασιν, ἐπαινέσωμεν Μόδεστον θεῖον, τῶν Ἱεραρχῶν θεῖον ἔρεισμα καὶ τῶν ἀθλητῶν σεμνολόγημα, τῶν Χριστιανῶν τὸ μέγα κλέος, τὸν μέγαν θαυματουργὸν καὶ ἐτοιμότατον, ἀνθρώποις καὶ κτήνεσι χαριζόμενον, τὴν ὑγείαν καὶ εὐρωστίαν, ἐν τῇ αὐτοῦ μνήμῃ καὶ πταισμάτων ἄφεσιν, τοῖς πιστοῖς παρὰ Χριστοῦ καὶ τὸ μέγα ἔλεος.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Καταλείψας τὰ πρόσκαιρα, ἐκ παιδὸς ὦ πανέρε, τῷ Χριστῷ προσέδραμες ἐνθεώτατα, καὶ ἀνυψώθης τοῖς θαύμασι, μυρίοις πανόλβιε, καὶ εὐχῇ τὰς τοῦ ναοῦ θύρας πάσας διήνοιξας, τοῦ Κυρίου σου, ὑπὲρ οὗ καὶ κολάσεις ἀφρήτους, καθυπέμεινας γενναίως, σὺ ὦ πανάγιε Μόδεστε.

Τ᾽ψωθῆναι ταπείνωσιν, ἔχων Πάτερ τὸν Κύριον, ὄντως σὺ ηὐδόκησας ὦ

ΕΘΝΙΚΟΝ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΗΣ ΝΤΟΡΗΣ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

μακάριε, Ἀρχιερέων θεόπνευστον, Μαρτύρων τε καύχημα, καὶ ἐκ ταύτης ἐν Θεῷ ἰαμάτων χαρίσματα κατεπλούτησας, ἰατρεύειν τοὺς βόας καὶ ἀνθρώπους, συμπαθῶς ὡς ἐλεήμων, θεόφρον Μόδεστε ἐνδόξε.

Ῥοὴ πάτερ τοῦ αἵματος, τοῦ ἁγίου σου ἔπνιξας, εἰδώλα παμβέβηλα καὶ τοὺς ἄφρονας, ταῦτα τιμῶντας καὶ ἥνεγκας, κολάσεις μυρίας τε καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν τῆς νίκης σου στέφανον, ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν παναοίδιμον μνήμην σου.

Δόξα. Ἦχος πλ. δ΄.

Τεραρχῶν τὴν καλλονήν, καὶ τῶν Μαρτύρων κλέος, τῶν Ἱερομαρτύρων τὸ καύχημα, τὴν βρύσιν τῶν θαυμάτων, τῆς οἰκουμένης τὸν εὐλαμπῆ φωστῆρα, τῶν ἀλόγων ζώων τὸν ἑτοιμότατον ἰατρευτήν, καὶ τῶν ἀνθρώπων πρέσβυν πρὸς Κύριον, τὸν μέγαν Μόδεστον, δεῦτε εὐφημήσωμεν ἐτησίως, ὦ φιλέορτοι. Οὗτος γὰρ τῇ ἐνθέῳ πολιτείᾳ, τὸ ὀπτικὸν τῆς ψυχῆς ὄργανον γέγονε τοῦ Ἁγίου Πνεύματος· καὶ ἐδέξατο χάριν ἀένναον τοῦ ἰᾶσθαι τὰς νόσους, ἀλόγων τε καὶ ἀνθρώπων, Ἱεράρχης γεγονώς, καὶ Μάρτυς Χριστοῦ πανάληθέστατος· αὐτῷ καὶ ἡμεῖς βοήσωμεν, Ἱερομάρτυς μέγιστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε (ἢ προεόρτιον). Ἀναγνώσματα ζήτει εἰς Ἱεράρχην. Μνήμη δικαίου μετ' ἐγκωμίων. Στόμα δικαίου ἀποστάζει σοφίαν. Τάδε λέγει Κύριος, πάντα τὰ ἔθνη.

Εἰς τὴν Αἰτήν. Ἦχος α΄.

Λαμπρύνου, λαμπρύνου καὶ ἀγάλλου πόλις Ἱερουσαλήμ, τοιοῦτον σχοῦσα ποιμένα· Ὅσιον, ἄκακον καὶ τὸ αἷμα δωρησάμενον τοῖς τυράννοις, ὑπὲρ τοῦ ἀμιάντου ἀμνοῦ· εὐφραίνου καὶ πᾶσα τῶν πιστῶν ἡ Ἐκκλησία, ὡς ἔχουσα ἀληθῶς Ἱεράρχην, μάρτυρα στεφηφόρον, καὶ θαυματουργὸν ἄριστον, τὸν μέγαν Μόδεστον, τὸν πρέσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Σὺν τοῖς Ἀγγέλοις καὶ ἡμεῖς, ὦ φιλέορτοι, φαιδρῶς πανηγυρίσωμεν, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱερομάρτυρος Μοδέστου· ὡς γὰρ ἀνέλαβον ἐκεῖνοι τὸν ἐφάμιλλον ταῖς ἀρεταῖς, οὕτω καὶ ἡμεῖς τῶν ἰαμάτων ποταμούς, οἱ πιστῶς προστρέχοντες, τῷ πανσέπτῳ αὐτοῦ τεμένει, καὶ τῶν πταισμάτων ἄφεσιν, παρὰ τοῦ δοξάσαντος τοῦτον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, εἰρήνην καὶ μέγα ἔλεος.

Ἦχος πλ. α΄.

Ὡς παμφαὴς τοῦ ἱεροῦ Μοδέστου λάμπει μνήμη, ὡς ἥλιος τοῖς πέρασι, καὶ ἀπαύστως δαδουχεῖ τὰ ἰάματα· νόσους ἀποσοβοῦσα ἀνθρώπων, καὶ πάθη κτηνῶν θεραπεύουσα. Ἱκετεύει γὰρ ἀεὶ ὡς ἰατρός, παρεστηκὼς τῷ θρόνῳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξ. Ἦχος δ΄.

Ὅτε τὴν αὐτοῦ ὁ Κύριος, καὶ παντεπόπτης Χριστὸς ὁ Θεὸς ἡμῶν, Πόλιν τὴν Ἁγίαν ἠρέτησεν, ἐπὶ νομὰς ζωηφόρους πορεύεσθαι, θούμασεν ἐφανέρωσε τοῦτο, Πατὴρ ἡμῶν Μόδεστε· τὰς γὰρ πύλας τοῦ Ναοῦ εὐχῇ μόνῃ σὺ διήνοιξας, καὶ τοῖς πᾶσι παρέστησας, ὅτι σὺ ὁ μετὰ Θεὸν ποιμὴν τοῦ Ἰσραήλ· ὅτε δὲ πρὸς αὐτὸν ἠθέλησε λαβεῖν σε παμμακάριστε, διὰ τοῦ μαρτυρίου ηὐδόκησεν, ὡς δόξαν εὑρεῖν σε πλείονα παρ' αὐτῷ, καὶ τύπον γενέσθαι τῆς καρτερίας. Ὅθεν τῷ σῷ διπλῷ στέφει στεφανώσαντι, Ἱεραρχίας καὶ ἀθλήσεως, ὡς παῤῥησίᾳ παριστάμενος, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν ὁ αὐτός. Προεόρτιον.

Βηθλεὲμ εὐτρεπίζου, ὕμνησον πόλις Σιών, ἀγάλλου ἡ ἔρημος προμνηστευθεῖσα τὴν χαράν. Ἀστὴρ γὰρ προέρχεται ἐν Βηθλεὲμ μηνύων, μέλλοντα τίκτεσθαι Χριστόν, καὶ σπήλαιον δέχεται τὸν ἀχώρητον παντί, καὶ φάτνη ἑτοιμάζεται, ὑποδέξασθαι ζωὴν τὴν αἰώνιον. Αὐτῷ πάντες ἅσωμεν καὶ βοήσωμεν· Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ σαρκωθεὶς δι' ἡμᾶς.

Εἰς τὸν Στίχον. Ἦχος α΄.
Τῶν οὐρανίων ταγμάτων.

Ὡς Ἱεράρχης Κυρίου, τὴν διπλοΐδα φορῶν, φοινίξας αἵμασί σου, εἰσελήλυθας χαίρων, εἰς ἅγια ἁγίων ἐν οὐρανοῖς, ἐξαιτούμενος ἄφεσιν, ἀμπλακημάτων καὶ λύσιν τῶν πειρασμῶν, τοὺς ἐν πίστει σὲ γεραίροντας.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται.

Πῶν νοσημάτων ἐδείχθης, φυγαδευτὴς ἐν Χριστῷ, καὶ ἰατρὸς τῶν ζώων, τῶν σὲ παρακαλούντων, Μόδεστε παμμάκαρ, ὅθεν καὶ νῦν, τὴν ὑγείαν παρέξειας, ἡμῖν τοῖς πόθῳ τελοῦσί σου τὴν σεπτήν, καὶ ἁγίαν μνήμην ἐνδόξε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν τοῖς ἀγῶνων ἐβρώσι, τοῦ μαρτυρίου σοφέ, τὴν ὑψηλὴν καθέδραν τῶν Ἱεροσολύμων, κοσμήσας, εἰσεδέξω παρὰ Θεοῦ, χάριν παύειν νοσήματα, καὶ λύβαν πᾶσαν ἐλαύνειν ἐκ τῶν κτηνῶν, Πάτερ Μόδεστε πανόλβιε.

Δόξα. Ἦχος δ΄.

Ἀγγελικὸν βίον ἐν γῇ ἐπιδειξάμενος, ἱερομάρτυς Μόδεστε, ψήφῳ Θεοῦ τὴν ποιμενικὴν ῥάβδον ἐνεχειρίσθης, καὶ ἐν καθέδρᾳ Ἀρχιερέων καθήσας, τὸν Κύριον τοῖς ἐνθέοις σου ἔργοις ἐδόξασας· διὸ Πάτερ κατήντησας εἰς μάνδραν οὐράνιον, ἔνθα ὁ πρῶτος ποιμὴν καὶ μέγας Ἀρχιερεύς· ἀπαύστως, τὴν ὑμνῳδίαν αὐτῷ ἀναπέμπων, καὶ εἰρήνην καὶ δεινῶν ἀπαλλαγὴν τοῖς ὑμνηταῖς σου, πρεσβεύων ταῖς πρεσβείαις σου.

Καὶ νῦν. Προεόρτιον.

Ἡσαΐα χόρευε λόγον Θεοῦ . . .

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὁσίως τὸν βίον σου διαπεράνας σοφέ, πυθήρεσι κεκόσμησαι ἱερωσύνης φαιδρῷ, ἱεράθλε Μόδεστε· ὅθεν καὶ ἐναθλήσας προθυμότατα Πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συνευφραίνει, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στίχ. Κάθισμα Ἦχος α΄.
Χορὸς Ἀγγελικός.

Θαυμάσιος ποιμήν, εὐσεβῶς ἀνεδείχθης, Μαρτύρων ὁ στερρός, Ἱεράρχα παμμάκαρ, φωτίζεις γὰρ ἅπαντας, τῶν θαυμάτων λαμπρότησιν· ὅθεν σήμερον, οἱ εὐσεβείᾳ καὶ πόθῳ, ἑορτάζοντες, ἐκ τῶν κινδύνων ἁπάντων, αἰτούμεν λυτρώσασθαι.

Δόξα καὶ νῦν. Προεόρτιον.

Ἀγάλλου ἡ Σιών, Βηθλεὲμ εὐτρεπίζου.

Μετὰ τὴν δ΄. Στίχ. Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Γερωσύνης τῷ φωτὶ διαλάμπων, ἐφωταγώγησας λαοὺς Ἱεράρχα, τὸ τῶν εἰδώλων σκότος τε ἠφάνισας, αὐγῇ ἰαμάτων δέ, τῶν παθῶν τὴν ὁμίχλην, λίαν μεταβέβηκας πρὸς τὸ ἄδυτον φέγγος, ὑπὲρ ἡμῶν πρεσβεύων ἐκτενῶς, τῶν σὲ τιμώντων ἀοίδιμε Μόδεστε.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΣΤΑΘΗΣ

Δόξα καὶ νῦν. Προεόρτιον.

Μετὰ τὸν Πολυέλεον.

Κάθισμα ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Καταπλήττονται τὴν σὴν, **Μάρτυς Χριστοῦ** ὑπομονήν, καὶ θαυμάζουσι Θεοῦ τὰ μεγαλεῖα γηγενεῖς, καὶ τὴν πολλὴν εἰς σὲ **Πάτερ** οἰκονομίαν, πῶς τὸ ἀσθενὲς τῆς ταπεινώσεως, σῶμα ἀντισχεῖν, τοσαύτη ἴσχυσε, πληθὺς τῶν κολάσεων, καὶ ἀσινὲς ἐφυλάττετο, **Χριστοῦ Μαρτύρων** καὶ **Ἱερέων**, σὺ εἶ δόξη καὶ στέφανος.

Δόξα καὶ νῦν. Προεόρτιον.

Οἱ ἀναβαθμοί. Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. Ἦχου. Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. Εὐαγγέλιον τοῦ Χρυσοστόμου. Ὁ Ν΄. ψαλμός. Δόξα. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στιχ. Ἐλεήμον, ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.

Δεῦτε πιστοὶ χορείαν συγκροτήσωμεν, ἐπὶ τῇ μνήμῃ τοῦ **Ἱερομάρτυρος Μοδέστου**, ἁσμάτων ἐγκωμίοις αὐτὸν καταστέψωμεν· οὗτος γὰρ τῶν τυράννων τὸ θράσος κατέβαλεν, καὶ τὴν πλάνην τῶν **Ἰουδαίων** καταισχύνας, αἵμασι μαρτυρικοῖς, τὴν **Ἀρχιερατικὴν** στολὴν κατελάμπρυνεν· αὐτὸν οὖν καὶ ἡμεῖς, ὡς παρρησίαν ἔχοντα πρὸς **Κύριον**, μεσίτην πρὸς αὐτὸν προσάξωμεν καὶ πρέσβυν προβαλλόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Ὁ Κανὼν τοῦ Ἁγίου. Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Τὴν κυκλουμένην, ἑπταχῶς καὶ ῥέουσαν, ἑβδόμην πρόσκαιρον, διαβραμὼν **Πάτερ**, τὴν ὀγδόην ἔφθασας ἡμέραν τὴν τοῦ μέλλοντος, ὅθεν ὄγδοον ἦχον, τοῦτόν σοι πλέκοντα, ῥῦσαί με, τῶν ἐν τῇ ὀγδόῃ κολάσεων.

Ὑπεραρθεὶς τῆς ἀπαθείας πτέρυξι, τῶν χαμαιζήλων παθῶν, καὶ τὸ παχὺ σκῆνος, καὶ βαρὺ ἐφόλκιον, λεπτύνας μάκαρ **Μόδεστε** καὶ κουφίσας ἐδείχθης, σταδιοδρόμος οὐράνιος, εὐσταλὴς καὶ κοῦφος καὶ εὔζωνος.

Θεοτοκίον.

Δοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν. ἡ τὸν **Θεοῦ Λόγον**, ἐν γαστρὶ χωρήσασα, ἁγνὴ δὲ διαμείνασα, **Θεοτόκε Παρθένε**· διὸ σὲ πάντες γεραίρομεν, τὴν μετὰ **Θεὸν** προστασίαν ἡμῶν.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

Πενευρωμένος τοῦ **Χριστοῦ**, τοῦ μακαρίου δυνάστου, δυναστείᾳ παναλκεῖ καὶ τῷ ὅπλῳ, ὡπλισμένος τοῦ **Σταυροῦ**, τὴν κεφαλὴν διέκοψας τοῦ δυσμενοῦς δυνάστου, ὡς ἐν ἐκστάσει πανεύφημε.

Ματάτων θεῖος ποταμός, πεπληρωμένος ὡράθης, ζωηρῶν πνευματικῶν χαρισμάτων, ἐκ **Σιὼν** ὡς ἐξ **Ἐδέμ**, ἐξωρμημένος **Μόδεστε**, καὶ νοερῶς κατάρδων, τῆς **Ἐκκλησίας** τοὺς αὐλακας.

Θεοτοκίον.

Μῶμος ἐν σοὶ καὶ μολυσμός, οὐκ ἔστιν ὅλως **Παρθένε**, ἐνδιαίτημα δὲ μᾶλλον ἐφάνης, οὐρανίων ἀρετῶν· ἐν σοὶ γὰρ κατεσκήνωσε τῶν ἀρετῶν ἡ πᾶσα, ἁγιωσύνη πανάμωμε.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φαιδρύνας τὸν βίον σου, τῶν ἀρετῶν καλλοναῖς, ποιμὴν ἀνηγόρευσαι, καὶ **Ἱεράρχης** σεπτός, πανένδοξε **Μόδεστε**, αἵματι μαρτυρίου, σεαυτὸν δὲ φοινίξας, ἄνω πρὸς τὰς αὐλοὺς, μετετέθης χορείας, μεθ' ὧν ὑπὲρ ἡμῶν, τὸν **Χριστόν**, **Πάτερ** ἱκέτευε.

Δόξα, καὶ νῦν. Προεόρτιον.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Μόνον **Χριστοῦ**, τῶν ἐφετῶν τὸ ἀκρότατον, ἐξ ἰσχύος ὅλης ἐπεπόθησας, ὅλον ὑπάρχοντα γλυκασμόν, ὅλον θυμηδείαν, ὅλον ἀκόρεστον ἔφεσιν, ἀμήχανόν τε κάλλος, καὶ αὐτῷ τὴν ψυχήν σου, διαπύρῳ ἀθλήσει συνέδησας.

Νῦν εἰσελθών, εἰς τὰ **πρωτότυπα** ἅγια, τῶν ἁγίων, ὅπου πρώην πρόδρομος, **Χριστὸς** εἰσῆλθεν ὑπὲρ ἡμῶν, καὶ κληρονομήσας, τὰ ἀγαθὰ τὰ ἀπόρρητα, εἰς ἃ ἐπιθυμοῦσι, καὶ **Ἀγγέλων** αἱ τάξεις, παρακύψαι **Χριστοῦ**, εὐμενέζου ἡμῖν.

Θεοτοκίον.

Νύμφην **Θεοῦ**, σὲ καὶ μητέρα γινώσκομεν, **Θεοτόκε**, σὲ γὰρ ὡς μυρίπνοον, ῥόδον εὐρών, λόγος τοῦ **Θεοῦ**, θάλλων ἐν κοιλίᾳ, τῇ ταπεινῇ ἀνθρωπότητι, ἡράσθη σου τοῦ κάλλους, καὶ ἐκ σοῦ σαρκοφόρος προελθών, τοὺς πιστοὺς εὐωδίασεν.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Γεωργὸς **Θεῖος** ὤφθης, τέμνων τὴν τῆς πίστεως εὐθεῖαν αὖλακα, ἀκανθώδη πλάνην, ἐκριζῶν τῶν εἰδώλων ἀρότρῳ σου, λόγων καὶ ἀρούρας, καλλιεργῶν κεχερσωμένας, εἰς τὸ δέξασθαι σπόρον οὐράνιον.

Πατὴρ μέγας ὤφθης, ἅπασαν ἰώμενος βροτῶν ἀσθένειαν, καὶ κτηνῶν ἀλόγων, καὶ πατὴρ ὀρφανῶν, καὶ προστάτης χηρῶν, καὶ φωστὴρ ἐπέχων, λόγων ζωῆς παντὶ τῷ βίῳ, καὶ δοτὴρ ἀγαθῆς πάσης δόσεως.

Θεοτοκίον.

Ὡραιώθης **Παρθένε**, ὡς τὸν ὡραιότατον λόγον κυήσασα, ὃν ἀεὶ δυσώπει, οἰκτειρῆσαι λαὸν ἁμαρτάνοντα, καὶ διατηρῆσαι, δαιμονικῆς ἁπάσης βλάβης, τὸν εἰς σὲ **Θεοτόκε** ἐλπίζοντα.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Ῥομφαία συμμαχητοῦ καὶ μάχαιρα, ὤφθης δίστομος καὶ ἐστιλβωμένη, καὶ δυνατοῦ βέλος ἠκονημένον, ἐπτερωμένον καὶ ῥιζῷ φερόμενον, καρδίας γὰρ ἔτρωσας ἐχθρῶν, καὶ τεμένη εἰδώλων συνέκοψας.

Ὡς **Ἄγγελος** ἐπὶ γῆς ἀσώματος, βίον ἔσχες ἀσωμάτων **Ἀγγέλων**, ἔτι τὸν χοῦν, περικείμενος μάρτυς, καὶ ἐφολκίῳ τῆς ὕλης βαρούμενος, διὸ ἐλειτούργησας **Θεῷ**, ὡς οὐράνιος **Ἄγγελος, Μόδεστε**.

Ματάτων ζωοποιῶν ψυχοφθόρων, ποταμὸς πεπληρωμένος ἐδείχθης, ἱερουργέ, προκυζόμενος ῥείθροις, τοῦ **Παναγίου** τε **Μόδεστε Πνεύματος**, διὸ γλυκυτάτοις προχοαῖς, ἁμάτων τὸν κόσμον κατήρδευσας.

Θεοτοκίον.

Ἁμάτων τῶν ἀνθρώπων τὴν φύσιν, τῇ ἀρχαίᾳ παραβάσει φθαρεῖσαν, δίχα φθορᾶς, νέον τίκτεται βρέφος, καὶ σοῦ ἐν κόλποις ὡς θρόνῳ καθέζεται, ἀνύμφευτε τῆς πατρικῆς, μὴ ἐκστὰς συνεδρίᾳ θεότητος.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἀκούσου μάκαρ σε, τοῦ ἀδελφοῦ τοῦ **Κυρίου**, ἀρετῶν διάδοχον, ὡς ἐκ τοῦ θρόνου καὶ τέλους, στέφομεν τὴν θείαν κάραν σου ὡς εἰδότες, κράζοντες μὴ ὑπερίδῃς τοὺς σοὺς ἱκέτας, τοὺς τὴν μνήμην σου τελοῦντας, ἱερέων καὶ μαρτύρων. **Μόδεστε**, καύχημα.

Ὁ Οἶκος.

Τῶν ἱερέων τὸ ἔκλαμπρον κλέος καὶ τῶν Μαρτύρων τὴν πάντερπνον δόξαν, δεῦτε πάντες ἐν

ΜΗΤΡΟΠΟΛΙΤΙΚΟΣ ΙΕΡΟΣ ΝΑΟΣ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ ΚΑΛΑΜΑΤΑΣ ΜΗΤΡΟΠΟΛΙΤΗ ΑΝΤΩΝΙΟΥ ΠΑΠΑΔΑΤΟΥ

ὕμνοις τῶν ἁσμάτων πιστῶς Μόδεστον εὐφημήσωμεν· τὸν γὰρ ἐχθρὸν ἐνικήσας βελιαρ, ἐν ἄθλοις σεπτοῖς, ὁμβρίζει ἡμῖν ἀντὶ ἰαμάτων ἱερῶν, ἰαμάτων ἀκένωτα ρεύματα, τοῖς τελοῦσι τὴν μνήμην αὐτοῦ τὴν ὑπέρλαμπρον, ὡς βοῶσι πρὸς αὐτὸν μετὰ ζεούσης προθυμίας καὶ πίστεως· χαίροις τῶν ἱερέων καὶ μαρτύρων, Μόδεστε, καύχημα.

ΤΗ· ΑΥΤΗ· ΜΗΝΙ ΙΗ· ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΜΟΔΕΣΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Στίχ. Φέρει, Μόδεστε παμμάκαρ, τὸν σὸν τάφον
Ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

Οὗτος ἐγεννήθη ἀπὸ ὀρθοδόξους γονεῖς, Εὐσέβιον καὶ Θεοδούλην ὀνομαζομένους, ἐν τῇ πόλει Σεβασσείᾳ, ἐν ἔτει σκη. 288 Ἐπειδὴ δὲ ἡ μήτηρ του ἦτο στεῖρα, τούτου χάριν, διὰ προσευχῆς τῶν γονέων του ἐδόθη εἰς αὐτοὺς υἱός, ὁ μέγας οὗτος πατήρ, ὕστερον ἀπὸ τεσσαράκοντα ἔτη τοῦ γάμου των. Ἀφοῦ δὲ ἐγεννήθη οὗτος, διεβάλθη ὁ πατήρ του εἰς τὸν Μαξιμιανὸν ὡς Χριστιανός. Καὶ λοιπὸν δεθεὶς ἐκλείσθη μέσα εἰς τὴν φυλακήν. Τοῦτο δὲ μαθοῦσα ἡ γυνή του Θεοδούλη, ἐπῆγε καὶ αὐτὴ εἰς τὴν φυλακὴν ὁμοῦ μὲ τὸν υἱόν της τοῦτον. Ἐκεῖ, εἰς τὴν φυλακὴν εὑρισκόμενοι παρεκάλεσαν καὶ οἱ δύο τὸν Θεὸν καὶ οὕτω παρέδωκαν τὰς ψυχάς των εἰς χεῖρας ἀγ.ων Ἀγγέλων, γενόμενοι μάρτυρες κατὰ τὴν γνώμην καὶ προαίρεσιν. Οἱ δὲ δεσμοφύλακες εὑρόντες αὐτοὺς ἀποθαμένους, τὸ παιδίον ὅμως ζωντανὸν ἐν τῷ μέσῳ αὐτῶν, τὸ ἐπῆραν καὶ τὸ ἔφεραν εἰς τὸν Μαξιμιανόν· ἦτο δὲ τότε πέντε μηνῶν. Ὁ βασιλεὺς βλέπων τὸ παιδίον νόστιμον καὶ χαριέστατον παρέδωκεν αὐτὸ εἰς ἕνα Συγκλητικὸν διὰ νὰ τὸ ἀναθρέψῃ ἐπιμελῶς, ἵνα μὲ τὸν καιρὸν γίνῃ ἄξιον νὰ ὑπηρετῇ τὸν ψευδώνυμον Θεόν. Διατρεφόμενος λοιπὸν πλησίον εἰς τὸν Συγκλητικὸν ὁ Μόδεστος, ἔμαθε πῶς οἱ γονεῖς του μακαρίως ἀπέθανον εἰς τὴν φυλακὴν διὰ τὸν Χριστόν. Ὅθεν διαν ἔγινε 13 ἐτῶν τότε εὑρὼν ἕνα Χριστιανὸν ἐδιδάχθη ἀπὸ αὐτὸν τὴν εὐσέβειαν καὶ ὅλως αὐτῆς οἰκεῖος καὶ ἔνδοτος γίνεται. Ἐλυπεῖτο δὲ διότι συνανεστρέφετο μὲ εἰδωλολάτρας. Καὶ μίαν ἡμέραν ὅταν ὁ Μαξιμιανὸς ἐκήρυξεν, ὅτι ὀφείλει ὅλος ὁ λαὸς νὰ προσφέρῃ θυσίας εἰς τοὺς Θεούς, τότε ὁ ἅγιος εὑρὼν ἄδειαν, ἐπῆγεν εἰς τὸν τάφον τῶν γονέων του καὶ παρεκάλει αὐτοὺς νὰ τὸν ἐλευθερώσουν ἀπὸ τὰς χεῖρας τῶν εἰδωλολατρῶν, ἵνα ἀξιωθῇ τοῦ Ἁγίου Βαπτίσματος. Ὅθεν εὐρῆκεν αὐτὸν ἕνας χρυσοχόος, καταγόμενος ἀπὸ τὰς Ἀθήνας καὶ παραλαβὼν αὐτὸν τὸν ἐπῆγεν εἰς τὰς Ἀθήνας καὶ τὸν παρέδωκε τῷ τότε Ἀρχιερεῖ, οὗτος δὲ τὸν ἐβάπτιζε καὶ βαπτίζων αὐτὸν ἔβλεπεν ὁ Ἀρχιερεὺς ἕνα στύλον πυρὸς ἀπὸ τὸν οὐρανὸν μέχρι τῆς κεφαλῆς τοῦ Μοδέστου. Βαπτισθεὶς δὲ ὁ Μόδεστος ἰάτρευσε τὸν ἀδελφὸν τοῦ χρυσοχόου, ὁ ὁποῖος εἶχε μεγάλην ἀσθένειαν καὶ ἐκινδύνευε· προσέτι ἰάτρευσε καὶ ἕνα δαιμονισμένον.

Ἐν τούτοις, εἰς ὀλίγον καιρόν, ἀπέθανε καὶ ἡ γυνὴ τοῦ χρυσοχόου καὶ μετ' ὀλίγον ἠσθένησε καὶ ὁ ἴδιος ὁ χρυσοχόος καὶ εἰς ὀλίγας ἡμέρας ἦλθεν εἰς θάνατον· διὸ βιασθεὶς ἐκ τῆς ἀσθενείας, ἔκαμε διαθήκην, ἀφήσας τὸν ἱερὸν Μόδεστον ὁμοῦ μὲ τοὺς δύο του υἱοὺς καὶ κληρονόμους. Ὁ Μόδεστος ὅμως τὸ ἰδικόν του μερίδιον τὸ διένειμεν εἰς πτωχούς· καὶ ὀρφανά, αὐτὸς δὲ ἀνεχώρησεν ἔξω ἀπὸ τὰς Ἀθήνας βόσκων πρόβατα καὶ διερχόμενος ἐκεῖσε ζωὴν ἀσκητικήν. Οἱ υἱοὶ ἐν τούτοις τοῦ χρυσοχόου μὴ ὑποφέροντες νὰ βλέπουν τὸν ἅγιον τιμώμενον ἀπὸ ὅλους ἐσκέφθησαν τί νὰ κάμουν; Ἐπειδὴ αὐτοὶ ἔμελλον νὰ ὑπάγωσιν εἰς τὴν Αἴγυπτον διὰ νὰ ἐμπορευθοῦν, διὰ τοῦτο κατέπεισαν καὶ τὸν μακάριον Μόδεστον νὰ ὑπάγῃ μαζί των. Ἐκεῖ δὲ πηγαίνοντες ἐπώλησαν ὡς δοῦλον τὸν ἅγιον εἰς ἕνα ἄπιστον ἄνθρωπον, ἀπὸ τὸν ὁποῖον ἐδοκίμασε πολλὰ δεινὰ ὁ τρισόλβιος εἰς διάστημα ἑπτὰ ὁλοκλήρων ἐτῶν. Ἀλλ' ὁ ἅγιος διὰ θεωρίας καὶ ἐπιμόνου προσευχῆς του, ἠλευθέρωσε τὸν αὐθέντην του ἐκεῖνον ἀπὸ τὴν πλάνην τῆς ἀπιστίας καὶ κατέπεισεν αὐτὸν νὰ πιστεύσῃ καὶ νὰ βαπτισθῇ· ἀλλὰ καὶ πάσχοντα ἀπὸ δεινὴν ἀσθένειαν ὑγιῆ τοῦτον ἐποίησεν.

Ἀφοῦ δὲ ἐκεῖνος ἀπέθανεν, ἐπῆγεν ὁ ἅγιος εἰς τὰ Ἱεροσόλυμα χάριν προσκυνήσεως τοῦ Ζωοδόχου Τάφου. Ἀπὸ τὰ Ἱεροσόλυμα δὲ ἐπῆγεν εἰς τὸ ὄρος Σινᾶ, καὶ ἐκεῖ ἡσυχάζων καὶ εἰς μόνον προσέχων τὸν Θεὸν πολλὰ θαύματα ἐποίησεν. Ὕστερον πάλιν ἀνεχώρησε διὰ τὸν Ἅγιον Τάφον, καὶ ἐκεῖ εὑρισκομένου αὐτοῦ ἐτελεύτησεν ὁ τότε Πατριάρχης. Ἐπειδὴ δὲ ὑπῆρχε συνήθεια ἐκεῖ, ὅτι ὅταν ἤθελον νὰ κάμωσι Πατριάρχην παρεκάλουν τὸν Θεὸν ποῖος εἶνε ἄξιος, εἶτα ἐπήγαινον ὅλοι εἰς τὴν Ἐκκλησίαν καὶ ὅποιος ἤθελε ἀνοίξει τὰς θύρας τοῦ ναοῦ διὰ προσευχῆς ἐκεῖνον ἔκαμνον Πατριάρχην, τοῦτο ἠκολούθησε τὴν συνήθειάν των καὶ ἐπὶ τῆς τελευτῆς τοῦ Πατριάρχου ἐν ταῖς ἡμέραις τοῦ ἱεροῦ Μοδέστου, διὸ ἀπεκαλύφθη εἰς αὐτοὺς ὅτι ὁ ἱερὸς Μόδεστος εἶνε ἄξιος, τὸν ὁποῖον καὶ ἐπῆραν εἰς τὴν Ἐκκλησίαν. Προσευχηθέντος τοῦ ἁγίου ἀμέσως, ἐγένετο ἡ χειροτονία, ἠνοίχθησαν αἱ πύλαι τοῦ ἱεροῦ Ναοῦ.

Μετὰ δὲ τὴν χειροτονίαν του ἠξιώθη νὰ κάμνῃ ἄπειρα θαύματα, ἐκ τῶν ὁποίων φθόνῳ κινούμενοι οἱ Ἑβραῖοι εἶπον τῷ βασιλεῖ. «Βασιλεῦ, ὁ Μόδεστος διὰ τῆς μαγικῆς του τέχνης ἀπατᾷ τὸν λαὸν καὶ ὑβρίζει τὰ εἴδωλα». Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἐθυμώθη λίαν καὶ ἔστειλεν εὐθὺς καὶ ἔφεραν τὸν Ἱερὸν Μόδεστον ἔμπροσθέν του, εἰς ὃν εἶπε. «Πόθεν σοι ἐδόθη ἡ δύναμις νὰ ποιῇς τόσα θαύματα; ὁμοίως πῶς ὑβρίζεις καὶ ἐμποδίζεις καὶ τοὺς ἀνθρώπους νὰ μὴν προσκυνοῦν καὶ νὰ σέβωνται τὰ εἴδωλα;» Καὶ ὁ ἅγιος ἀπεκρίθη. «Βασιλεῦ, τὰ εἴδωλα ὁποῦ προσκυνεῖς οὐκ εἰσὶ Θεοὶ ἀλλὰ δαίμονες. Θεὸς ἀληθινὸς εἶνε μόνος αὐτὸς τὸν ὁποῖον ἐγὼ πιστεύω καὶ κηρύττω, ὁ Ἰησοῦς, λέγω, Χριστός, ὅστις ἔποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς. Καὶ λοιπὸν σὲ διδάσκω νὰ πιστεύσῃς εἰς τοῦτον τὸν ἀληθινὸν Θεόν μου καὶ νὰ βαπτισθῇς καὶ νὰ ἀφήσῃς αὐτὰ τὰ ἀναίσθητα εἴδωλα». Ταῦτα παρ' ἐλπίδα ἀκούσας ὁ Βασιλεὺς ἐπρόσταξε καὶ ἔδεσαν τὸν ἅγιον εἰς τὰς οὐρὰς ζώων ἀγρίων, διὰ νὰ τρέχουν τὰ ζῶα νὰ καταξεσχίζεται ὁ ἅγιος ἀπὸ τοὺς λίθους συρόμενος βιαίως εἰς τὴν γῆν. Ἀλλ' ὦ τῶν θαυμασίων σου Χριστὲ Βασιλεῦ· εὐθὺς ὅπου ἤρχισαν νὰ τρέχουν τὰ ζῶα εὐρέθη ὁ ἅγιος λυμένος χωρὶς νὰ πάθῃ κανὲν κακόν. Πάλιν ὁ βασιλεὺς διατάττει νὰ δέσουν τὰς χεῖρας τοῦ ἁγίου καὶ νὰ τὸν δέσουν εἰς τὰ ζῶα ὡς τὸ πρῶτον, καὶ νὰ ἀναγκάσωσι τὰ ζῶα νὰ τρέχουν μὲ ὁρμήν, τὸ ὁποῖον καὶ ἔγινε. συρόμενος δὲ ὁ ἅγιος ἔψαλλε· «Τίς Θεὸς μέγας, ὡς ὁ Θεός; ἡμῶν; Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια μόνος». Καὶ ὦ τοῦ θαύματος πάλιν εἰς ὀλίγην ὥραν ἐστάθησαν τὰ ζῶα, καὶ ὁ ἅγιος ἔστεκεν ὄρθιος χωρὶς νὰ βλαβῇ εἰς τι μέρος. Ἰδὼν καὶ τοῦτο ὁ βασιλεὺς ἐπρόσταξε νὰ τοῦ βάλωσι καρφιὰ ὑπὸ τοὺς πόδας καὶ διὰ τῆς βίας νὰ τρέχῃ μόνος του, ἀλλ' οὔτε μὲ αὐτὴν τὴν βάσανον ἔπαθεν. Διὸ πάλιν προστάζει νὰ στρώσουν εἰς τὴν γῆν ἀκάνθινα σίδερα ὀξύτερα καὶ ἐπάνω εἰς αὐτὰ νὰ περιπατῇ ὁ ἅγιος μέχρις ἑνὸς μιλίου· καὶ οἱ μὲν τύραννοι ταῦτα ἔκαμνον, ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνδυνάμωνε τὸν ἅγιον καὶ δὲν ἐπάθαινεν, ὅθεν ἐθαύμαζον καὶ τί νὰ πράξωσι δὲν ἤξευρον.

Τότε ἦλθόν τινες Ἑβραῖοι λέγοντες. «Πρόσταξε, βασιλεῦ, νὰ τὸν λιθοβολήσωμεν ὅπως χαθῇ αὐτὸς καὶ ἐλευθερωθῇς καὶ σύ·» ὅθεν ἐπρόσταξε καὶ τὸν παρέδωσαν εἰς τοὺς Ἑβραίους, καὶ ἐβγάζοντές των ἔξω τῆς πόλεως ἐλιθοβόλουν τὸν ἅγιον ἀπὸ τὸ πρωῒ μέχρι τῆς μεσημβρίας, ὅμως οὐδόλως ἤγγιζεν αὐτὸν λίθος. Βλέποντες δὲ τὸν ἅγιον ἀπαθῆ καὶ ἀπὸ αὐτὴν τὴν βάσανον κατεσκεύασαν ἕνα λέβητα τὸν ὁποῖον ἐγέμισαν μολύβι, καὶ ἀνάψαντες ὑποκάτω φλόγα ἔβαλαν τὸν ἅγιον τὸν ὁποῖον ἔβραζον οἱ διίλιαοι μίαν ἑβδομάδα, ὁ δὲ ἅγιος στεκόμενος εἶχεν ὑψωμένας τὰς χεῖρας καὶ παρεκάλει τὸν Κύριον· βλέποντές τον δὲ ὅτι οὔτε μὲ αὐτὴν τὴν βάσανον ἔπαθε, τὸν συνέλαβον καὶ τὸν ἐπῆγαν εἰς τὸν βασιλέα, καὶ θεωρῶν αὐτὸν ὑγιῆ οὗτος ἐσυλλογίζετο τί νὰ κάμῃ διὸ προστάζει ἀμέσως καὶ ἐρρύπησαν μίαν στήλην εἰς ἣν ἔσφιξαν τὰς χεῖρας τοῦ ἁγίου, καὶ ξεγυμνώνοντές των τοῦ ἔχυναν εἰς τὸ σῶμα βρασμένο μολύβι καὶ τριγύρω του ἄναψαν φλόγα· ἀλλ' ὦ τοῦ θαύματος ἀμέσως; ἠλευθερώθη, διότι ἡ μὲν στήλη ἐσχίσθη, ἡ δὲ φλὸξ ἐσβέσθη. Ἰδόντες ταῦτα οἱ ἀσεβεῖς ἔφριττον. Ἀλλὰ πάλιν ἄλλην βάσανον ἡτοίμασαν· τοῦ ἔβαλαν τοὺς πόδας του εἰς τὸ ξύλον καὶ ἐπάνω εἰς τὸ σῶμά του ἔχυνον πάλιν βρασμένα μολύβι, ἀλλ' οὔτε καὶ μὲ ταύτην τὴν βάσανον ἔπαθεν· ὅθεν θαυμάζοντες δὲν ἤξευρον τί νὰ κάμωσι πλέον, διὸ ἤρχισαν πάλιν μὲ κολακείας, ἀλλ' ὁ ἅγιος ἐβόα. «Ἐγὼ ἕνα Θεὸν προσκυνῶ καὶ λατρεύω τὸν τρισυπόστατον Θεόν, τοὺς δὲ ἰδικούς σας ψευδωνύμους Θεοὺς ἀποστρέφομαι καὶ λυποῦμαι καὶ ὑμᾶς ὅπου προσκυνεῖτε δαίμονας ἀντὶ Θεούς».

Ταῦτα ἀκούσαντες ἄλεψαν τὴν κεφαλὴν τοῦ ἁγίου μὲ πίσσαν καὶ ἔλαιον καὶ ἀμέσως ἔβαλαν πῦρ σύροντές τον βιαίως εἰς τὸ μέσον τῆς πόλεως. Τοῦτο βλέποντες οἱ ἄνθρωποι ἠγανάκτουν κατὰ τοῦ βασιλέως, ὅστις θυμωθεὶς ἐπροσκάλεσε τοὺς μεγιστάνας του καὶ ἀπεφάσισαν νὰ θανατώσουν τὸν ἅγιον. Διὸ προστάζει ὁ βασιλεὺς νὰ τὸν φέρουν ἔμπροσθέν του, τὸν ὁποῖον ἀφοῦ ἔφεραν τοῦ λέγει· «ἡ μαρτύρησον ἡμῖν τὰς μαγείας σου ἢ ἀμέσως διατάττω καὶ σοῦ κόπτουν τὴν κεφαλήν»· ὁ δὲ ἅγιος ἀπήντησεν. «Ἀληθῶς, βασιλεῦ, σήμερον θέλεις μοῦ προξενήσει τὴν βασιλείαν τῶν Οὐρανῶν». Ἀκούσας ὁ βασιλεὺς ταῦτα ἐξέδωκε διαταγὴν νὰ τὸν ἀποκεφαλίσουν, καὶ οἱ στρατιῶται τὸν ὡδήγησαν εἰς τὸν τόπον τῆς καταδίκης. Ἐκεῖ ὁ ἅγιος ἐζήτησεν ὀλίγην τινὰ διορίαν διὰ νὰ προσευχηθῇ, καὶ σταθεὶς κατ' ἀνατολὰς εἶπεν:

«Ὁ τοῦ φωτὸς δημιουργός, Κύριε Ἰησοῦ Χριστέ, καταξίωσόν με τῆς βασιλείας ἐπιτυχεῖν, ὅτι Σὲ Δέσποτα » καὶ μόνον ἐπεθύμησεν ἡ ψυχή μου, καὶ διὰ τὸ σὸν ὄνο» μα θανάτου καὶ βασάνων ἠλόγησα· μὴ οὖν ἀνάξιόν με » κρίνῃς, φιλάνθρωπε, τῶν σῶν ἀγαθῶν, ἀλλ' ἐπάκουσον » καὶ πρόσδεξαι ταύτην τὴν προσευχήν μου. Ὅστις δὲ τὸ » ἐμὸν ἐπικαλέσηται ὄνομα καὶ τὴν μνήμην ἐμοῦ τοῦ ταπεινοῦ ἐκτελέσῃ, βοηθὸς τῷ τοιούτῳ γενοῦ, καὶ μὴ ἐγκαταλείπῃς αὐτόν, ἀλλ' ἐμπλησον τῶν ἀγαθῶν σου, καὶ » δώρησαι αὐτῷ πλούσια τὰ ἐλέη σου. Καὶ ὅστις ἐκ πίστεως τοῦ ἐμοῦ Μαρτυρίου καὶ τῆς ἐμῆς ἀθλήσεως μνησθῇ, γένοιτο αὐτῷ εὐλογία, φιλάνθρωπε Κύριε ὁ Θεός » μου, ἀπελαθητω δὲ καὶ ἀποδιωξάσθω τοῦ οἴκου » τοῦ τοιούτου ἀνδρὸς καὶ πάντων τῶν βοσκημάτων » καὶ τῶν κτηνῶν αὐτοῦ πᾶσα νόσος καὶ οἷα δήποτε ἀσθένεια διὰ τὸ πανάγιον καὶ προσκυνητὸν ὄνομά σου. Ναί, » Δέσποτα ἅγιε, ἔπιδε ἐξ ἁγίου κατοικητηρίου σου ἐπὶ » τὴν ἐμὴν προσευχήν, καὶ εὐλόγησον, ἁγίασον, ἐνδυνάμωσον καὶ πλήθυνον τὰ κτήνη αὐτοῦ, ὡς εὐλόγησας καὶ » ἐπλήθυνας τὰ ποίμνια τοῦ Πατριάρχου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν » αἰώνων. Ἀμήν».

Καὶ ὁ μὲν ἅγιος ταῦτα εἶπὼν ἔκλινε τὴν κεφαλήν, ὁ δὲ δήμιος τὸν ἀπεκεφάλισεν εὐθὺς ἐν ἡμέρᾳ Παρασκευῇ ἐν μηνὶ Δεκεμβρίῳ ΙΗ'.

Κρίνομεν, ἀγαπητοί, ἁμαρτίαν νὰ παρασιωπήσωμεν μέρη θαυμάτων τοῦ ἁγίου ἐνταῦθα, ὅσα ἐν χειρογράφῳ βιβλίῳ ἀπηντήσαμεν, ὁποῖα εἶνε τὰ ἑξῆς:

Ἀνθρώπου τινὸς Ἱεροσολυμίτου ἀπέθνησκον τὰ ζῶα, ἐπειδὴ ἡ βρύσις τοῦ νεροῦ ἀπὸ τὸ ὁποῖον ἔπινον ἐφαρμακώθη ἀπὸ ἕνα φίδι κατὰ συνέργειαν τοῦ δαίμονος. Εἰς

τὴν βρύσιν λοιπὸν ταύτην ἐπῆγεν ὁ ἅγιος καὶ τὰ μὲν νεκρωθέντα ζῶα ἀνέστησεν, τὸ δὲ φίδι ἐθανάτωσε καὶ τὸν δαίμονα ἔκαμε νὰ φανῇ ἔμπροσθεν εἰς τοὺς ἐκεῖ παρεστῶτας, ὁ ὁποῖος ὤμνυε τὸ φοβερὸν ὄνομα τοῦ Θεοῦ, ὅτι νὰ μὴ πλησιάσῃ ποτὲ εἰς τὸν τόπον ἐκεῖνον ὅπου ἤθελεν ἐπικαλεσθῇ τὸ τοῦ ἁγίου Μοδέστου ὄνομα.

Ἕνας κτίστης Ἱεροσολυμίτης εἶχε μερικὰ βώδια· ἐκ τοῦ πονηροῦ δαίμονος συνέβη εἰς αὐτὰ ἀσθένεια, μὴ γνωρίζων δὲ ὁ κτίστης τί ποιῆσαι, ἔτρεξε πρὸς τὸν ἅγιον, καὶ ὁ ἅγιος πηγαίνων εἰς τὸν τόπον ὅπου ἦσαν τὰ βώδια εὐλόγησεν αὐτά, καὶ παραχρῆμα ἔλαβον ἴασιν, ὁ δὲ διάβολος ἐφώναξε· «πολλὰ μὲ ἀδικεῖς, Μόδεστε, διότι οὗτος ὁ κτίστης εἶναι ἰδικός μου· τότε νουθετήσας αὐτὸν ἀπέλυσεν.

Ἕνας δράκων μέγας, ἐλθὼν ἀπὸ τὴν ἔρημον, κατώκησε πλησίον τῆς πόλεως Ἱερουσαλὴμ καὶ ἐθανάτωνεν ἀνθρώπους καὶ ζῶα· προσέπεσαν λοιπὸν χριστιανοί τε καὶ εἰδωλολάτραι πρὸς τὸν ἅγιον λέγοντες· «ἂν θανατώσῃς τὸν δράκοντα, ὅλοι θὰ γίνωμεν Χριστιανοί». Τοῦτο ἀκούσας ὁ ἅγιος ἐχάρη, καὶ ἐλθὼν εἰς τὸν τόπον καὶ σταθεὶς ἔμπροσθεν τοῦ δράκοντος ἔκαμε προσευχήν· λαβὼν τὴν ῥάβδον του ἔκαμεν ἐπάνω εἰς τὸ θηρίον τὸ σημεῖον τοῦ Σταυροῦ καὶ εὐθὺς ἐνεκρώθη. Τοῦτο ἰδόντες ἐφώναζον· «μέγας ὁ Θεὸς τοῦ Μοδέστου», διὸ καὶ πολλοὶ ἐπίστευσαν εἰς τὸν Χριστόν.

Τυφλή τις χήρα εἶχε πέντε ζεύγη βώδια ἀπὸ τὰ ὁποῖα καὶ ἐτρέφετο. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ἠσθένησαν τόσον ὥστε ἦλθον εἰς κίνδυνον, τί νὰ κάμῃ κατέφυγεν εἰς τὴν Ἐκκλησίαν τῶν Ἁγίων Ἀναργύρων, οὓς παρεκάλει ἵνα ἰατρεύσωσι τὰ ζῶά της. Τὴν νύκτα δὲ φαίνεται ὁ ἅγιος Κοσμᾶς καὶ τῆς λέγει· «Ὡ γύναι, εἰς τὸν Πατριάρχην Μόδεστον ἐδόθη αὕτη ἡ χάρις καὶ οὐχὶ εἰς ἡμᾶς». Τοῦτο ἀκούσασα ἡ γυνὴ ἔγεινεν ἔντρομος, ὅθεν ἐπεκαλεῖτο τὸν ἅγιον Μόδεστον (διότι ἦτο πολλὰ μακρὰν ἀπὸ τὴν πόλιν τῆς Ἱερουσαλήμ)· ὁ δὲ ἅγιος φαίνεται εἰς τὸν ὕπνον της καὶ τῆς λέγει. «Ὕπαγε εἰς τὴν δεῖνα κώμην, καὶ θέλεις εὕρει χαλκέα τινὰ ὀνομαζόμενον Εὐστάθιον καὶ εἰπέ του νὰ σοῦ κάῃ ἕνα σιδηροῦν σταυρὸν καὶ εἶτα δόσε τον εἰς ἑπτὰ ἱερεῖς νὰ τὸν λειτουργήσουν, καὶ τὴν ἑβδόμην ἡμέραν νὰ κάμουν ἀγρυπνίαν εἰς τὸν ναόν μου καὶ εὐχέλαιον, εἶτα ῥάντισον καὶ ἄλειψον τὰ ζῶά σου καὶ θέλουν ἰατρευθῇ». Οὕτω λοιπὸν ἐποίησεν ἡ γυνὴ καὶ ἰατρεύθησαν τὰ ζῶά της.

Αὐτὸς ὁ ἅγιος ἦτο ὅλως διόλου ἀμνησίκακος, καθὼς ἀπέδειξε τοῦτο ἡ κάτωθεν περίστασις. Οἱ υἱοὶ τοῦ χρυσοχόου οἱ πωλήσαντες τὸν Ἅγιον εἰς τὴν Αἴγυπτον, ἐπῆγάν ποτε εἰς τὰ Ἱεροσόλυμα χωρὶς νὰ ἠξεύρουν ὅτι ὁ ἐκεῖ Πατριάρχης εἶναι ἐκεῖνος τὸν ὁποῖον εἶχον πωλήσει· ὁ δὲ ἀμνησίκακος Μόδεστος ὄχι μόνον δὲν τοὺς ἐτιμώρησεν, ἀλλ' εἰς ἐκδίκησιν τοῦ κακοῦ ὅπου εἰς αὐτὸν ἔκαμον, τοὺς ἐδέχθη ἀσπασίως καὶ ἐφιλοξένησε φιλοφρόνως καὶ εὐεργέτησε μεγαλοπρεπῶς. Οὕτω λοιπὸν πολιτευσάμενος ὁ ἅγιος καὶ ζήσας μὲν ὅλους τοὺς χρόνους τῆς ζωῆς του ἐνενήκοντα ἑπτά, πατριαρχεύσας δὲ χρόνους τριάκοντα ὀκτώ, ἀπῆλθεν εἰς τὰς αἰωνίους μονάς. (Τὸν κατὰ πλάτος βίον τοῦ ἁγίου ὅρα εἰς τὸν Ἐφραίμ). Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανόνα τῆς πίστεως, εἰκόνα ἔμπνουν τῆς πραότητος, σωφροσύνης τε στήλην καὶ καρτερίας ἔμψυχον ἄγαλμα, καὶ πάσης ἄλλης ἀρετῆς ἀρχέτυπον, ἀνέδειξέ σε Χριστός, Μόδεστε ποίμνῃ τῇ σῇ.

Ἀνένδοτον ἔτρεφες ἐπιθυμίαν τοῦ ἀναλῦσαι ταχύ, ἐκδημῆσαι τοῦ σκήνους καὶ ἐνδημῆσαι πρὸς ὃν ἐπόθεις Χριστόν, διὸ ἐχώρεις τρισμάκαρ αὐτόκλητος, πρὸς τοὺς ἀγῶνας πολλῇ, τοῦ μαρτυρίου σπουδῇ.

Θεοτοκίον.

Νυμφῶνα πανάχραντον, τῆς ὑπὲρ Λόγον σαρκώσεως, καὶ παστάδα καὶ θρόνον, ὀρθῶς φρονοῦντές σοι ὀνομάζομεν, καὶ γεγηθότες τῷ τόκῳ σου ψάλλομεν, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ἐπὶ τῆς γῆς ἐβίωσας, ὡς οὐράνιος ἄγγελος, ὅθεν ἐκ Θεοῦ, οἰκοδομὴν αἰώνιον καὶ ἀχειροποίητον ἔσχες ἐν οὐρανοῖς, ἡ γὰρ τοῦ σεπτοῦ καὶ πολυάθλου σου σκήνους, ἐπέγειος οἰκία, κατελύθη καμοῦσα, τοῖς πόνοις τοῖς ποικίλοις, σοφὲ τοῦ Μαρτυρίου.

Κεχρυσωμέναις πτέρυξι, νοητῶς πεταζόμενος, πράξεως ὁμοῦ καὶ θεωρίας, Μόδεστε, πρὸς ὕψος ἀνέδραμες, ὑπερνεφὲς αἰθέριον, πρὸς ἐπουρανίους καλιὰς καὶ ἐπαύλεις, τὴν κάτω παπτυμένην καὶ χαμαὶ συρομένην, ἐνήδονον κακίαν ὑπερπετάσας κούφως.

Θεοτοκίον.

Ξένα πολλάκις γέγονες καὶ παράδοξα τέρατα, ἀλλ' ἐκ τοῦ αἰῶνος, οὐκ ἠκούσθη Δέσποινα, τοιοῦτο τεράστιον, οἷον ἐπράχθη νῦν ἐπὶ σοί, μόνη γὰρ ἐν πάσαις γενεαῖς ἐγνωρίσθης, θηλάζουσα Παρθένος, παρθενεύουσα Μήτηρ, ἀσπόρως συλλαβοῦσα, ἀφράστως δὲ τεκοῦσα.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἰδρώτων προχοαῖς Ἀποστολικῶν καὶ κρουνοῖς πορφυρέων αἱμάτων σου, μαρτυρικῶς, ἔβαψας χλαμύδα λυθροβαφῆ, ἣν περ φορῶν καὶ τρόπαιον, οἷα σκῆπτρον φέρον τὸ τοῦ Σταυροῦ, Χριστῷ τῷ τὴν κοκκίνην, φορέσαντα χλαμύδα, πρὸ τοῦ Σταυροῦ συμβασιλεύεις νῦν.

Ὡς ὄχημα τετράπωλον σεαυτῷ, ἀρετὰς συνηρμόσω τὰς τέσσαρας, τὰς γενικάς, φρόνησιν ἀνδρείαν πνευματικήν, καὶ σωφροσύνην πάναγνον, καὶ δικαιοσύνην τὴν τῶν πασῶν, περιεκτικωτάτην, ὑφ' ὧν διεβιβάσθης, πρὸς οὐρανὸν Μόδεστε ἔνδοξε.

Θεοτοκίον.

Ὑμνῶ σε τὴν πανύμνητον, ἀληθῶς, μεγαλύνω σε τὴν πολυύμνητον, ἣν ἀνυμνεῖ, ὑμνοις ἀσιγήτοις πᾶσα πνοή, τεκοῦσαν ὑπερύμνητον, λόγον ὃν ὑμνοῦσιν ἐν οὐρανοῖς, χίλιαι χιλιάδες, μύριαι μυριάδες, ἐν φλογεροῖς ἀύλοις στόμασι.

Ἐξαποστειλάρια. Φῶς ἀναλλοίωτον Λόγε.

Σὺν Ἱεράρχαις αὐγάζεις ὡς ἥλιος ἐν τοῖς Μάρτυσι λάμπεις, ὥσπερ ἐν ἄστροις σελήνη· διὸ τὴν σὴν εὐφημοῦμεν κοίμησιν, Μόδεστε Πάτερ. Σεῶν ἁγίας τὸ κλέος.

Ἕτερον. Ἐπεφάνη ὁ Σωτήρ.

Ἐπεφάνη νῦν ἡμῖν, ὁ μάρτυς τοῦ Θεοῦ ἡμῶν, καὶ Ἱεράρχης θαυματουργῶν, καὶ ἐκδιδάσκων νῦν τρανῶς, ἅπαντας τὴν ἀλήθειαν, ὅτι ἐκ τῆς Παρθένου, τεχθήσεται ὁ Κύριος.

Εἰς τοὺς Αἴνους. Ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, ἀπὸ γονέων σοφέ, ἐσχηκὼς τὴν εὐσέβειαν, τύραννον τὸν ἄθεον, εὐκλεῶς σὺ ἐμίσησας, καὶ ἐπὶ ξένοις, Μόδεστε ἔνδοξε, προσεκαρτέρεις καὶ εἰς τὴν ἔνδοξον, πόλιν τοῦ κτίστου σου, παραγένου, ὅθεν σε ὁ τῶν πιστῶν, δῆμος ἀνεκτήσατο, ποιμένα μέγιστον. (Δίς).

Ὦ τοῦ παραδόξου θαύματος, τὰς πύλας σὺ τοῦ Ναοῦ, κεκλεισμένας διήνοιξας, τῇ εὐχῇ τῆς πίστεως, καὶ τῇ πίστει χρησάμενος, ἐντεῦθεν βρύσις θαυμάτων δείκνυσαι, ἐκ τῶν ἀνθρώπων, καὶ βοῶν πάνσοφε, νόσους διώκων τε, καὶ στηρίζων ἅπαντας τοὺς εὐσεβεῖς, ἐν τῇ πίστει ἑστασθαι, Χριστοῦ τοῦ κτίστου σου.

Ὦ τοῦ παραδόξου θαύματος, ὑπὲρ Χριστοῦ προσαχθείς, τοῦ τυράννου ἐνώπιον, τούτου θείαν σάρκωσιν, καὶ θεότητα ἅπασιν, θεολογήσας πληγὰς καὶ θάνατον, καθυπομείνας καὶ ἡμῶν μέμνησο, τῶν ἐκτελούντων σοῦ, μνήμην τὴν πανένδοξον, καὶ δός ἡμῖν, χάριν τε καὶ ἔλεος, Μόδεστε πάνσοφε.

Δόξα, ἦχος πλ. δ'.

Τίς λαλήσει τὰς ἀριστείας σου σοφέ; ἢ τίς ἐξαριθμήσει τῶν ἀγώνων σου τὰ πλήθη; πολλὰ γὰρ καὶ ὑπὲρ φύσιν, ὥσπερ ἄσαρκος ὑπήνεγκας, πλείονα δὲ τὰ βραβεῖα ἀσυγκρίτως ἐκομίσω ἐκ τῆς παντοκρατορικῆς τοῦ Σωτῆρος Χρι-

ΨΗΦΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΑΡΙΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ ΚΑΙ ΣΥΝΕΡΓΑΤΕΣ

στοῦ δεξιᾶς, Ἱερομάρτυς πανσεβάσμιε Μόδεστε. Οὐ μόνον γὰρ τῶν ζωηρρύτων παθημάτων αὐτοῦ κοινωνὸς ἠξιώθης γενέσθαι, ἀλλὰ καὶ τῆς ἀφθάρτου δόξης, ὡς ἱερεὺς καὶ μάρτυς ἀξιοθαύμαστος.

Καὶ νῦν. Ὑπόδεξαι Βηθλεὲμ τὴν τοῦ Θεοῦ Μητρόπολιν. Δοξολογία μεγάλη. Εἰς τὴν Λειτουργίαν. Τυπικά, Οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου, ᾠδὴ γ'. καὶ ς'. Ἀπόστ. καὶ Εὐαγ. ζήτει τοῦ ἁγ. Ἰωάννου τοῦ Χρυσοστόμου. Κοινωνικὸν Εἰς μνημόσυνον.

Μεγαλυνάριον.

Χαίροις, Ἱερώτατε Μόδεστε, χαίροις Ἱερέων καὶ Μαρτύρων καύχημα, ὅτι τοῦ τυράννου καθεῖλες τὰ ληρώδη, καὶ ἰατρὸς τῶν ζώων ἐδείχθης ἕτοιμος.

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΜΟΔΕΣΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΛΕΓΟΜΕΝΗ ΕΙΣ ΠΑΣΑΝ ΘΑΝΑΤΗΦΟΡΟΝ ΑΣΘΕΝΕΙΑΝ

Βοῶν, Ἵππων, Ὄνων, Ἡμιόνων, Προβάτων Αἰγῶν, Μελισσῶν καὶ λοιπῶν ζώων.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὁ ἐλεήμων καὶ Πανάγαθος, ὁ πᾶσαν τὴν νοητὴν καὶ αἰσθητὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ τοὺς οἰκτιρμούς σου ἐκχέων ἐπὶ πάντα τὰ ὑπὸ σοῦ δημιουργηθέντα, ὁ διὰ τῆς παναγάθου προνοίας σου πάντων προνοῶν καὶ πάντων κηδόμενος τῶν κτισμάτων σου, αὔλων, ὑλικῶν, λογικῶν, ἀλόγων, ἐμψύχων, ἀψύχων, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων· οὐδὲν γὰρ ἀπρονόητον, οὐδὲ ἠμελημένον παρὰ σοὶ τῷ ποιητῇ καὶ προνοητῇ τοῦ παντός. Σὺ γὰρ εἶ, ὁ ἀνοίγων τὴν χεῖρά σου καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας. Σὺ εἶ ὁ ἐξαποστέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην, ἕνεκα τῆς δουλείας τῶν ἀνθρώπων. Σὺ εἶ, ὁ πάλαι τὰς τῶν ζώων ἀγέλας τοῦ Ἰσραὴλ ἀνωτέρας διαφυλάξας τῆς θανατηφόρου πληγῆς τῶν πρωτοτόκων ζώων τῶν Αἰγυπτίων. Σὺ εἶ, ὁ διὰ τῆς ἐνσάρκου σου οἰκονομίας καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοὐτέστι τὸν διάβολον, καὶ τῷ θανάτῳ σου θανατώσας τὸν θάνατον.

Σὺ εἶ, ὁ καὶ δι' ἐμοῦ τοῦ ἀναξίου δούλου σου, τὸν μὲν ὄφιν θανατώσας, τὸν τὴν πηγὴν τοῦ ὕδατος τῷ ἑαυτοῦ ἰῷ διαφθείραντα, τὰ δὲ ἐξ αὐτῆς πιόντα ζῶα καὶ νεκρωθέντα, τῇ ζωοποιῷ σου δυνάμει σου ἀναστήσας καὶ τὸν εἰς τοῦτο συνεργήσαντα δαίμονα, ἐμφανῆ γενέσθαι παρασκευάσας, ὁμνύοντα μηδέποτε προσεγγίσαι τολμῆσαι, ὅπου ἂν ἐπικληθείη τὸ ταπεινόν ἐμοῦ ὄνομα.

Σοῦ τοίνυν δέομαι, Δέσποτα Πανάγαθε καὶ ποιητὰ τοῦ παντός, καὶ σὲ ἱκετεύω τὸν τῆς ζωῆς πάσης αἴτιον· ἐπάκουσον ταύτης μου τῆς δεήσεως, καὶ ἀπέλασον πᾶσαν θανατηφόρον ἀσθένειαν καὶ βλάβην ἀπὸ τῶν βοῶν, ἵππων, ὄνων, ἡμιόνων, προβάτων, αἰγῶν, μελισσῶν καὶ τῶν λοιπῶν ζώων, τῶν εἰς χρείαν ὄντων τῆς ζωῆς τῶν δούλων σου, τῶν ἐπικαλουμένων Σέ, τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν, καὶ τὸ ἐμὸν ὄνομα. Καὶ δὸς, Κύριε, πᾶσι τοῖς τὴν ἐμὴν μνήμην ἐπιτελοῦσι καὶ μετὰ πίστεως προστρέχουσι τοῖς λειψάνοις μου, εἰρήνην σταθεράν, πληθυσμὸν ζώων, ἀφθονίαν σίτου, οἴνου καὶ ἐλαίου· καὶ ἐπὶ πᾶσιν ἄφεσιν ἁμαρτιῶν, σωμάτων ὑγείαν καὶ τῶν ψυχῶν σωτηρίαν αἰώνιον.

Ναί, Κύριε Ἰησοῦ Χριστέ, τοῖς ἰδίοις σπλάγχνοις ἐπικαμπτόμενος, οἰκτειρον τὰ πάσχοντα ζῶα, τῇ δρεπάνῃ τοῦ θανάτου ἀγεληδὸν θεριζόμενα. Καὶ ὡς λόγον μὴ ἔχοντα, μόνοις τοῖς μηκυθμοῖς καὶ ταῖς γοεραῖς καὶ ἀνάρθροις φωναῖς, τὸ πάθος καὶ τὴν ὀδύνην αὐτῶν ἐλεεινῶς ἐξαγγέλλοντα, ὥστε καὶ τοὺς λογικοὺς εἰς συμπάθειαν αὐτῶν ἕλκεσθαι. «Εἰ γὰρ δίκαιος οἰκτείρῃ ψυχὰς κτηνῶν αὐτοῦ, κατὰ τὸ γεγραμμένον, πῶς οὐκ οἰκτειρήσεις ταῦτα Σὺ ὁ τούτων ποιητὴς καὶ προνοητής;» Σὺ γὰρ εὔσπλαγχνος, καὶ τῶν ἐν τῇ Κιβωτῷ ζώων ἐμνήσθης, ὑπὸ τῆς οἰκείας χρηστότητος καὶ τῶν οἰκτιρμῶν σου νικώμενος. Ἵνα διὰ τῆς εὐξίας καὶ τοῦ πληθυσμοῦ τῶν βοῶν καὶ τῶν λοιπῶν τετραπόδων ζώων καλλιεργῆται μὲν ἡ γῆ, αὐξάνωσι δὲ οἱ καρποί, καὶ ἀφθόνως οἱ δοῦλοί σου, οἱ ἐπικεκλημένοι τὸ ὄνομά μου, ἀπολαύωσι τῶν ἰδίων γεωργιῶν. Ἐκ τούτων δέ, πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύωσιν εἰς πᾶν ἔργον ἀγαθόν, καὶ δοξάζωσι μὲν Σὲ τὸν χορηγὸν παντὸς ἀγαθοῦ, τιμῶσι δὲ κἀμὲ τὸν σὸν δοῦλον καὶ ἱκέτην θερμότατον τῆς παντοκρατορικῆς βασιλείας Σου. Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΟΝΟΥΦΡΙΟΥ

ΤΟΥ ΕΝ ΧΙΩ ΑΘΛΗΣΑΝΤΟΣ ΕΝ ΕΤΕΙ 1818, ΙΑΝΟΥΑΡΙΟΥ 4.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν προσόμοια τοῦ Ἁγίου.

Ἦχος α'. Πανεύφημοι μάρτυρες.

Λαμπρά σου τὰ τρόπαια σοφέ, ἅπερ ἀνεστήλωσας, κατὰ τῆς πλάνης, Ὀνούφριε, λαμπρὰ ἡ ἄθλησις, λαμπρός σου ὁ βίος, καὶ λαμπρὸν διάδημα, Χριστὸς ὁ ζωοδότης προέτεινε, τῇ σεβασμίᾳ σου, κορυφῇ ἣν ἀσπαζόμενοι, μετὰ πόθου, πιστῶς σε γεραίρομεν,

Τὸ φῶς τὸ ἀνέσπερον ἐν σοί, φαεινὲ Ὀνούφριε, τῆς τρισηλίου Θεότητος, νῦν ἀνατέταλκεν, ἐν τοῖς οὐρανίοις, καὶ λαμπρὸν σὲ ἔδειξεν, Ἀγγέλων ταῖς χορείαις φῶς δεύτερον, ὡς κατὰ μέθεξιν, θεωρηθέντα, ἀξιάγαστε, τῇ ἐκχύσει τοῦ σεπτοῦ σου αἵματος.

Διένειμας πλοῦτον τὸν φθαρτόν, τοῖς πτωχοῖς, καὶ ἔδραμες, καθάπερ λέων τοῖς σκάμμασι, στερρὲ Ὀνούφριε, τοῖς τοῦ μαρτυρίου, καὶ γυμνὸς ἐπάλαισας, σατὰν τῷ ἀποστάτῃ καὶ ἔστησας, λαμπρὸν τὸ τρόπαιον, κατ' αὐτοῦ καὶ νίκην ἤγειρας, τῇ δυνάμει Χριστοῦ θαρσυνόμενος.

Τὸ ξίφος σοι γέγονε, σοφέ, κλίμαξ πρὸς οὐράνια, καὶ θεῖα μάρτυς σκηνώματα, ἔνθα ἡ ἄρρητος χαρμονὴ καὶ τέρψις, ὁ Θεός, Ὀνούφριε, Πατὴρ Υἱὸς καὶ Πνεῦμα τὸ ἅγιον, ἔνθα οἱ Ἄγγελοι, μελῳδοῦσι τὸν τρισάγιον, τῇ Τριάδι ἐκ πόθου, μακάριε.

Ἕτερα τοῦ ἁγίου προσόμοια. Ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσι.

Προσόρτιον ἄγοντες, τῆς Χριστοῦ νῦν βαπτίσεως, σὲ λαμπρὰν ὄντως πανήγυριν εὕρομεν· διὰ Χριστὸν καὶ γὰρ ἔδραμες, μαρτύρων τοῖς σκάμμασι. μετὰ πόθου ἀθλητά, καὶ τὴν πάντιμον

ΕΚΠΑΙΔΕΥΤΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΑΓΓΕΛΙΚΟΣ ΠΑΣΤΗΡ

κάραν σου, ἐκμιμούμενος, τὸν τὴν κάραν Προδρόμῳ κεκλικότα, καθυπέκλινας τῷ ξίφει, ὁσιομάρτυς Ὀνούφριε.

Ὃδὸν πρότερον ἔδραμες, τῆς ἀσκήσεως ἔνδοξε, ἀθλητὰ Ὀνούφριε καθαιρόμενος, θείῳ καρδίας ἐν πνεύματι, τὸ δεύτερον αὖθις δέ, μαρτυρίου ἐν ὁδῷ, ὁλοψύχως προσέδραμες, ὁσιώαθλε, δι' αὐτῆς κληρονομήσας τὴν ἄνω, τοῦ Κυρίου βασιλείαν, καὶ τὴν χαρὰν τὴν ἀνέκφραστον.

Οὐκ ἐν τύποις καὶ χρώμασι, ζωγραφῶν τὸν θεάνθρωπον, Ἰησοῦν Ὀνούφριε ὡς τὸ πρότερον, ἀλλὰ προσώπῳ πρὸς πρόσωπον, αὐτοῦ τὸ γλυκύτατον, θεωρῶν νῦν ἀληθῶς, τὴν ἐκεῖθεν πηγάζουσαν, αἴγλην ἄστεκτον, προσλαμβάνων πλουσίαν τοῖς τιμῶσι, τὴν σεβασμίαν σου μνήμην. μετοχετεύεις πανθαύμαστε.

Πρὸς τελοῦντας τὴν μνήμην σου, ἐτησίως πανένδοξε, πειρασμῶν ἐκλύτρωσαι ταῖς πρεσβείαις σου, ὁσιομάρτυς Ὀνούφριε, καὶ πάσης κακώσεως, καὶ δυσώπησον Χριστόν, δι' ὃν μάρτυς ἐνήθλησας, ὅπως εὕρωμεν, ἱλασμὸν ἐν ἡμέρᾳ τῇ τῆς δίκης, καὶ κολάσεως ῥυσθῶμεν, καὶ τῆς ζωῆς ἐπιτύχωμεν.

Δόξα. Ἦχος πλ. δ'.

Πετρωμένος τὴν καρδίαν, τῷ θείῳ πόθῳ Χριστοῦ, καὶ τῷ ἀύλῳ πυρὶ τὴν ψυχήν, τοῦ πρὸς αὐτὸν διαπύρου πεπυρωμένος ἔρωτος, τῶν αὐτοῦ παθημάτων, κοινωνὸς γενέσθαι ἐπεπόθησας, μακάριε· διὸ καὶ εἰς ἄνδρα φθάσας τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, τῇ ἐκπληρώσει τῶν θεουργῶν ἀρετῶν, Θεὸν τέλειον τὸν αὐτόν, καὶ ἄνθρωπον τέλειον, ἐν τελείῳ φρονήματι ὡμολόγησας. ὃν ἀτελείᾳ φρενῶν ἐξηρνήσω, Ὀνούφριε, καὶ σφαγιασθεὶς ὑπὲρ αὐτοῦ ἑκουσίως, τὸ στέφος ἐκομίσω τῆς νίκης, καὶ παρρησίαν ἔχεις πρεσβεύειν, ὑπὲρ τῶν τιμώντων σέ.

Καὶ νῦν. Ὁ αὐτός.

Ἰωάννη βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετὰ Ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἄψαι τῇ παλάμῃ τῆς κορυφῆς μου τῆς ἀχράντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον· ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν δόξα σοι.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Τὰ ἀναγνώσματα. Εἰς ὁσιομάρτυρα ἁρμόζοντα. Εἰς τὴν λιτήν. Ἦχος α'. Ἔπρεπε τοῖς αὐτόπταις τοῦ λόγου.

Τοῦ ἁγίου ἰδιόμελον. Ἦχος α'.

Ἀπορραγεὶς τοῦ κόσμου, καὶ προκαθαρθεὶς ἐν ἀσκήσει, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἀξιάγαστε Ὀνούφριε, θεῖος ὅλος ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα, προσθεὶς τῇ ἀσκήσει, τὴν ὑπὲρ πίστεως ἄθλησιν, διττὸν εἴληφας παρὰ Χριστοῦ τὸ στέφος, σὺν τοῖς ὁσίοις καὶ μάρτυσι δοξαζόμενος καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὡς θαυμαστοὶ οἱ ἀγῶνές σου, πάτερ καὶ τὰ παλαίσματα! σὺ γὰρ ὡς ἀληθῶς, τὴν φύσιν ἐνστησάμενος διάσασθαι, τοὺς πάντας ἐν τούτῳ ὑπερηκόντισας· ἑβδομάδας γὰρ ἡμερῶν ἐν ἀστιᾳ διήγυσας, καὶ ῥεῖθρα δακρύων ἀείρροα ἔβλυσας, καὶ ἐπὶ ἐπὶ τέλους αὐλώσας σαυτὸν ἐν τοῖς σκάμμασι, στρατιώτης ἐπάξιος τῆς ὑπερθέου ἀνεδείχθης Τριάδος, ἣν ἐκμετελίσσασθαι ἡμῖν μὴ διαλίπῃς, ὑπερθαύμαστε Ὀνούφριε.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα πνευματικὴν χορείαν συγκροτήσωμεν, καὶ τὸν ἀθλοφόρον τοῦ Χριστοῦ, ἐν ὕμνοις τιμήσωμεν, Ὀνούφριον τὸν ἔνδοξον· σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλε, καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐπιτελούντων, τὴν μνήμην αὐτοῦ τὴν σέβασμιον.

Ὁ αὐτός.

Θεοπρεπεῖ πολιτείᾳ, ὁσιομάρτυς Ὀνούφριε, σεαυτὸν ἐγγυμνασάμενος, θεοστεφεῖ μαρτυρίᾳ, τὸν βίον σου ἐστεφάνωσας, καὶ ἐπεσφράγισας ἀοίδιμε, καὶ δι' ἀμφοῖν εὐδοκιμήσας, διπλοῦν τὸ στέφος ἐκ ζωηφόρου δεξιᾶς ὑπεδέξω. Παρρησίαν οὖν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος πλ. δ'.

Ἔπρεπε τῇ σῇ ὁσιότητι, πῦρ ζήλου θεϊκοῦ ἐν καρδίᾳ τρεφούσῃ, καὶ πάντα πόνον ἀσκήσεως διὰ τοῦτο στεγούσῃ, καὶ τὸ τοῦ ζήλου διάπυρον παρρησιάσασθαι· ὅθεν τῇ Χριστοῦ ἀγάπῃ πυροπληθείς, τοὺς ἀνόμους στερρῶς διήλεγξας, καὶ τὴν εὐσέβειαν τρανῶς ἀνεκήρυξας, καὶ μάρτυς τῆς ἀληθείας ἐδείχθης, ὁσιομάρτυς Ὀνούφριε. Διὸ πρέσβευε ὑπὲρ ἡμῶν, παρρησίαν ὡς ἔχων, τῶν πιστῶς σου τελούντων τὸ μνημόσυνον.

Ὁ αὐτός.

Λευκάνας ὑπὲρ χιόνα, τοῖς κρουνοῖς τῶν δακρύων σου, τὸν τῆς ψυχῆς σου χιτῶνα, Ὀνούφριε, αὖθις ὡς πορφύραν βασιλικὴν τοῦτον ἔβαψας, τῆς σῆς ἀθλήσεως αἵματι, ὁσιομάρτυς Ὀνούφριε. Ὅθεν διττῶς στεφθεὶς ὡς νικητής, παρὰ Χριστοῦ τοῦ βασιλέως, ἀοίδιμε, εἰσῆλθες εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ πρὸς τὸν ποθούμενον κατέπαυσας, ἡμῖν ἐξαιτούμενος ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Ἦχος πλ. α'.

Πῶς ἐπαξίως τὰ γέρα τῶν ἀρετῶν σου διηγήσεται, ὁσιομάρτυς Ὀνούφριε· ἢ τὶς τὴν καρτερίαν τοῦ μαρτυρίου σου

ἀποφθέγξαιτο; ἐν ἀμφοτέροις γὰρ ἠρίστευσας. Δεῦτε οὖν, φίλαθλοι, θερμῶς συνελθόντες, ἄσμασιν ἐπαξίοις αὐτὸν ὑμνήσωμεν λέγοντες· χαίροις, ἀοίδιμε, ὁ τὴν πλάνην τῶν δυσσεβῶν πικρῶς στηλιτεύσας, καὶ τὸν Σωτῆρα Χριστὸν Θεὸν προαιώνιον ἀνακηρύξας. Ὅθεν τὴν κάραν ἀποτμηθεὶς ἐν οὐρανοῖς νῦν ἁπολαμβάνεις τὴν ἀμοιβὴν τῶν καμάτων σου. Ἀλλὰ πρέσβευε δεόμεθα, δωρηθῆναι ταῖς τιμῶσί σε, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ὁ αὐτός.

Νεκρώσας τῆς σαρκὸς τὸ φρόνημα δι' ἀσκήσεως, τὴν ψυχὴν ἐζώωσας, πάτερ Ὀνούφριε, τῇ ἐνεργείᾳ τῶν θεουργῶν ἀρετῶν, καὶ ὅλον ἐθέωσας, πανοίδιμε, καὶ νῦν ἀντὶ τοῦ τετραμήνου ἐγκλεισμοῦ, ὑπὲρ χαίρων πρὸ τοῦ αὐτομολῆσαι ὑπέστης, τὸ πλάτος σοι χορεῦσαι ἐδόθη τοῦ οὐρανοῦ· ἀντὶ δὲ τῆς ἀεννάου ῥοῆς τῶν δακρύων, χαρᾷ ἡ διηνεκὴς καὶ ἀνέκφραστος, ἡ τρυφὴ σοι τοῦ παραδείσου· ἀντὶ δὲ τῶν ἐπιτεταμένων νηστειῶν καὶ λοιπῆς ἀσκήσεως μισθὸν ἐκομίσω, τῷ Θεῷ ἐν δόξῃ παρίστασθαι· καὶ τελευταῖον ἀντὶ τοῦ ὑπὲρ Χριστοῦ ἀοιδίμου θανάτου, τὸ συζῆν αὐτῷ καὶ συμβασιλεύειν εἰς τοὺς αἰῶνας. Ἱκέτευε οὖν ὑπὲρ ἡμῶν τῶν κατακρίτων, τὴν αὐτοῦ ἀγαθότητα, ὅπως ἔλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Δεῦτε τῇ διανοίᾳ ἀπίωμεν πιστοὶ πρὸς τὴν ἔρημον τοῦ Ἰορδάνου, δεῦτε προϋπαντήν τελέσωμεν καθαρᾷ τῇ καρδίᾳ, τῆς ἐνδόξου ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. Ἰδοὺ γὰρ παραγίνεται πρὸς Ἰορδάνην, βάπτισμα αἰτῶν ὁ ἀναμάρτητος, ἵνα καθάρῃ τὸν κόσμον ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ. Θερμῶς οὖν βοήσωμεν, τοῦ φωτισμοῦ σου ἀξίωσον ἡμᾶς, εὐχαῖς τῆς Θεοτόκου, διὰ τὸ μέγα σου ἔλεος.

ΨΗΦΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΣ ΝΕΚΤΑΡΙΟΣ ΠΕΝΤΑΠΟΛΕΩΣ ΑΝΤΙΟΧΕΙΑΣ ΕΚΔΟΤΗΡΙΟΣ ΠΑΠΑΣΤΑΜΟΥ

Εἰς τὸν Στίχον. Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἀσκητικῶν ἀληθῶς, ἀγωνισμάτων Θείοις ὅπλοις, Ὀνούφριε, νηστείαις, δακρύων ῥείθροις, καὶ προσευχαῖς ἱεραῖς, κλίσεσι γονάτων ἀγρυπνίαις τε, νεκρώσει τοῦ σώματος, ὁπλισάμενος, ὅσιε, καὶ πᾶσαν θείαν, πανοπλίαν τοῦ πνεύματος, ἐνδυσάμενος, καὶ ἀθλήσας στερρότατα, τρόπαιά τε ἀράμενος λαμπρά, ἀξιάγαστε, κατὰ τῆς πλάνης γενναίως καὶ τὸν Χριστὸν μόνον Κύριον, ἁπάντων κηρύξας, καὶ Σωτῆρα, ὃν εὐχαῖς σου ἡμῖν ἱλέωσον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις, ὁσιομάρτυς Χριστοῦ, τῆς Βουλγαρίας ὁ σεπτὸς γόνος ἔνδοξε, τοῦ Ἄθωνος Θρέμμα Θεῖον, τῶν μοναχῶν καλλονή, ἀθλητῶν ἡ δόξα καὶ εὐπρέπεια, ὁσίων Ὀνούφριε, καὶ πιστῶν μέγα στήριγμα, τῆς Ἐκκλησίας βάσις ὄντως ἡ ἀσειστος, νοῦς ὁ ἔνθεος, καὶ ψυχὴ ἡ Θεόληπτος, κῆρυξ ὁ διαπρύσιος, Χριστοῦ τῆς Θεότητος, ὁ καθαιρέτης τῆς πλάνης, τῶν ἀσεβούντων ὁ ἔλεγχος, ὁ ἔφορος Χίου, ἣν ἠγίασας ἐκχύσει τῇ τῶν αἱμάτων σου.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Χαίροις ὁ φρονίμως τὸν νοῦν, ἔχων Ὀνούφριε Θεόθεν φρουρούμενον, ὁσίων νέα προσθήκη, καὶ ἀθλητῶν ποθεινή, αὔξησις τρισμάκαρ ὁ Θεόσοφος, τῆς πίστεως πρόμαχος, καὶ τῆς πλάνης ὁ ἔλεγχος, ὁ τὴν σοφίαν καὶ τὸ στόμα Θεόσδοτον, πρὸς Χριστοῦ λαβών, ὡς φησιν ἡ ὑπόσχεσις, ὅπερ οἱ ἀντικείμενοι, οὐδόλως δεδύνηνται, τὰς ἑαυτῶν φληναφίας, καὶ τὰ τῆς πλάνης ληρήματα, ἀντειπεῖν οἱ λῆροι, Χριστὸν ἔσχες γὰρ λαλοῦντα, ἐν σοὶ μακάριε.

Δόξα. Ἦχος πλ. δ΄.

Ἐν πίστει τῇ πρὸς Θεόν, γνῶσιν Θείαν λαβών, ἐν δὲ τῇ γνώσει τὴν πρὸς αὐτόν, ἀγάπην κτησάμενος, ἐν τῇ ἀγάπῃ δέ, εἰς τὴν ἐν ἀρεταῖς τελειότητα φθάσας, μισθὸν ἐκομίσω τὸ τελειωθῆναι δι' αἵματος, ὡς ἐπόθεις, τρισμάκαρ Ὀνούφριε, καὶ κοινωνὸς γενέσθαι τῶν Χριστοῦ παθημάτων κεκηξιώθης, ᾧ πρεσβεύων μὴ διαλείπῃς, ὑπὲρ τῶν ἐν πίστει καὶ πόθῳ τελούντων, τὴν μακαρίαν σου ἄθλησιν.

Καὶ νῦν. Προεόρτιον.

Ἔρχεται πρὸς Ἰορδάνην Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου, καὶ φησὶ πρὸς αὐτόν· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί· σύ με ἁγίασον, Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Ἀπολυτίκιον. Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Δακρύων τῇ ῥοῇ, πεσιμῷ τῆς νηστείας, εὐχῇ διηνεκεῖ, καὶ γονάτων τῇ κλίσει, Ὀνούφριε πανθαύμαστε, παννυχίοις τε στάσεσι, πῦρ τὸ ἄϋλον, τῆς τοῦ Κυρίου ἀγάπης, ἐν καρδίᾳ σου, ὁσιομάρτυς, ἀνήφθη, διὸ θανεῖν ἔσπευσας.

Καὶ νῦν. Θεοτοκίον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. στιχολογίαν. Κάθισμα. Ἦχος α΄.
Τὸν τάφον σου Σωτήρ.

Ὀρθρίζοντες τοὺς σούς, εὐφημοῦμεν ἀγῶνας, ἐν ὕμνοις καὶ ᾠδαῖς, οὓς ὑπέστης γενναίως, Ὀνούφριε πανθαύμαστε, ἐν ἀσκήσει θλιβόμενος, κακουχούμενος, καὶ ὑποτάξας τὸ χεῖρον, σπεύδων ὅσιε, τῷ κρείττονι καὶ τὴν σάρκα, δουλώσας τῷ πνεύματι.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Ταχὺ προκατάλαβε.

Τοῦ παραγίνεται πρὸς Ἰορδάνην Χριστός, φωνεῖ τῷ Προδρόμῳ τε, δεῦρό με βάπτισον, τὸν πᾶσαν καθαίροντα, κόσμου τὴν ἁμαρτίαν, ποταμίοις ἐν ῥείθροις· ἔκτεινόν σου τὴν χεῖρα, κορυφήν μου πρὸς θείαν, χειρὸς γὰρ τὸ παράπτωμα ἦλθον ἁγιάσθαι.

Μετὰ τὴν 6΄ στιχολογίαν. Θείας πίστεως.

Θανεῖν ἔδοξας, ὁσιομάρτυς, τοῖς παράφροσι, καὶ ἐλογίσθη, ἡ σὴ πρὸς Κύριον ἔξοδος κάκωσις, καὶ ἡ πορεία ἡ σὴ πρὸς οὐράνια, τοῖς ματαιόφροσι μάταιον σύντριμμα, ἀλλ' εἰρήνη σοι, ἡ θεία θεόθεν δέδοται, ἡ πάντα νοῦν Ὀνούφριε, ὑπερέχουσα. (Δίς).

Προεόρτιον. Ὁ ὑψωθείς.

Τὸν βασιλέα τοῦ παντὸς καὶ δεσπότην, ἐπὶ τὸ βάπτισμα πιστοὶ καθορῶντες, θεοπρεπῶς ἐρχόμενον ὑμνήσωμεν αὐτόν, τρίβους καρδιῶν ἡμῶν, εὐτρεπίσωμεν πόθῳ, σπίλους ἀποπλύνοντας, τῶν δεινῶν ἐγκλημάτων· ἰδοὺ γὰρ σῶσαι γένος τῶν βροτῶν, ἐν Ἰορδάνου ροαῖς παραγέγονε.

Μετὰ τὸν Πολυέλεον. Κατεπλάγη Ἰωσήφ.

Ἐν συλλόγῳ παραστάς, τῶν δυσσεβῶν Ἀγαρηνῶν, ἀνεκήρυξας Χριστόν, Θεὸν καὶ ἄνθρωπον τρανῶς, δημιουργόν τε τοῦ σύμπαντος καὶ δεσπότην, καὶ ἤλεγξας αὐτῶν τὸν δυσσέβειαν, εὐτόλμως, ἀθλητὰ γενναιότατε, καὶ ξίφει τὴν κεφαλὴν ἀπεσημήνω, τῇ ψήφῳ πάντων Ὀνούφριε· διὸ τὸ στέφος τῆς ἀφθαρσίας, πρὸς Χριστοῦ ἐκομίσω.

Δόξα τὸ αὐτό.
Καὶ νῦν. Προεόρτιον. Ἀνέστης ἐκ νεκρῶν.

Ὁ μέγας βαπτιστής, τοῦ Κυρίου ἀγάλλου· ἐπέστη γὰρ Χριστός, ὑπὸ σοῦ βαπτισθῆναι. Τρέμεις ὡς ὑπηρέτης· ὁ γὰρ δεσπότης κεφαλὴν κλίνει σοι, ἅψαι τῆς θείας κάρας, τοῦ ἁπτομένου χειρὶ τὰ σύμπαντα, καὶ εὐδοκίᾳ σώζοντος Θεοῦ τὸ γένος τῶν ἀνθρώπων.

Οἱ ἀναβαθμοί. Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἦχου. Προκείμενον. Ἦχος δ΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος, πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων. Δόξα. Ταῖς τοῦ ὁσιάθλου πρεσβείαις. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός. Ἀναστὰς ὁ Ἰησοῦς.

Μεταστὰς ἀπὸ τῆς γῆς, εἰς τὰ οὐράνια ἀνηνέχθης, θεῖε ἀθλητά, Ὀνούφριε κλινέ, αἰτούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Κανόνες δύο, ὁ προεόρτιος καὶ τοῦ ἁγίου. Ὁ κανὼν τοῦ ἁγίου, οὗ ἡ ἀκροστιχίς. Ὕμνος σε μέλπω. Ὀνούφριε, σὺν πόθῳ. Εἰς δὲ τὴν θ΄. Ἰακώβου.

Ὠδὴ α΄. Ἦχος α΄. Χριστὸς γεννᾶται.

Ὑμνοῦντι πόθῳ τὴν μνήμην σου, τὴν θείαν καὶ φωσφόρον Ὀνούφριε, τὴν φωτιστικὴν τοῦ πνεύματος, χάριν μοι δωρηθῆναι αἴτησαι νῦν, ἔχων παρρησίαν θερμάκαρ πρὸς Χριστὸν ὡς ὁσιόαθλος.

Μισήσας κόσμον, Ὀνούφριε, ἐκέρδησας Χριστόν, εἰδὼς ἄριστα, πᾶσαν κοσμικὴν ἀπόλαυσιν, ἐχθρὰν πρὸς Θεὸν εἶναι, τὸν δὲ αὐτόν, προκρίνοντα πάντων, κληρονόμον ἀληθῶς αὐτοῦ γινόμενον.

Ναὸς ἐγένου, θεόληπτε, Θεοῦ πανευπρεπὴς δι' ἀθλήσεως, στερρὲ ἀθλητὰ Ὀνούφριε, τὴν φωσφόρον χαρμονικῶς, μνήμην ἐκτελοῦμεν, τῶν πταισμάτων ἱλασμὸν ἀντιλαμβάνοντες.

Ὁσίων Ἄθω ἀγλάϊσμα, καὶ νέων ἀθλητῶν σεμνολόγημα, ἐδείχθης, σοφὲ Ὀνούφριε, ὅθεν σὲ εὐφημοῦμεν ὡς νικητήν, κράζοντες συμφώνως· τοὺς τιμῶντάς σε νυνὶ σῶζε πρεσβείαις σου.

ΜΑΚΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΒΟΛΟΥ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ

Θεοτοκίον.

Τὸν παρθένος συνέλαβεν ἀσπόρως τὸν Δεσπότην τῆς κτίσεως, ὥσπερ Ἡσαΐας ἔφησε, τέτοκε δὲ ἀφθόρως θεὸν σαρκί, οὗπερ, καὶ καλεῖται, νῦν τὸ ὄνομα μεγάλης βουλῆς ἄγγελος.

Καταβασία. Βυθοῦ ἀνεκάλυψε πυθμένα.
Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

Σήμερον ἐν ὕμνοις, ὁ πολύτλας τιμάσθω Ὀνούφριος, Θεὸν τιμήσας ἐναρέτῳ πολιτείᾳ καὶ στέφος, διπλοῦν παρ' αὐτοῦ δεξάμενος, ὡς ὁσίαθλος πέλων Χριστοῦ. Ὢ διπλοῦ Χαρίσματος!

Σάλπιγξ οὐρανία, ἀνεδείχθη ἡ εὔλαλος γλῶσσά σου, ἀνακηρύττουσα ἐν μέσῳ συνεδρίου ἀνόμων, Χριστὸν τὸν Θεόν, Ὀνούφριε, καὶ [ἀσεβούντων τὴν πλάνην πικρῶς μάρτυς διελέγχουσα.

Εὕληφας τὴν χάριν, πᾶσαν νόσον ἰᾶσθαι, Ὀνούφριε, ἐν τῇ προσπτύξει σῶν λειψάνων, καὶ σεπτῆς σου εἰκόνος. Διὸ Θεράπευσον δέομαι, τὰ τῆς ψυχῆς μου καὶ σώματος χαλεπὰ πάθη τὰ ὀλέθρια.

Θεοτοκίον.

Μήτηρ καὶ Παρθένος, ἐχρημάτισας μόνη Θεόνυμφε· ὡς περ γὰρ ἔμεινεν ἄτρεπτος, μετὰ σάρκωσιν πάλιν, Θεὸς ὁ ἐκ σοῦ φορέσας με, οὕτω καὶ σε μετὰ τόκον τηρεῖ, πάλιν ἀειπάρθενον.

Καταβασία. Ἰσχὺν ὁ διδούς.
Κάθισμα. Τὴν σοφίαν καὶ Λόγον.

Τὴν ἀντίχριστον πλάνην ἐν παιδικῇ, ἡλικίᾳ δεξάμενος τὸν Χριστόν, ἠρνήσω τὸν Σωτῆρά σου, φεῦ τοῦ σοῦ δεινοῦ πταίσματος!, ἐν ᾧ τῇ ἀπάτῃ τοῦ ὄφεως πέπτωκας, τοῦ ἀρχεκάκου πάντως, τοῦ σὲ κατασπάσαντος, ἀλλὰ παραχρῆμα, νεύσει θείᾳ ἠγέρθης, εἰς πίστιν τὴν ὀρθόδοξον, τὸν Θεὸν ἱλεούμενος, τοῦ λαβεῖν τὴν συγχώρησιν. Διὰ βίου ὅσιε παντός, ἐνθέοις ἔργοις παμμακάριστε, ὃν καὶ τῇ σῇ ἀθλήσει, ἐνδόξως ἐδόξασας.

Καὶ νῦν. Προεόρτιον. Ἀνέστης ἐκ νεκρῶν.

Ὁ μέγας βαπτιστής, τοῦ Κυρίου ἀγάλλου· ἐπέστη γὰρ Χριστός, ὑπὸ σοῦ βαπτισθῆναι· τρέμεις ὡς ὑπηρέτης· ὁ γὰρ Δεσπότης κεφαλὴν κλίνει σοι· ἄψαι τῆς θείας κάρας, τοῦ ἁπτομένου χειρὶ τὰ σύμπαντα, καὶ εὐδοκίᾳ σώζοντος Θεοῦ τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ'. Τοῦ ἁγίου.

Ἐπίκηρον δόξαν καὶ τιμήν, κατέλιπες Ὀνούφριε, καὶ συνεσταύρωσας τῷ κτίστῃ σου, πρὸς τοὺς τυράννους στερρῶς ἀντικαθεστάμενος καὶ ἐκτμηθείς σου τὴν κάραν τὴν ἱεράν, ὡς θῦμα Θεῷ, τέλειον προσήχθης εὐάρεστον.

Δήμην ἀχλυόεσαν παθῶν, Ὀνούφριε ἐξήρανας, διὰ νηστείας καὶ δεήσεως, καὶ ἤρθης πρὸς Οὐρανούς, μαρτυρίου στέμμασι, ὡς ὡραϊσμένος ἐν δόξῃ, ἱκέτευε ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων σε, ἅγιε.

Πάντες οἱ πιστοὶ χαρμονικῶς, ὑμνοῦμέν σε Ὀνούφριε, ὡς ἀντιπάλων κατισχύναντα, τὸ θράσος τὸ δυσμενές, ἀπτοήτῳ χάριτι Χριστοῦ τοῦ Δεσπότου τῶν ἁπάντων, ὃν ἐκδυσώπει ἀεί, ὑπὲρ τῶν τελούντων τὴν μνήμην σου.

Θεοτοκίον.

Ὥσπερ ἐπὶ τόκον ὑετός, καὶ ὥσπερ σταγὼν στάζουσα, ἐπὶ ῥῆγα κόρη καταβέβηκεν, ὁ λόγος ὁ τοῦ Θεοῦ, ἐν τῇ σῇ Θείᾳ μήτρᾳ ὅλον τὸν Ἀδὰμ ἀνακαινίσαι, βουλόμενος ὡς Θεός. Δόξα τῇ αὐτοῦ ἀγαθότητι.

Καταβασία. Ἀκήκοα, Κύριε, φωνῆς σου.
Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Ὅσίως τὸν πόθον, σοφὲ πρὸς Θεόν, ἐσχηκὼς ἐν τῷ ὄρει τοῦ Ἄθωνος, ἐξήσκησας Ὀνούφριε νηστείαις, προσευχαῖς, εἶτα τοῦ μαρτυρίου, πρὸς ἀγῶνας Θεόφρον, δραμὼν ὑπερήθλησας, τοῦ σοῦ Δεσπότου ἀξιάγαστε.

Σὲ πάντες προστάτην, πλουτοῦμεν σοφέ, πρὸς Χριστόν, ὃν δυσώπει δωρήσασθαι, συγγνώμην παραπτώσεων καὶ πάντων δυσχερῶν, λύσιν καὶ σωτηρίαν, Ὀνούφριε ὡς μάρτυς, ἵνα πόθῳ ἔνδοξε, τὴν θείαν μνήμην σου γεραίρωμεν.

Ὀφρὺν ἀσεβούντων, μεγάλην, σοφέ, καταβέβληκας μάρτυς σὺν ῥήμασιν· ἐν λόγων γὰρ ἁπλότητι ἐκήρυξας Χριστόν, μόνον Θεὸν τῶν ὅλων, διὸ καὶ ἀπετμήθης, κεφαλὴν καὶ τὸ στέφος, τὸ ἀμαράντινον ἀπείληφας.

Θεοτοκίον.

Ὑμνοῦμέν σε κόρη, παρθένε ἁγνή, ὡς μητέρα Θεοῦ ὑπερένδοξον, δοξάζοντες τὸν τόκον σου ὡς μόνον κραταιόν, ῥυσάμενον τοὺς πάντας, ἐξ ᾅδου κενεώνων, ὅνπερ ἀεὶ ἱκέτευε, κατοικτειρῆσαι ἡμᾶς, Δέσποινα.

Καταβασία. Ἰησοῦς ὁ ζωῆς χορηγός.
Ὠδὴ ς'. Σπλάγχνων Ἰωνᾶ.

Φάσγανον, σοφέ, σὴν κάραν ἐχώρισε, τοῦ σώματός σου, καὶ πρὸς οὐράνια, νῦν σκηνώματα, ἀνέπτης σὺν μαρτύρων χορεύων χοροῖς, παριστάμενος τῷ θρόνῳ Χριστοῦ, Ὀνούφριε, ὅνπερ ἐκδυσώπει ἄφεσιν, τῶν πταισμάτων ἡμῶν τοῦ δωρεῖσθαι.

Ῥίπτεται βυθῷ, θαλάσσης τὸ σῶμά σου, μετὰ τὴν τομήν, στερρὲ Ὀνούφριε, τὸ δὲ πνεῦμά σου, πρὸς οὐράνια ἀνῆλθεν ἁγίων σκηναῖς, μεθ' ὧν συναγαλλόμενος ἱκέτευε σοφέ, ὑπὲρ τῶν ἀνευφημούντων σε, ψυχικὴν σωτηρίαν δωρήσασθαι.

Τλεων ἡμῖν τὸν μόνον φιλάνθρωπον, λιταῖς σου σεπταῖς μάρτυς ἀπέργασαι, ὁσιόαθλε, ὦ Ὀνούφριε, τοῦ Ἄθω ῥόδον τερπνόν, ὅπως πόθῳ σου τὴν ἄθλησιν τελῶμεν σοφέ, ὃν περ ὁ Χριστὸς ἐδόξασε, δι' αὐτὸν ὡς ἀθλήσαντα στερρότατα.

Θεοτοκίον.

Ἕστη μέχρι σοῦ, Παρθένε ὁ θάνατος· ζωὴν γὰρ Χριστὸν ἐκυοφόρησας, τὸν δωρούμενον, καθαρῶς εἰς αὐτὸν τοῖς πιστεύουσι, τὴν ἀθάνατον καὶ θείαν ἀγαλλίασιν. Τοῦτον Παναγία αἴτησαι, λυτρωθῆναι κινδύνων τοὺς δούλους σου.

Καταβασία. Ἡ φωνὴ τοῦ λόγου.
Κοντάκιον. Ἡ παρθένος σήμερον.

Ἣ λαμπά σου ἄθλησις, ἀποτομή τε ἡ θεία, τοῦ Χριστοῦ συνέδραμε, τοῖς ἱεροῖς γενεθλίοις, ὥῳθη δὲ καὶ σὺν τοῖς θείοις Θεοφανείοις, ἔχουσα ὁσιομάρτυς Χριστοῦ θεόφρον, ἑκατέρωθεν τὴν δόξαν, λαμπρὰν εἰκότως Ὀνούφριε ἀθλητά.

Ὁ οἶκος.

Τὸν ἐν ἀσκήσει πρότερον, καὶ ἐν ἄθλήσει ὕστερον, διαπρέψαντα Ὀνούφριον τὸν θεῖον, δεῦτε ὦ φιλόχριστοι καὶ φιλομάρτυρες, εὐφημήσωμεν, θαυμάζοντες αὐτοῦ τὰ ἔνθεα κατορθώματα, τὴν τοῦ κόσμου φημὶ ἀποταγήν, τὴν ἐν Χριστῷ ὑποταγήν, καὶ ἐκκοπὴν τοῦ ἰδίου θελήματος, τὰ ἀείρρυτα δάκρυα, τὰς ἐπιτεταμμένας ἐν ἡμέραις τε καὶ νυξὶ νηστείας, τὰς ἐκτενεῖς προσευχάς, καὶ παννυχίους στάσεις, τὴν τῆς καρδίας συντριβήν, καὶ τὴν τῆς ψυχῆς ἀνείκαστον κατάνυξιν καὶ ταπείνωσιν, δι' ὧν μισθὸν ἐκομίσατο τὸ τελειωθῆναι δι' αἵματος, ὡς ἐκ πόθου παρὰ Χριστοῦ ἐζήτει, ταῦτα φημὶ θαυμάζοντες, καὶ περικροτοῦντες, βοήσωμεν αὐτῷ, μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν σὲ πιστῶς εὐφημούντων, καὶ τιμώντων, Ὀνούφριε ἀθλητά.

ΤΩι ΑΥΤΩι ΜΗΝΙ Κ΄ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΟΝΟΥΦΡΙΟΥ ΤΟΥ ΠΕΟΥ.

Χριστὸν ποθήσας Ὀνούφριος ἐκθύμως.
Θνήσκει δι' αὐτὸν τῷ ξίφει χαίρων ὅλος.
Ὀνούφριον τετάρτῃ Ἀθωνίτην ἔκτανε χαλκός.

ΕΘΝΙΚΟ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΙΔΡΥΜΑ ΜΑΝΟΥΗΛ ΤΣΑΚΑΛΟΥ ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΔΗΜΗΤΡΑΚΟΣ

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΟΝΟΥΦΡΙΟΥ

ΤΟΥ ΕΝ ΧΙΩ ΑΘΛΗΣΑΝΤΟΣ ΕΝ ΕΤΕΙ ΑΠΟ ΧΡΙΣΤΟΥ ΑΩΙΗ΄ ΙΑΝΟΥΑΡΙΟΥ Α΄.

Εὐλόγησον Πάτερ,

Καὶ νῦν προεόρτιον.
Μετὰ τὴν δ΄. Στιχολογίαν.
Κάθισμα ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς ἀστὴρ ἀνέτειλας ἐκ τῆς ἑῴας, διδουχῶν τὰ πέρατα, ταῖς τῶν θαυμάτων σου βουλαῖς, ὅθεν ὑμνοῦμέν σε ἔνδοξε, Τρύφων τῆς θείας τρυφῆς τὸν ἐπώνυμον.

Δόξα ὁ αὐτός.

Ἑορτάζει σήμερον ἡ Ἐκκλησία, τοὺς σεπτοὺς ἀγῶνάς σου, ἔνδοξε Τρύφων ἀθλητά, τὸν ζωοδότην δοξάζουσα, τὸν σὲ προστάτην, θερμὸν ἀναδείξαντα.

Καὶ νῦν προεόρτιον.
Μετὰ τὸν πολυέλεον. Κάθισμα ἦχος γ΄.
Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Τὴν καθαρότητα Μάρτυς τοῦ βίου σου, καὶ τὸ ὑπέρλαμπρον, τοῦ μαρτυρίου σου, καταπλαγέντες οἱ πιστοὶ βοῶσί σοι γηθοσύνως· σήμερον τιμῶμεν σου, τελευτὴν Τρύφων ἔνδοξε, θραῦσον τὰ φρυάγματα, τῶν ἐχθρῶν ἡμῶν ἅγιε, καὶ λύτρωσαι ἡμᾶς ἐκ κινδύνων, καὶ νοσημάτων τοὺς ὑμνοῦντάς σε.

Δόξα ὁ αὐτός.

Ἀταραγώνιστος ἀθλητὴς γέγονας, τοῦ Παντοκράτορος, Τρύφων μακάριε, ἐν τῷ καιρῷ τῶν διωγμῶν, τῆς σαρκὸς μὴ φεισάμενος. Ὅθεν φλογιζόμενος ταῖς λαμπάσι πανόλβιε, ταύταις ἀπετέφρωσας, τὸν ἀντίπαλον δράκοντα· δι' ὃ μετ' εὐφροσύνης τὴν θείαν σου μνήμην πάντες ἑορτάζομεν.

Καὶ νῦν προεόρτιον. Οἱ Ἀναβαθμοὶ τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἦχου· τὸ προκείμενον ἦχος δ΄. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Στίχ. Πεφυτευμέ-

ΨΗΦΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΑΝΑΣΙΟΣ ΓΡΗΓΟΡΙΑΔΗΣ ΑΡΧΙΜΑΝΔΡΙΤΗΣ ΑΝΤΩΝΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

νος ἐν τῷ οἴκῳ Κυρίου. Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Εἶτα ὁ Ν΄. Δόξα ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. δ΄.
Πρὸς τὸ «τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν».

Μὰ ἐχνη τῶν σεβασμίων σου ποδῶν, ἐν οἷς ὁ κύων, τρέμει τὴν πρὸς αὐτὸν Ἱερὰν παρουσίαν σου, βλέπων γὰρ τὴν ἑαυτοῦ διὰ σοῦ ἐκ τῆς κόρης ἔξωσιν, αἰσχυνόμενος ὀδυνηρῶς ἀνεβόα. Τρύφων ἐστὶν ὁ ἐξ αὐτῆς ἐξώσας με. Τὸ Σῶσον ὁ Θεὸς τὸν Λαόν σου.

Εἶτα οἱ κανόνες. Ὁ προεόρτιος εἰς δ΄. καὶ τοῦ Ἁγίου εἰς δ΄. Ὁ Κανὼν τοῦ Ἁγίου.
Ὠδὴ Α΄. Ἦχος δ΄.
Ἀνοίξω τὸ στόμα μου.

Τρυφὴν τὴν ἀκήρατον, νυνὶ τρυφῶν Τρύφων ἐνδύξε, καὶ θείας λαμπρότητος καταξιούμενος, φωταγώγησον τὸν ζόφον τοῦ νοός μου, ὅπως εὐφημήσω σου, μνήμην τὴν πάνσεπτον.

Ὡς πάμφωτος ἥλιος, μνήμη ἡ θεία σου ἐνδύξε. ἡμᾶς κατελάμπρυνε, καὶ περιέθαλψε, χαρισμάτων σου πλουσίων ταῖς ἀκτῖσι. διὸ ἑορτάζοντες ταύτην γεραίρομεν.

Παράλαβε ἅγιε, Τρύφων τὸν μέγαν Γεώργιον, καὶ θεῖον Δημήτριον, καὶ ἱκετεύσατε, οἱ τρεῖς ἅμα τε, Τριάδα τὴν ἁγίαν, ἕνα θέον ἥρεμον, πάντες διάγωμεν.

Θεοτοκίον.

Μαρίαν τὴν ἄχραντον, καὶ Θεοτόκον ὑμνήσωμεν, τὸ ὄρος τὸ ἅγιον, στάμνον τὴν πάγχρυσον, τὴν βαστάσασαν, τὸ ψύσει θεῖον μάννα, τὸ τρέφον ἑκάστοτε, πιστοὺς τῇ χάριτι.

Καταβασία. Ἦχος γ΄.
Χέρσον ἀβυσσοτόκον. Ὠδὴ Γ΄.
Τοὺς σοὺς ὑμνολόγους

Τ'δοὺ σοὶ ἐπέφανεν ὁ μέγας, προστάτης καὶ ἄκρος βοηθός, Τρύφων ὁ πανοίδιμος, λαὲ Θεοῦ χριστώνυμε· δεῦρο οὖν πανηγύριζε, τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

Φλεχθεὶς δι' ἀγάπην τοῦ Κυρίου, πανενδύξε Τρύφων ἀθλητά, φλέγεις θηρία ἅπαντα, διὰ τῆς θείας χάριτος, τὰ τοὺς καρποὺς λυμαίνοντα, καὶ ἀπελαύνεις εἰς ἄβατον.

Γεώργιε, Τρύφων, καὶ ὁ μέγας Δημήτριος, ἅπασιν ἡμῖν, εἰρήνην ἐξαιτήσασθε, παρὰ Χριστοῦ πανένδοξοι, καὶ ἐπηρείας ῥύσασθε, τῶν ἐθνικῶν καὶ κακώσεως.

Θεοτοκίον.

Υἱὸν τοῦ Θεοῦ τὸν Θεὸν λόγον τῷ κόσμῳ ἀχώρητον παντί, ἐν σῇ γαστρὶ χωρήσασα, ἀγκάλαις σου ἐβάστασας, παρθενομῆτορ ἄχραντε, Χριστιανῶν καταφύγιον,

Καταβασία. Τὸ στερέωμα τῶν ἐπί σοὶ πεποιθότων. Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ο' λαμπτὴρ τῆς Λαμψάκου ὁ φαεινός, καὶ ἡμῶν ὁ προστάτης ὁ κραταιός, ἐκλάμπειε τοῖς πέρασι, τῷ φωτὶ τῶν ἐάσεων, τὸν ζοφώδη δαίμονα, ἐλαύνεις σφοδρότατα, μέλανα ὡς κύνα, τοῖς πᾶσιν ἀπέδειξας, πάσας μαρτυροῦντα, τὰς αἰσχρὰς αὐτοῦ πράξεις· πᾶσαν τὴν γῆν Ἑλλησπόντου ἀπαστράπτεις τοῖς θαύμασι, Τρύφων Μάρτυς ἀήττητε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Πῶν πόνων μακάριε, καταπρυφῶν τῆς σαρκός, τὴν θείαν καὶ ἄπονον, ἐν παραδείσῳ τρυφήν, ἀξίως ἀπείληφας, στέφος ἀθανασίας, ἐκ Θεοῦ δεδεγμένος ὅθεν καὶ ἰαμάτων, ποταμοὺς ἀναβλύζεις τοῖς πόθῳ καταφεύγουσι, Μάρτυς τῇ σκέπῃ σου.

Καὶ νῦν τῆς ἑορτῆς. Σαρκὶ νηπιάσαντα ἐξ ἀπειράνδρου Μητρός.
Ὠδὴ Δ΄. Τὴν ἀνεξιχνίαστον.

Πί σοι ἀνταπόδομα Μάρτυς Χριστοῦ, σοὶ ἀνταποδοίημεν ἄξιονς ἀνθ' ὧν μυρίους εὐηργέτησας καλοῖς ἡμᾶς τοὺς οἰκτροὺς δούλους σου, ὅθεν κατὰ χρέος σε μέλπομεν.

Μνήμην τὴν ἁγίαν σου πόθῳ ψυχῆς, νῦν ἐπιτελοῦμεν οἱ δοῦλοί σου, πεῖραν κινδύνων, διαφεύγομεν πολλῶν, καὶ τὸν Χριστὸν δοξάζομεν, τὸν σὲ ἐν τῷ Κόσμῳ δοξάσαντα.

Δεῦτε τῆς Τριάδος στερροὶ ἀθληταί, ἅμα Γεωργίῳ Δημήτριε, καὶ Τρύφων Μάρτυς, οἱ ὑπέρμαχοι ἡμῶν, πάντας ἀπολυτρώσασθε, ἐκ παντοίας βλάβης καὶ θλίψεως.

Θεοτοκίον.

Χαῖρε ἡ σωτήριος πάντων ἐλπίς, χαῖρε ἡ κατάκαρπος ἄμπελος, χαῖρε ἡ πύλη τοῦ Θεοῦ ἡ μυστική· χαῖρε ἡλίου ὄχημα, χαῖρε Θεοτόκε πανύμνητε.

Καταβασία. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου.
Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Λαμπρά σου ἡ ἄθλησις, ὑπάρχει Τρύφων ἐνδύξε, λαμπρὰ καὶ ἡ μνήμη σου τρισμάκαρ, λαμπρὰ δὲ ὄντως καὶ τὰ θαυμάσια, ἅπερ ἐκτελεῖς διηνεκῶς, εἰς τὸν κόσμον ἅπαντα, τοῦ Κυρίου τῇ χάριτι.

Π' κλῆσίς σου ἔνδοξε, σελήνη ὥσπερ λάμπουσα, τὸ σκότος τῶν θλίψεων διώκει, καὶ λύπην πᾶσαν παραμυθεῖται ψυχῶν, τῶν προσκαλουμένων σου πιστῶς, τὴν θερμὴν ἀντίληψιν, καὶ ὀξεῖαν βοήθειαν.

Ἐκτείνατε ἅγιοι, Γεώργιε, Δημήτριε, Τρύφων τὴν πλουσίαν ἡμῶν χάριν, ἐπὶ ἀμπέλους, κήπους, ἀρούρας τε, τὰς βομβυκοτρόφους νῦν ἡμῶν, καὶ καρποὺς τὰ βλάπτοντα ἑρπετὰ ἐκδιώξατε.

Θεοτοκίον.

Νεφέλαις ὀχούμενος, Κριτὴς ὁ ἐπουράνιος, ὅταν μετ' Ἀγγέλων δόξης ἔλθῃ, κρίσιν δικαίαν ποιῆσαι Δέσποινα, τότε παρρησίᾳ μητρικῇ, πρόστηθι τῶν δούλων σου τῶν πιστῶς ἀνυμνούντων σε.

Καταβασία. Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς. Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Η' θεία μνήμη σου ἔνδοξε, καθάπερ ἑωσφόρος ἀνέτειλας πᾶσι τοῖς πέρασιν, ἣν συνελθόντες γεραίρομεν, καὶ τοὺς σεπτούς ἀγῶνάς σου, μακαρίζομεν.

Γνωρίσαι θέλων ὁ Κύριος, τὴν δόξαν ἣν ἀπέλαυες ἅγιε, εἰς τὰ Οὐράνια, κρήνην θαυμάτων ἀνέδειξε, τὸ ἱερόνσου σῶμα, Τρύφων πολύαθλε.

Τ'δοὺ τοὺς κήπους ἀμπέλους τε, ἀρούρας ἡμῶν πάσας πολύαθλοι, παρατιθέμεθα, χερσὶν ἡμῶν μετὰ Κύριον, Γεώργιε, Δημήτριε καὶ Τρύφων μέγιστε.

Θεοτοκίον.

Πὰ θεῖα σπλάγχνα ὑπάνοιξον, Θεόνυμφε τῆς σῆς ἀγαθότητος, καὶ τῆς ἀθλίας μου, ψυχῆς τὴν αἴτησιν πλήρωσον, ὅπως ἀεὶ δοξάζω καὶ μεγαλύνω σε.
Καταβασία. Ἐβοήσέ σοι. Κοντάκιον τοῦ Ἁγίου. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Τριαδικῇ στερρότητι, πολυθεΐαν ἔλυσας, ἐκ τῶν περάτων ἀοίδιμε· τέμιος

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΥΑΓΓΕΛΟΣ ΠΑΠΑΣΤΑΘΗΣ

ἐν Χριστῷ γενόμενος, καὶ νικήσας τυράννους, ἐν Θεῷ τῷ Σωτῆρι, τὸ στέφος εἴληφας τῆς μαρτυρίας σου, καὶ χαρίσματα θείων ἐάσεων ὡς ἀήττητος.

Ὁ Οἶκος.

Ὁ δεσπόζων τοῦ σύμπαντος Κύριος, ὁ χαρίσμασι ποικίλοις τοὺς ἁγίους αὐτοῦ κατακοσμήσας, καὶ πᾶσι πάντα νέμων, ἐν ζυγῷ δικαιοσύνης προειδὼς τὴν πρὸς αὐτοὺς καὶ τοὺς ἀδελφοὺς ἀγαπητικὴν τῆς σῆς καρδίας διάθεσιν. οὐ μόνον τοῦ χαρίσματος τοῦ Μαρτυρίου, κατηξίωσέ σε, Τρύφων παναοίδιμε, ἀλλ' ὥσπερ Ἀρτεμίφ τὴν χάριν τῆς τῶν διδύμων θεραπείας, καὶ Χαραλάμπῳ τῆς λοιμικῆς νόσου, καὶ Μοδέστῳ τῆς τῶν ζώων φθορᾶς. οὕτω καὶ σοὶ ἐξαίρετον ἐδωρήσατο χάριν πολύαθλε, τηρεῖν ἀδιαφθόρους τῆς τῶν ἑρπετῶν βλάβης, τοὺς χόρτους καὶ καρποὺς, τῶν ἀμπέλων, καὶ κήπων τε καὶ ἀρουρῶν τῶν ἐπικαλουμένων σε· ἣν καὶ ἡμῖν τοῖς τελοῦσι τὴν μνήμην σου, παράσχοις ἀεὶ ὡς ἀήττητος.

Στέχοι : Σὺ δὲ Τρύφων τί ; τὸ ξίφος θνήσκω φθάσας.
Καιρὸς δὲ τίς σου τοῦ τέλους ; Νουμηνία.
Ἐν Φεβρουαρίοις Τρύφων προτομῆς θᾶνε
[πρώτη.

ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΤΡΥΦΩΝΟΣ

Μετὰ τὴν ἔνσαρκον παρουσίαν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ ἔγερσιν, καὶ εἰς οὐρανοὺς ἀνάληψιν, καὶ τὴν κάθοδον τοῦ Παναγίου Πνεύματος, ἐκηρύχθη εἰς πᾶσαν τὴν γῆν τὸ Ἱερὸν Εὐαγγέλιον, καὶ ἐδιώκετο τὸ σκότος τῆς ἀγνωσίας, τὸ δὲ φῶς τῆς εὐσεβίας ἐπέλαμψε πανταχοῦ μὲ τὴν θείαν βοήθειαν· διότι οἱ Θεοκήρυκες Ἀπόστολοι διέδραμον ὡς ἀστραπαὶ ἐξαστράπτουσαι εἰς ὅλα τῆς οἰκουμένης τὰ πέρατα, ἕκαστος εἰς τὸ ἔθνος ὅπερ τῷ ἐκληρώθη μὲ θείαν βούλησιν, εὐαγγελιζόμενοι πανταχοῦ τὸ σωτήριον κήρυγμα· καὶ οὕτως ηὔξανεν ἡ πίστις, καὶ ἐπροκόπτε θαυμασιώτατα τοιουτοτρόπως, ὥστε πολλοὶ ἔχυσαν τὸ αἷμά των διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, καί κατεφρόνησαν πᾶσαν σωματικὴν ἀπόλαυσιν, καὶ αὐτὴν τήν πρόσκαιρον ζωήν, διὰ νὰ ζήσωσιν εἰς τὸν Χριστὸν αἰώνια. Εἷς ἐκ τούτων εἶναι καὶ ὁ μακάριος Τρύφων, ὁ τῆς ἀκηράτου καὶ θείας τροφῆς ἐπώνυμος, ὅστις ἐγεννήθη εἰς ἓν χωρίον τῆς Φρυγίας πλησίον τῆς Ἀπαμείας, καλουμένου Λάμψακον, ἀπὸ γονεῖς εὐσεβεῖς τέκνον εὐσεβέστερον· καὶ τόσον ἦτο ἐκ πρώτης ἡλικίας ἀξιόθεος, ὥστε κατῴκει εἰς τὴν ψυχήν του πλουσίως ἡ χάρις τοῦ Παναγίου Πνεύματος, καὶ ἰάτρευε πᾶσαν ἀσθένειαν. Ἐξόχως δὲ εἶχε πολλὴν ἐξουσίαν κατὰ δαιμόνων, οἵτινες μόνον ἐὰν ἤθελον ἀκούσει τὸ ὄνομά του, ἔφευγον ἀπὸ τοὺς πάσχοντας. Εἰς πίστωσιν οὖν τῶν πολλῶν θαυμάτων ἅπερ ἐτέλεσε, γράφομεν ἓν, διὰ νὰ ἐννοήσετε ἀπὸ τὸ ἄκρον ὅλον τὸ ὕφασμα.

Μετὰ τὸν θάνατον τοῦ Αὐγούστου Καίσαρος, χρόνους (σὴ) 290, ἐβασίλευσεν εἰς τὴν Ρώμην ὁ Γορδιανός, ὅστις ἦτο Ἕλλην, ὄχι τόσον σκληρὸς ὡς οἱ πρότερον βασιλεύσαντες, οὔτε τοὺς πιστοὺς ἐδίωκεν· οὗτος εἶχε θυγατέρα μονογενῆ ὡραίαν καὶ πάγκαλλον, πεπαιδευμένην καὶ φρόνιμον· ὅθεν πολλοὶ τῆς πόλεως ἄρχοντες ἐπόθουν νὰ τὴν νυμφευθῶσιν, δι' αὐτὸ τὴν ἔκλεισεν ὁ πανῆ της νά μὴ τὴν βλέπουν οἱ ἄνθρωποι. Ἀλλὰ διὰ νὰ γνωρίσωσι καὶ ἐκεῖ εἰς τὴν Ρώμην τὸν θαυμάσιον Τρύφωνα, τὸ θεῖον φυτὸν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἤ νὰ εἴπω καλλίτερον, διὰ νὰ δοξασθῇ καὶ ἐκεῖ ὁ Δεσπότης Χριστὸς καὶ νὰ γνωρισθῇ τοῦ Σταυροῦ ἡ ἐνέργεια, παρεχώρησε νὰ δαιμονισθῇ ἡ κόρη καὶ εἰσελθὼν εἰς αὐτὴν ἐβασάνιζε πολὺ ὁ μισάνθρωπος, καὶ ἐπάσχιζε νὰ τὴν θανατώσῃ εἰς τὸ πῦρ καὶ εἰς τὰ ὕδατα, καὶ ἐπροξένει πολλὴν ἀτιμίαν καὶ καταφρόνησιν. Ὅθεν οἱ γονεῖς της εἶχον λύπην ἀνείκαστον, καὶ μὴ δυνάμενοι νὰ θεραπεύσωσι τὴν κόρην μὲ ἰατρικὰ καὶ σοφίσματα, οὔτε μὲ ἄλλην τινὰ μηχανουργίαν, εἶχον πόνον εἰς τὴν καρδίαν καὶ λύπην ἀνείκαστον, τόσον ὥστε ἐπεθύμουν τὸν θάνατον αὐτῆς, τὸν ὁποῖον ἐνόμιζον ζημίαν ὀλιγωτέραν, παρὰ τὴν δεινὴν ἐκείνην ἀσθένειαν· ἐφώναζε δὲ ὁ δαίμων ἔσωθεν ὁμολογῶν τὸν διώκτην αὐτοῦ καὶ ἔλεγεν διότι. «Ἐὰν ἔλθῃ ὁ Τρύφων, δὲν ἐξέρχομαι· διότι μόνον αὐτὸς ἔχει δύναμιν νὰ μὲ διώξῃ ἀπὸ τοῦτο τὸ οἰκητήριον».

Ὅθεν ὁ βασιλεὺς ἔστειλεν ἀνθρώπους νὰ ἐρευνήσωσιν ἐπιμελέστατα εἰς πᾶσαν πόλιν καὶ χώραν, ἵνα εὕρωσι τὸν ποθούμενον, τάσσων χρυσίον ἀναρίθμητον καὶ ἄλλα βασιλικὰ χαρίσματα εἰς ἐκεῖνον, ὅστις ἤθελεν εὕρει καὶ φέρει αὐτόν. Ἀπῆλθον λοιπὸν τινὲς ἀπὸ τοὺς πολλοὺς στρατιώτας καὶ ἄρχοντας πρὸς ἀνεύρεσιν αὐτοῦ εἰς τὸ χωρίον Λάμψακον, ἔνθα ἦτον ὁ νέος, τὸν ὁποῖον ἐζήτουν, καὶ ἔβοσκε χῆνας, ὁ τοσοῦτον εἰς τὴν ἀρετὴν περιβόητος· ὅστις βλέπων τοὺς βασιλικοὺς ἀνθρώπους, ἐγνώρισεν ἀπὸ Πνεῦμα Ἅγιον τὴν ὑπόθεσιν, καὶ πλησιάσας εἶπεν αὐτοῖς χωρὶς νὰ ἐρωτήσωσιν αὐτόν. «Ἐγὼ εἶμαι ὁ Τρύφων τὸν ὁποῖον ζητεῖτε». Ὅθεν λαβόντες αὐτὸν ἀγαλλόμενοι, μετέφερσαν εἰς τὸν Ἔπαρχον Πομπιανὸν καὶ Πρωτέστατον· οἵτινες δόντες αὐτῷ βασιλικὸν τύπον, καὶ ὑποδεξάμενοι ἐντίμως, ἔτρεχον πρὸς τὴν Ρώμην σπουδαῖοι καὶ χαίροντες· ἦτο δὲ τότε 17 χρόνων ὁ ἅγιος. Ὁπόταν ἐπλησίασεν εἰς τὰ ὅρια τῆς Ρώμης, τρεῖς ἡμέρας πρὶν φθάσωσι εἰς τὴν πόλιν, ἐγνώρισεν ὁ δαίμων τὸν ἐρχομὸν τοῦ Τρύφωνος, καὶ ἐβασάνισε τὴν κόρην χειρότερον· ἔπειτα ἐδείκνυε πῶς ὠδύρετο, καὶ ἔλεγεν. «Οὐαί μοι, δὲν μὲ ἀφίνει ὁ Τρύφων πλέον νὰ κατοικῶ ἐδῶ εἰς τοῦτο τὸ οἰκητήριον, ἀλλὰ μὲ διώκει ἀκουσίως ἔξωθεν· ἄλλαι τρεῖς ἡμέραι μόνον διέρχονται, καὶ τότε φθάνει ὁ Τρύφων, ὅστις ἔχει τὴν ἐξουσίαν ἐφ' ἡμῶν». Ταῦτα λέγων κατεσπάραξε τὴν κόρην. Ἔπειτα ἔφυγε, διότι δὲν ἠδύνατο νὰ ἴδῃ κἂν τὸ πρόσωπον τοῦ Τρύφωνος. Καὶ τὴν τρίτην ἡμέραν ἔφθασε καὶ ὁ Ἅγιος· ὁ δὲ βασιλεὺς ὑποδεχθεὶς αὐτὸν ἀσμένως, πολὺ ἐτίμησεν ὡς θεραπευτὴν τῆς θυγατρὸς αὐτοῦ. Ἀλλὰ διὰ νὰ βεβαιωθῇ καλλίτερον τὴν ἀλήθειαν, παρεκάλεσε τὸν ἅγιον νὰ τῷ δείξῃ ὀφθαλμοφανῶς τὸν δαίμονα, καὶ νὰ ἐρωτήσῃ αὐτὸν διατί εἰσῆλθεν εἰς τὴν κόρην καὶ ἄλλα ζητήματα· ὁ δὲ Ἅγιος ἐνήστευσεν ἓξ ἡμέρας, καὶ προσηύχετο τῷ Θεῷ, δεόμενος νὰ τῷ δώσῃ εἰς τοῦτο βοήθειαν· καὶ τὴν ἑβδόμην ἡμέραν εἶδεν ὀπτασίαν θαυμασίαν τὸ μεσονύκτιον, καὶ τῷ ἔδωκεν ὁ Θεὸς ἐξουσίαν πλουσίαν καὶ τὰ δαιμόνων μᾶλλον ἢ πρότερον· καὶ τὸ πρωῒ ὅτε ἐξημέρωσε, συνήχθησαν ὅλοι ἐκ τῆς πόλεως εἰς τὸ θέατρον, καὶ ὁ Βασιλεὺς μὲ τοὺς δορυφόρους καὶ πάντας τοὺς μεγιστάνας καὶ ἄρχοντας, ἐπιθυμοῦντες νὰ ἴδωσι τὸ τοιοῦτον ἐξαίσιον θαυματούργημα· ὁ δὲ θεῖος Τρύφων ἔμπλεως καὶ γέμων Πνεύματος Ἁγίου, ἔχων πίστιν εἰς τὸν Θεόν, ἐκάλεσε τὸν δαίμονα, ὡς νὰ ἔβλεπεν αὐτὸν μὲ τὰ ὄμματα τῆς ψυχῆς παριστάμενον καὶ λέγει αὐτῷ.

«Εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σὲ προστάσσω νὰ φανῇς ἐδῶ ἐνώπιον ἡμῶν, ἵνα ἴδωμεν ὅλοι τὴν ἀσχημοσύνην καὶ ἀσθένειάν σου». Τότε παρευθὺς ἐφάνη κύων τις, μαῦρος καὶ ἄσχημος, καὶ ἦσαν ὡς πῦρ καὶ φλὸξ τὰ ὄμματα, τὴν δὲ κεφαλὴν ἔκλινε πρὸς τὴν γῆν. Λέγει αὐτῷ ὁ Ἅγιος. «Εἰπὲ ἡμῖν κατάρατε, τίς σὲ ἐπροέταξε νὰ εἰσέλθῃς εἰς τὴν κόρην ταύτην; καὶ πῶς τολμᾷς, καὶ δύνασαι, ἀδύνατε, ζοφωδέστατε καὶ ἄτιμε νὰ ἀτιμάζῃς τὸ τίμιον πλάσμα τοῦ Θεοῦ, καὶ νὰ βασανίζῃς τοὺς ἀνθρώπους μισάνθρωπε»; Τότε ὁ δαίμων, ὡς νὰ ἐπλήγωνον αὐτὸν ὡς βέλη οἱ λόγοι τοῦ Τρύφωνος, ἀπεκρίνατο καὶ ἀκουσίως, λέγων. «Ὁ πατήρ μου ὅστις εἶναι πάντων τῶν κακῶν αἴτιος, καὶ λέγεται Σατανᾶς, μὲ ἔστειλε νὰ βασανίσω αὐτήν». Λέγει αὐτῷ πάλιν ὁ Ἅγιος. «Καὶ ποίαν ἐξουσίαν, ἔχετε σεῖς ἀρχηγοὶ τῆς κακίας, εἰς τοῦ Θεοῦ τὰ πλάσματα»; Τότε ὁ κύων ἐκεῖνος ὅστις παρίστανε τὸν δαίμονα, μ' ὅλον ὅτι εἶνε φιλοψευδὴς ἐκ φύσεως, καὶ δὲν θέλει νὰ εἴπῃ ποτὲ ἀλήθειαν, ὅμως καὶ μὴ βουλόμενος ὑπὸ τῆς θείας δυνάμεως βιαζόμενος· ὁμολόγησεν ἐνώπιον ὅλων ὅσα ἤθελε νὰ κρύψῃ καὶ νὰ φυλάτῃ ἀπόρρητα, λέγων. «Ἡμεῖς δὲν ἔχομέν τινα ἐξουσίαν νὰ τυραννῶμεν τοὺς χριστιανοὺς, οἵτινες πιστεύουσι τὸν Παντοκράτορα Θεὸν καὶ τὸν Χριστὸν τὸν Υἱὸν αὐτοῦ, τὸν ὁποῖον ὁ Πέτρος, καὶ Παῦλος ἐδῶ εἰς τὴν πόλιν λαμπρῶς ἐκήρυξαν, ἀλλὰ βλέποντες αὐτοὺς τοὺς πιστοὺς ἀπὸ μακρὰν φεύγομεν· μόνον ἐκείνους τοὺς ὁποίους εὑρίσκομεν νὰ ἁγαπῶσι τὰ ἔργα μας, αὐτοὺς ἔχομεν ἐξουσίαν νὰ βασανίζωμεν, ἤγουν τοὺς εἰδωλολάτρας, βλασφήμους, μοιχούς, φονεῖς, φαρμακεῖς καὶ ὑπερηφάνους, καὶ ἄλλους ὁμοίους τούτων, οἵτινες χωρίζονται ἀπὸ τὸν Θεὸν καὶ ἀλλοτριώνονται μὲ τοιαῦτα ἀνομήματα καὶ ἔρχονται πρὸς ἡμᾶς μὲ τὴν ἰδικήν των προαίρεσιν, ἐκείνους μόνον πειράζομεν, ἐπειδὴ κάμνουσιν ὅσα μᾶς ἀρέσκουσι, καταφρονοῦντες τὰ θεῖα προστάγματα». Ταῦτα οἱ περιεστῶτες ἀκούοντες, ἐθαύμασαν ὁμοῦ τε καὶ ἐφοβήθησαν· καὶ πολλοὶ ἐξ ἐκείνων εἰς τὸν Χριστὸν ἐπίστευσαν· οἱ δὲ πιστοὶ ἐστερεώθησαν εἰς τὴν πίστιν καλλίτερον ἀκούοντες τὴν ἀληθῆ μαρτυρίαν τοῦ δαίμονος, ὁ ὁποῖος ἐπιτιμηθεὶς ἀπὸ τὸν Ἅγιον, ἔγινεν ἄφαντος. Ὁ δὲ βασιλεὺς θαυμάσας τὸν Τρύφωνα, ἐξετίμησεν αὐτὸν περισσῶς, ὡς ἔπρεπε καὶ πολλὰς δωρεὰς τῷ ἐχάρισεν· ἔπειτα ἔστειλε τὸν ἔπαρχον Πομπιανὸν καὶ ἄλλους ἄρχοντας ἵνα συνοδεύσωσιν αὐτὸν ἕως τὸν τόπον του. Καὶ πορευόμενος εἰς τὴν ὁδὸν διεμοίρασεν εἰς τοὺς πτωχοὺς ὅλα τὰ ἀργύρια, τὰ ὁποῖα ὁ Βασιλεὺς τῷ ἐχάρισε, καὶ δὲν ἠθέλησε νὰ κρατήσῃ, ἀπὸ ἀσεβῆ δωρεὰν παντελῶς. Φθάσας δὲ εἰς τὴν οἰκίαν οὗτοῦ, διῆγεν ὡς πρότερον, θεραπεύων ἀρρώστους καὶ ὁδηγῶν τοὺς πεπλανημένους πρὸς τὴν ἀλήθειαν.

Μετὰ τὸν θάνατον τοῦ Γορδιανοῦ ἐβασίλευσεν ὁ εὐσεβὴς Φίλιππος, ὅστις ἔζησεν ὀλίγον καιρόν, διότι πολεμῶν τοὺς Τρωγλοδύτας, ἐφονεύθη ὑπ' αὐτῶν καὶ τότε ἔλαβε τὴν βασιλείαν ὁ δυσσεβὴς καὶ ἄθικος Δέκιος, ἄνθρωπος ὁμὸς καὶ ἀσπλαγχνος, εἰς φόνους καὶ αἵματα εὐφρυνόμενος· ἔχων πολλὴν ζέσιν εἰς τὰ μιαρὰ εἴδωλα, καὶ μῖσος ἄμετρον κατὰ τῶν χριστιανῶν ὁ ἄθλιος, ὅθεν δὲν ἐσπούδαζε τόσον νὰ πολεμῇ τοὺς ἐχθροὺς αὐτοῦ, ὅσον ἐφρόντιζε νὰ διώκῃ τοὺς εὐσεβεῖς ὁ ἀσεβέστατος· καὶ τοῦτο ἐθεώρει διὰ πολλὴν αὐτοῦ δόξαν καὶ εὔκλειαν· ὅθεν ἡτοίμαζε τροχούς, ξίφη, ὀνύχια σιδηρᾶ, καὶ ἄλλα διάφορα κολαστήρια. Ἦτο λοιπὸν εἰς ὅλην τὴν οἰκουμένην σκότος καὶ πόλεμος· καὶ πολλοὶ μὴ ὑποφέροντες τὰ πάνδεινα παιδευτήρια, ἐπροσκύνουν, φεῦ οἱ λογικοὶ τὰ ἄλογα καὶ ἀναίσθητα κτίσματα· οἱ δὲ στερεοὶ καὶ καλόγνωμοι, ἔμειναν ἀήττητοι ἕως τέλους, φυλάττοντες τὴν πίστιν ἀπαρασάλευτον καὶ ὑπομένοντες ἀνδρείως ὅλα τὰ φρικτὰ κολαστήρια· καὶ διὰ τοῦ προσκαίρου θανάτου, ἀπῆλθον εἰς ζωὴν αἰώνιον.

Τούτων οὕτως τελουμένων, καὶ τοῦ διωγμοῦ πληθυνομένου, ἀνήγγειλάν τινες μισόχριστοι, πρὸς τὸν ἔπαρχον Ἀνατολῆς, Ἀκυλῖνον ὀνόματι, λέγοντες· «Ἄνθρωπός τις ἀπὸ τὴν Ἀπάμειαν, σώφρων καὶ λόγιος, ἰατρὸς τὴ ἐπιτήδευμα, καταφρονεῖ τοὺς βασιλεῖς καὶ ἐμπαίζει τοὺς μεγάλους Θεοὺς καὶ προσκυνεῖ τὸν Χριστόν, τὸν ὁποῖον ὁμολογεῖ ὡς μόνον Θεόν· ὅθεν πολλοὶ ὑπ' αὐτοῦ ἠπατήθησαν καὶ ἠσέβησαν. Εὐθὺς λοιπὸν ἔστειλεν ὁ Ἀκυλῖνος

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΔΟΠΟΥΛΟΥ

γράμματα ὀπειλητικὰ εἰς τοὺς ἄρχοντας, νὰ ζητήσωσιν ἐπιμελῶς πανταχοῦ καὶ νὰ στείλωσι πρὸς αὐτὸν τὸν Τρύφωνα· δὲν ἦτο λοιπὸν δυνατὸν νὰ κρυφθῇ ὁ λαμπρὸς λύχνος τῆς πίστεως, καὶ πολύτιμον καὶ χρήσιμον μῦρον, τὸ ὁποῖον ἀπὸ τὴν εὐωδίαν αὐτοῦ φανερώνεται· μάλιστα καὶ μόνος ἄγιος ἀκούσας, ὅτι οἱ διῶκται τῆς πίστεως ἐξέτρεχον, δὲν ἔφυγε νὰ κρυβῇ εἰς τὰ δάση καὶ σπήλαια, ἀλλ' ὁπλίσθη μὲ προσευχὰς καὶ δεήσεις πρὸς Κύριον, καὶ οὕτω φαιδρὸς πρὸς τοὺς ζητοῦντας παῤῥησιάζεται, οἵτινες χαίροντες ἔφερον αὐτὸν χαίροντα εἰς τὸν ἔπαρχον, ὅστις ἦτο τότε εἰς τὴν Νίκαιαν· καὶ ἀφ' οὗ παρέστησαν αὐτὸν εἰς τὸ κριτήριον, τὸν ἠρώτησε νὰ εἴπῃ τὸ ὄνομα, τὴν θρησκείαν, τὴν τύχην, καὶ τὴν πατρίδα του. Ὁ δὲ ἅγιος εἶπε: «Τρύφων καλοῦμαι, καὶ εἶμαι ἀπὸ τὴν Λάμψακον· τύχην δὲ ἡμεῖς δὲν ὁμολογοῦμεν, διότι δὲν εἶναι ἀλήθεια· ἀλλὰ πιστεύομεν, ὅτι ὅλα ἔγιναν εὐτάκτως ἀπὸ τὸν Παντοδύναμον Θεόν, ὅστις κυβερνᾷ ὅλον τὸν κόσμον μὲ τὴν σοφίαν του· εἶμαι τὸν τρόπον ἐλεύθερος, ὑπακούω δὲ μόνον εἰς τὸν Δεσπότην μου Χριστόν, ὅστις εἶναι ὁ στέφανός μου, καὶ δόξα καὶ καύχημα». Λέγει αὐτῷ ὁ ἔπαρχος. «Ὁ βασιλεὺς προσέταξεν, ὅτι ὅστις τοὺς Θεοὺς δὲν σέβεται πρέπει νὰ λαμβάνῃ βίαιον θάνατον· Λοιπὸν ὑπάκουσόν μοι· ἄφες τὴν πλάνην αὐτήν, νὰ μὴ λάβῃς πῦρ, καὶ πληγάς, καὶ ἄλλα φρικτὰ κολαστήρια». Καὶ ὁ ἅγιος ἀπεκρίθη. «Εἴθε νὰ μὲ ἠξίωνεν ὁ Δεσπότης μου Χριστός, ὁ ἀληθὴς καὶ μόνος Θεός, νὰ καταναλωθῶ διὰ τὴν ἀγάπην του, νὰ λάβω ἐπώδυνον θάνατον». Ὁ δὲ ἔπαρχος εἶπε· παρακαλῶ σε, Τρύφων, θυσίασον τοῖς θεοῖς, διότι βλέπω πῶς εἶσαι εἰς τὴν φρόνησιν τέλειος, καὶ δὲν θέλω νὰ ἀποθάνῃς ἀδίκως καὶ ματαίως». Λέγει αὐτῷ ὁ ἅγιος: Τότε μᾶλλον εἶμαι τέλειος, ἐὰν φυλάξω τὴν ὁμολογίαν τελείαν πρὸς τὸν Δεσπότην μου, νὰ τῷ γείνω θυσία ἄμωμος, καθὼς ἔπαθε καὶ αὐτὸς δι' ἐμέ». Τότε πάλιν ἐπειδὴ ἐφοβέριζεν αὐτὸν ὁ ἔπαρχος νὰ τὸν βάλῃ εἰς τὸ πῦρ καὶ ἕτερα κολαστήρια, τῷ εἶπεν ὁ ἅγιος. «Σύ με φοβερίζεις μὲ πῦρ, τὸ ὁποῖον σβύνει γρήγορα, καὶ τάχιστα ἀφανίζεται, ἀλλ' ἐγὼ σε ἐκφοβῶ μὲ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον τῆς αἰωνίου κολάσεως εἰς τὸ ὁποῖον θέλεις κατακριθῇ νὰ καίησαι αἰωνίως καὶ νὰ ὀδύρεσαι ἀνωφελῶς, διότι ἀφῆκες τὸν ἀληθῆ Θεόν, καὶ προσκυνεῖς ἀναίσθητα ξόανα· μὴ χίνῃς λοιπὸν τὸν καιρὸν ἀδίκως μὲ ἀπειλὰς πυρὸς καὶ ἑτέρων προσκαίρων κολαστηρίων, διότι οἱ δοῦλοι τοῦ Θεοῦ δὲν φοβοῦνται παντελῶς τοῦτο τὸ πῦρ ὡς ὁμόδουλον, ἀλλὰ ἐκεῖνο τὸ ἄσβεστον καὶ αἰώνιον· καὶ πρᾶξον ὅ,τι θέλεις, διότι ἐγὼ δὲν ἀρνοῦμαι τὸν ἀληθῆ Θεόν, ἂν μοὶ δώσῃς, καὶ μυρία κολαστήρια».

Τότε ὁ ἔπαρχος προστάσσει νὰ τὸν κρεμάσωσιν εἰς τὸ ξύλον, καὶ νὰ τὸν σπαθίζωσιν· ὁ δὲ ἅγιος μόνος ἐκδυθεὶς παρευθὺς. διὰ νὰ δείξῃ τῆς ψυχῆς τὸ πρόθυμον, ἐνεκαρτέρει ὥρας τρεῖς δεινῶς σπαθιζόμενος, ὥσπερ νὰ ἔπασχεν ἄλλος, χωρὶς παντελῶς νὰ φωνάξῃ. Ὁ δὲ ἔπαρχος τῷ ἔλεγε. Μετανόησον, Τρύφων, ἀπὸ ταύτην τὴν ὑπερηφάνειάν σου.προσκύνησον τοὺς Θεοὺς, διότι ὅστις ἐναντιοῦται εἰς βασιλικὰ προστάγματα, λαμβάνει θάνατον ἐπώδυνον. Ὁ δὲ ἅγιος εἶπεν; Ὅστις δὲν φυλάξῃ τοῦ Θεοῦ τὸ σωτήριον θέλημα, μέλλει νὰ κατακριθῇ εἰς θάνατον ἀθάνατον, διότι αὐτὸς εἶναι μόνον βασιλεὺς οὐράνιος, καὶ ὅστις τὸν ἀρνηθῇ, ζημιοῦται ζωὴν αἰώνιον. Λέγει αὐτῷ ὁ ἔπαρχος πάλιν: ἄλλος δὲν εἶναι βασιλεὺς οὐράνιος, εἰμὴ ὁ μέγας Ζεύς, ὁ υἱὸς τοῦ Κρόνου καὶ τῆς Ρέας· οὗτος εἶναι πατὴρ τῶν ἀνθρώπων καὶ τῶν ἄλλων Θεῶν· καὶ ὅστις ἀπειθήσῃ αὐτῷ εἶναι. ἀδύνατον νὰ ζήσῃ. λοιπὸν καὶ σὺ ὑποτάχθητι,διὰ νὰ ἀξιωθῇς νὰ ἔχῃς ζωὴν γλυκυτάτην πάντοτε. Καὶ ὁ ἅγιος ἀπεκρίθη· ὅμοιοι αὐτῷ νὰ γένωσιν ὅσοι τὸν πιστεύωσι καὶ διὰ Θεὸν τὸν νομίζουσιν, διότι καθὼς ὁμολογοῦσι τὰ βιβλία σας. αὐτὸς ἦτο γόης, καὶ μάντις μιαρώτατος, ὅστις δὲν ἀφῆκε καμμίαν ἀνομίαν καὶ εἶδος κακίας ἄπρακτον νὰ μὴ πράξῃ, ὁ πάντολμος. καὶ ὅταν ἀπέθανεν, ἔστησαν αὐτῷ χρυσᾶ καὶ ἀργυρᾶ εἴδωλα, ὅσοι ἀπόθουν τὰ αἰσχρὰ καὶ ἀηδῆ ἔργα του, ὀνομάζοντες αὐτὸν καὶ Θεὸν διὰ νὰ δικαιολογήσωσι μὲ τοῦτον τὸν τρόπον τὰς αἰσχρουργίας καὶ ἀσελγείας του.οὕτως ἔπραξαν καὶ εἰς τοὺς ἄλλους ψευδωνύμους Θεοὺς σας, Τὴν πλάνην ταύτην ἀκολουθοῦντες καὶ σεῖς, ἀνόητοι, σέβεσθε ὕλην κωφὴν καὶ ἄψυχον, καταφρονοῦντες τὸν ἀληθῆ καὶ ζῶντα Θεόν, ὅστις τὸν οὐρανὸν ἐστερέωσε, τὴν γῆν ἐθεμελίωσεν εἰς τὰ ὕδατα καὶ πᾶσαν τὴν οἰκουμένην ἐποίησεν· ἔπειτα ἔπλασε καὶ ἀνέπλασε τὸν ἄνθρωπον ὡς φιλάνθρωπος. Διότι βλέπων πῶς ἐπλάνησε τὸν ἄνθρωπον ὁ δαίμων, καὶ ἐξώρισεν ὡς φθονερὸς ἀπὸ τὸν παράδεισον, κατεδέχθη νὰ γείνῃ ἄνθρωπος. καὶ ἐσταυρώθη καὶ ἐτάφη ἑκουσίως, καὶ ἀναστὰς ἐκ νεκρῶν, ἀνῆλθεν εἰς οὐρανούς, καὶ κάθηται ὑπὸ Ἀγγέλων ὑμνούμενος μέχρις οὗ πιστεύσῃ εἰς αὐτὸν ὁ κόσμος. καὶ τότε νὰ ἔλθῃ πάλιν ἐξ οὐρανοῦ μὲ ἄρρητον δύναμιν, καὶ δόξαν Θεοπρεπῆ, νὰ κρίνῃ τὴν οἰκουμένην ἅπασαν, καὶ νὰ ἀποδώσῃ ἑκάστῳ κατὰ πράξεις του. αὐτὸς εἶναι Θεὸς Θεῶν, Βασιλεὺς ἁπάντων τῶν βασιλέων, καὶ Κριτὴς ζώντων καὶ νεκρῶν δικαιότατος· ὅσα δὲ προσκυνεῖτε σεῖς ὡς Θεούς, εἶναι ἄψυχα ξόανα, ἔργων ἔρημα καὶ πονηρῶν δαιμόνων εὑρήματα, καὶ σᾶς ὁδηγοῦσιν εἰς ἀπώλειαν».

Ταῦτα ἀκούσας ἐθυμώθη ὁ ἔπαρχος, καὶ προστάσσει νὰ καταβιβάσωσιν αὐτὸν ἀπὸ τὸ ξύλον, καὶ νὰ ἀκολουθῇ δεδεμένος αὐτὸν, ὅστις ἐξήρχετο εἰς κυνήγιον. Τούτου γενομένου, εἶχε πολλὴν ὀδύνην ὁ ἅγιος· διότι περιεπάτει ἀνυπόδητος, καὶ οἱ πόδες του ἦσαν σχισμένοι ἀπὸ τὴν προτέραν βάσανον. καὶ τότε πάλιν κατεξεσχίζοντο ἀπὸ τὰ ξύλα καὶ τὰς πέτρας ἐν καιρῷ χειμῶνος καὶ κατεπάτουν πολλάκις αὐτὸν τὰ ἄλογα. Ὅθεν ἠσθάνετο πόνον ἀνείκαστον, καὶ ἔπιπτον εἰς τὸν δρόμον αἱ σάρκες του. ἀλλ' ὑπέμεινεν ὅλα ταῦτα τὰ λυτηρὰ, ἀποβλέπων εἰς τὴν μέλλουσαν ἀνταπόδοσιν,. καὶ ἔψαλλε λέγων. «Κύριε κατάρτισε τὰ διαβήματά μου.» καὶ ἄλλα ρητὰ τῆ· Γραφῆ; παρόμοια. ἔπειτα πάλιν μιμούμενος τὸν πρωτομάρτυρα καὶ αὐτὸν νὰ εἴπω καλύτερον τὸν Χριστὸν, ὁ χριστομίμητος ἔλεγε: «Κύριε συγχώρησον αὐτοῖς τοῦτο τὸ ἁμάρτημα.» Τὸ ἑσπέρας ὅτε ἐπέστρεψεν ἀπὸ τὸ κυνήγιον ὁ Ἀκυλῖνος, ἐσπούδασε νὰ κυνηγήσῃ μᾶλλον τὸν ἅγιον, καὶ λέγει αὐτῷ. «ἐσωφρονίσθης κἂν τώρα, νὰ προσκυνήσῃς τοὺς Θεοὺς, ἄθλιε, ἢ μένεις εἰς τὴν προτέραν μανίαν σου;» Ὁ δὲ ἀπεκρίνατο· « σὺ εἶσαι μάλιστα πλήρης μανίας καὶ ἀγνωσίας, ἀνόητε. δι αὐτὸ δὲν θέλεις νὰ ἐννοήσῃς τὸν ἀληθῆ Θεόν. ἀλλ' ἐγὼ ἔχω γνῶσιν διότι κρατῶ τὴν ἀλήθειαν.» Τότε ὁ ἄρχων μὴ ἔχων λόγον νὰ ἀποκριθῇ κατὰ τῆς ἀληθείας ὁ μάταιος προσέταξε νὰ φυλακισθῇ μέχρι δευτέρας ἐξετάσεως.

Μετά τινας δὲ ἡμέρας θέλων νὰ ὑπάγῃ εἰς τὴν Νίκαιαν, παρέλαβε καὶ τὸν μάρτυρα, καὶ φθάσας εἰς τὴν πόλιν, τὸν ἠρώτησε πάλιν, λέγων. «Ἆρά γε ὠφελήθης ἀπὸ τὸ μῆκος τοῦ χρόνου διὰ νὰ ὑπακούσῃς τοὺς βασιλεῖς, καὶ νὰ προσκυνήσῃς τοὺς σωτῆρας θεούς, ἢ ἀκόμη εἶσαι ἀπειθὴς καὶ φιλόνεικος;» Καὶ ὁ Ἅγιος ἀπεκρίθη. «Ὁ Κύριος καὶ ὁ Θεός μου Ἰησοῦς Χριστός, τὸν ὁποῖον λατρεύω μὲ καθαρὰν διάνοιαν, μὲ ἐνουθέτησε νὰ φυλάττω τὴν ὁμολογίαν του ἀμετάθετον· ὅθεν αὐτὸν μόνον γινώσκω βασιλέα καὶ Θεὸν ἀψευδέστατον· τὴν ταλαιπωρίαν σοῦ καὶ τοῦ βασιλέως σου καταφρονῶ, καὶ τοὺς Θεούς σας μυκτηρίζω ὡς ἀξίους γέλωτος;». Εἰς ταῦτα ὀργισθεὶς ὁ θεόργιστος, προσέταξε νὰ καρφώσωσιν εἰς τοὺς πόδας του ἥλους, καὶ ἕτερα σίδηρα· καὶ δέροντες αὐτὸν ἔσυρον εἰς τὸ μέσον τῆς πόλεως· ὅθεν ἠσθάνετο πολλὴν ὀδύνην καὶ πόνον ἀνείκαστον, καὶ ἔτρεχαν εἰς τὴν γῆν τὰ αἵματα, ἀλλ' ὁ πόθος τοῦ Χριστοῦ τὸν ἔκαμνε νὰ καταφρονῇ τῆς σαρκὸς τὴν κόλασιν, καὶ νὰ νομίζῃ τῶν ἀλγεινῶν τὰς νιφάδας ὡς ψεκάδας δρόσου, καὶ ἀναψυχὴν τῆς ψυχῆς ὁ ἀήττητος Θαυμάζων λοιπὸν τὴν καρτερίαν αὐτοῦ ὁ τύραννος, ἔλεγεν. «Ἕως πότε δὲν αἰσθάνεσαι, Τρύφων, τὴν δριμύτητα τῶν κολάσεων; Ὁ δὲ ἅγιος ἀντιστρέφων τὰ ὅμοια ἔλεγεν. «Ἕως πότε δὲν ἐννοεῖς σὺ τὴν δύναμιν τοῦ Χριστοῦ, ὅστις κατοικεῖ ἐν ἐμοί, ὅτι εἶναι ἀνίκητος, ἀλλὰ πειράζεις τὸ πνεῦμα τὸ ἅγιον». Τότε πάλιν ὀργισθεὶς ὁ ἄρχων, προσέταξε νὰ περιαγκωνίσωσιν αὐτόν, νὰ δέρωσι μὲ ῥάβδους, καὶ μὲ λαμπάδας πυρὸς νὰ τὸν κατακαίωσιν.

Τούτων οὕτω, γενομένων, καθὼς ἐβασάνιζαν οἱ δήμιοι μὲ πολλὴν σφοδρότητα καὶ ἀσπλαγχνίαν τὸν ἅγιον, ἦλθεν ἐξ οὐρανοῦ πρὸς αὐτὸν ἐξαίφνης θεία ἐπιφάνεια ἐξαστράπτουσα, καὶ ἐφαίνετο ὅτι ἔδιδεν αὐτῷ στέφανον ἀνθισμένον μὲ λίθους πολυτίμους ὡραιότατον. Ταῦτα βλέποντες οἱ στρατιῶται οἵτινες τὸν ἐβασάνιζαν, ἔπεσαν κατὰ γῆς ὅλοι ἔντρομοι.Ὁ δὲ ἅγιος ἐνεπλήσθη θάρρους ὁμοῦ τε καὶ ἀγαλλιάσεως ὑπὸ τῆς θείας ἐκείνης χάριτος, τὴν ὁποίαν ἔβλεπε, καὶ ἐδόξαζε τὸν Κύριον, λέγων. «Εὐχαριστῶ σοι Δέσποτα, διότι δὲν μὲ ἐγκατέλιπες εἰς τὰς χεῖρας τῶν ἐχθρῶν μου· ἀλλὰ τὴν ἡμέραν τοῦ πολέμου μὲ περιεκάλυψας, καὶ ἡ δεξιά σου μὲ ἐβοήθησεν· ἀλλὰ καὶ τώρα σὲ παρακαλῶ, Δέσποτα, βοήθησόν μοι ἕως τέλους, καὶ ἐνίσχυσόν με διὰ νὰ τελειώσω καλῶς τὸν ἀγῶνα τῆς ὁμολογίας σου, καὶ νὰ ἀξιωθῶ νὰ λάβω καὶ τὸν στέφανον τῆς δικαιοσύνης μὲ τοὺς φίλους σου, οἵτινες ἠγάπησαν τὸ πανάγιόν σου ὄνομα· διότι σὺ μόνος εἶσαι δεδοξασμένος εἰς τοὺς αἰῶνας, Ἀμήν».

Τότε πάλιν ὁ μιαρὸς τύραννος ἐβουλήθη μὲ κολακείας νὰ νικήσῃ τὸν ἀήττητον, λέγων: «Προσκύνησον τὸν μεγάλον Δία, καὶ τὴν εἰκόνα τοῦ Καίσαρος, καὶ δώσω σοι πολλὴν τιμὴν καὶ χαρίσματα ἄπειρα. Ὁ δὲ μάρτυς ἐχαμογέλασε, λέγων. «Ἐὰν αὐτὸν τὸν βασιλέα σου κοτεφρόνησα καὶ τὰ προστάγματά σου περιεγέλασα, πῶς νὰ προσκυνήσω τὴν ἄψυχον εἰκόνα του ; Διὰ δὲ τὸν Δία καὶ τοὺς ἄλλους ψευδοθεούς σας, ἐρώτησον τοὺς σοφούς σας, οἵτινες ἐβουλήθησαν νὰ καλύψωσι μὲ τὰς μυθολογίας τὰς αἰσχρὰς πράξεις καὶ ἀνομίας των, ὀνομάζοντες τὸν ἀέρα Ἥραν, καὶ τὴν γῆν Δήμητραν, Ποσειδῶνα τὴν θάλασσαν, καὶ Ἀπόλλωνα τὸν Ἥλιον· ὁμοίως καὶ τοὺς ἄλλους, ἀλληγοροῦντες τὸν Ἑρμῆν εἰς τὸν λόγον, καὶ εἰς τὸν θυμὸν τὸν Ἄρην, καὶ τὴν Ἀφροδίτην εἰς τὴν πορνείαν, καὶ ἄλλα παρόμοια μυθολογοῦντες φλυαρήματα· ἀλλ' ἐγὼ ἠξεύρω ἀπὸ τὰς ἱστορίας τὰς κακουργίας αὐτῶν τῶν θεῶν σας, καὶ ἐξόχως τοῦ πρώτου τὸν ὁποῖον λέγετε μεγαλήτερον· καὶ αὐτὸς ἦτο μοιχός, ἥγουν ὁ Ζεὺς ὁ ἀσελγὴς καὶ παράνομος, ὅστις ἐφόνευσε τὸν πατέρα του· καὶ οἱ ἐπίλοιποί σας θεοὶ οἱ ἀσεβεῖς καὶ παμμίαροι, τῶν ὁποίων τὰς πράξεις μιμεῖσθε καὶ σεῖς οἱ πονηροὶ καὶ κακότροποι· καὶ δὲν φθάνει ὅτι ἀπηρνήθητε σεῖς τὸν ἀληθῆ Θεόν, ἀνόητοι, ἀλλ' ἀναγκάζετε καὶ ἡμᾶς νὰ συγκοινωνήσωμεν εἰς τόσην σκολιὰν τυφλότητα· οἵτινες λέγετε τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, καὶ τὸ πικρὸν γλυκύ, καθὼς σᾶς ταλανίζει Ἡσαΐας ὁ μεγαλόφωνος· ἀλλὰ ματαίως ὀδυνᾶσθε καὶ ἄκαιρα, διότι προτιμῶμεν νὰ ἀποθάνωμεν μᾶλλον. ἢ νὰ ἀφήσωμεν τὴν εὐσέβειαν». Εἰς ταῦτα ἐθαύμασε καὶ ἐθυμώθη ὁ τύραννος· Θαῦμα μὲν εἶχε, πῶς ἤξευρε τὰς ἱστορίας τῶν ἀθέων Θεῶν, καὶ θυμόν, διότι τοὺς ἐλευάζε· καὶ προστάσσει νὰ τὸν σπαθίσωσι χειρότερα· ἀλλὰ εἰς μάτην ἐκοπίαζε καὶ ἀνωφελῶς, διότι ὅλας τὰς βασάνους ἐνόμιζεν ὁ Μακάριος Τρύφων τρυφάς, καὶ ἡδονὰς διὰ τὸν ἔνθεον ἔρωτα· ὅθεν γνωρίσας ὁ δείλαιος τὸ ἀήττητον τοῦ Μάρτυρος, ἀπηύδησεν ὡς δορκὰς νὰ πολεμῇ πρὸς λέοντα, καὶ δίδει κατ' αὐτοῦ τὴν τελευταίαν ἀπόφασιν, νὰ τὸν ἀποκεφαλίσωσιν ἔξω τῆς πόλεως. Ὅτε λοιπὸν μετέφεραν αὐτὸν εἰς τὸν τόπον τῆς καταδίκης οἱ δήμιοι, ὕψωσε πρὸς Οὐρανὸν κατ' ἀνατολὰς τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς λέγων.

Δέσποτα Κύριε, Θεὲ Θεῶν, Βασιλεῦ βασιλέων, Ἅγιε ἁγίων, εὐχαριστῶ σοι, ὅτι μὲ ἠξίωσας νὰ τελειώσω τὸν ἀγῶνα τοῦτον ἀναμάρτητος, καὶ παρακαλῶ σε νὰ μὴ μὲ ἐμποδίσῃ ὁ πονηρὸς καὶ ἐπίβουλος, νὰ μὲ βυθίσῃ εἰς τὸν βυθὸν τῆς ἀπωλείας· ἀλλὰ ἂς λάβωσι τὴν ψυχήν μου οἱ ἅγιοι Ἄγγελοι, διὰ νὰ τὴν φέρωσιν εἰς τὰ ἀγαπητά καὶ ποθητά σου σκηνώματα· καὶ ὅσοι ἐνθυμηθῶσιν ἐμοῦ τοῦ δούλου σου νὰ σοὶ προσφέρωσι θυσίας δεκτὰς δι' ἐμοῦ πρόσχες αὐτοῖς ἐξ οὐρανοῦ ἅγιου σου, καὶ δὸς αὐτοῖς ἀφθάρτους εὐεργεσίας, καὶ πλουσίαν ἀντάμειψιν, ὅτι σὺ εἶσαι μόνος ἀγαθὸς, καὶ τῶν ἀγαθῶν παροχεὺς καὶ δοτὴρ πλουσιώτατος». Ταῦτα ὁ ἀθλοφόρος εὐξάμενος, καὶ προσκυνήσας τῷ Θεῷ, παρέδωκεν αὐτῷ τὴν ψυχὴν ὁ μακάριος, πρὶν ἀποκόψῃ αὐτὸν ὁ δήμιος, διὰ νὰ μὴ φανῇ πῶς τὸν ἐθανάτωσεν ὁ τύραννος, ἀλλὰ ἐτελείωσε μὲ θεῖον νεῦμα καὶ βούλησιν. Τότε ὅσοι πιστοὶ ἦσαν ἐκεῖ εἰς τὴν Νίκαιαν, ἐτύλιξαν ὁσίως καὶ εὐλαβῶς εἰς σινδόνα καθαρὰν μὲ ἀρώματα τὸ τίμιον λείψανον, καὶ ἐβούλοντο νὰ τὸ ἐνταφιάσωσιν ἐκεῖ διὰ νὰ τὸ ἔχωσιν ὡς θησαυρὸν πολυτίμητον καὶ ἀσφαλὲς φυλακτήριον. Ἀλλ' ὁ Ἅγιος ἐφάνη εἰς τὸ ὁραμά των καὶ τοῖς εἶπε νὰ τὸ μεταφέρωσιν εἰς τὸ χωρίον του Λάμψακον· ὅθεν ἐποίησαν καθὼς τοὺς ἐπρόσταξεν ὁ ἅγιος, καὶ τὸν ἐνταφίασαν ἐκεῖ, εἰς τὸν ὁποῖον τόπον ἔγιναν πολλὰ θαυμάσια, εἰς δόξαν Πατρός, Υἱοῦ καὶ Ἁγίου Πνεύματος. Ἀμήν.

Ἠδὴ Ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Πιτρωσκόμενος, τοῖς κέντροις καὶ τοῖς δέλεσι, τῆς ἀγαπήσεως, Χριστοῦ πανεύφημε, δριμύτατα βάσανα, ἤνεγκας ἅγιε, καὶ τὸν θάνατον, μετὰ χαρᾶς ὑπέμεινας, ὦ μεγίστης σου ἀνδρείας.

Ὡς σκιάζουσα νεφέλη καὶ δροσίζουσα ἡ θεία κλῆσις σου, ἀναδειχθεῖσα ἡμῖν ἀμπέλους, ἀρούρας τε καὶ λοιπὰ κτήματα, διασώζουσα, τῆς βλάβης καὶ κακώσεως, ἑρπετῶν καὶ ζωῦφίων.

Οὐ πτοούμεθα, τὴν κάκωσιν καὶ ἔφοδον, τῶν ὁρωμένων ἐχθρῶν, ἐπεμβαινόντων ἡμῖν, προστάτας γὰρ ἔχομεν ὑμᾶς καὶ φύλακας, ὦ πολύαθλοι, Γεώργιε, Δημήτριε, σὺν τῷ Τρύφωνι τῷ Θείῳ.

Θεοτοκίον.

Ὡς ὑπέρλαμπρον, ἀνάκτορον ὑπάρξασαν, τοῦ πάντων ἄνακτος, καὶ ζωοδότου Χριστοῦ. ψυχῆς μου τὰ ὄμματα λάμπρυνον ψάλλοντος ὑπερύμνητε. εὐλογημένη Δέσποινα. τῶν πιστῶν ἡ σωτηρία.

Καταβασία. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα
Ἠδὴ Η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Μέγας ἀρωγὸς τῶν ὀρθοδόξων, καὶ ῥύστης ἐκ τῶν κινδύνων ἀναδέδειξαι. Τρύφων γενναιότατε, ῥύεσαι γὰρ πάντοτε, πάντας τοὺς προστρέχοντας, τῇ θείᾳ σκέπῃ σου, καὶ λύσιν τῶν κακῶν αἰτουμένους, καὶ ὑπερυψοῦντας Χριστὸν εἰς τοὺς αἰῶνας.

Κλῆσις ἡ σεπτή σου, Τρύφων Μάρτυς ἐδείχθη ἡμῖν τοῖς σὲ γεραίρουσι, καὶ τὴν θείαν μνήμην σου. πόθῳ ἑορτάζουσιν, εὐεργεσίας ἄφθονος πηγὴ ἀοίδιμε, ἀμαλθείας, κέρας ὀλβιόδωρον, καὶ παντὸς τῶν καλῶν, πλοῦτος ἄσυλος.

Γ΄τε πρὸς ἡμᾶς κεκακωμένους, Γεώργιε θεῖε καὶ Δημήτριε, Τρύφων παναοίδιμε, πάσης περιστάσεως, λιμοῦ, λοιμοῦ καὶ θλίψεως, ἀπολυτρούμενοι, πειρασμῶν τε, παντοίων λυτροῦμενοι, ὁρωμένων ἐχθρῶν, ἀοράτων τε.

Θεοτοκίον.

Θεία ὡς ὑπάρχουσα λυχνία, πυρφόρος, τῶν χαρισμάτων ἐξαπόστειλον, πᾶσι τὰς λαμπρότητας, πίστει τοῖς κραυγάζουσι, τὴν τοῦ Ἀγγέλου πάναγνε, φωνὴν χαρμόσυνον. τὸ χαῖρέ σοι, δι᾽ ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη, τὸ γένος τῶν ἀνθρώπων.

Καταβασία. Ἀστέκτῳ περὶ ἐνωθέντες.
Ὠδὴ Θ΄. Ἅπας γηγενής.

Χαίρεις νῦν χαράν. τὴν ὄντως ἀνέκφραστον καὶ ἀτελεύτητον. Γρύφων παμμακάριστε, καὶ μετὰ δόξης Χριστῷ παρίστασαι. τοῖς ἀπ᾽ αἰῶνος Μάρτυσι συναριθμούμενος, καὶ Ἀγγέλων, σὺν χοροῖς γηθόμενος, καὶ θεούμενος θέσει πολύαθλε.

Σὺ μὲν ἀθλητά. ἀνέπτης τῷ πνεύματι εἰς τὰ οὐράνια. Κάραν δὲ τὴν θείαν σου ἡμῖν κατέλιπες τοῖς ποθοῦσι σε.ὡς θησαυρὸν ἀνέκλειπτον, καὶ ἀδάπανήτων, χαρισμάτων θείων καὶ ἰάσεων. τῶν παθῶν τῆς ψυχῆς καὶ τοῦ πνεύματος.

Νῦν ἐξ οὐρανοῦ, προκύψαντες βλέψατε ὦ θεῖοι Μάρτυρες μέγιστε Γεώργιε, σὺν Δημητρίῳ καὶ θείῳ Τρύφωνι, καὶ κήπους ἡμῶν ἅπαντας, ἀρούρας δένδρα τε, καὶ τὰ ζῷα. πάντα εὐλογήσατε, καὶ ἡμᾶς ἐν ἀγάπῃ τηρήσατε.

Θεοτοκίον.

Υ΄μνους παρ᾽ ἡμῶν προσδέχου Θεόνυμφε, Θεοχαρίτωτε, Μῆτερ τοῦ Θεοῦ ἡμῶν, καὶ τὴν σὴν χάριν ἀντιχορήγησον, τοῖς εὐλαβῶς σε μέλπουσιν ἡμῖν τοῖς δούλοις σου, τὸν Χριστὸν δέ, ὃν ἀῤῥήτως τέτοκας, ἡμῖν ἵλεων Κόρη ἀπέργασαι.

Καταβασία. Ἐν νόμῳ. σκιᾷ καὶ γράμματι.
Ἐξαποστειλάρια τοῖς Μαθηταῖς συνέλθωμεν.

Χαίρεσοὶ πάντες ᾄδομεν, Τρύφων γενναῖε Μάρτυς, τῶν ἀθλητῶν καλλώπισμα, καὶ πιστῶν μέγα κλέος, τῶν ἀσθενῶν ὁ ἀκέστωρ καὶ δαιμονόντων ὁ ῥύστης, τῶν ἀμπελώνων, κηπων τε, ἀρουρῶν Θεῖος φύλαξ, τῶν ἑρπετῶν, καὶ θηρίων παντων τῶν καρποφόρων, διώκτης ὁ ὀξύτατος, καὶ τροφεὺς τῶν πεινώντων.

Ἐν πνεύματι τῷ Ἱερῷ.

Πρυφῆς κατεμφορούμενος, παραδόξου καὶ θείας Ἀγγέλοις ὁμοδίαιτος, ἐχρημάτισας μάκαρ, τὰς χῆνας νέμων ἐν νάπαις, πρὸς Θεοῦ ἀπειλῆφας, τὴν χάριν τῶν ἰαμάτων, Τρύφων Μεγαλομάρτυς, θεραπείαν τῶν βροτῶν, τὰς ἀσθενείας καὶ νόσους.

Προσόμοιον.
Τὸν παῖδα προσκαλέσασα . . .
Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.

Πῶν οὐρανίων τὰ κάλλη, ποθήσας ἔνδοξε, καὶ τῷ Χριστῷ συνεῖναι, μεθ᾽ ἁγίων Ἀγγέλων, παντοίας τὰς βασάνους ὑπέστης στερρῶς, καὶ τυράννων ὠμότητα, καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ, συνευφραίνῃ τῶν Μαρτύρων χοροῖς.

Εἰκὼν προτίθεται θεία καὶ πανσεβάσμιος, Τρύφωνος τοῦ γενναίου οἱ πιστοὶ δεῦτε πάντες, ἀσπάσασθε σὺν φόβῳ καὶ χαρμονῇ τῷ ἐδάφει προσπίπτοντες, ἡ γὰρ τιμὴ διαβαίνει ὄντως αὐτῆς,πρὸς αὐτὸν τὸν μέγαν Τρύφωνα.

Πολὺς σπαθισμοὺς ὑπομείνας Μάρτυς τοῦ σώματος, καὶ τὰς ὁρμὰς τῶν ἵππων, καὶ φλογώσεις λαμπάδων, τρυφῆς κατηξιώθης ἐν οὐρανοῖς, ἀκηράτου πολύαθλε, Τρύφων καὶ χάριν ἐάσεων δαψιλῆ ἐκ χειρὸς Κυρίου εἴληφας.

Μετὰ Θεόν εἰς τὴν σκέπην ὑμῶν πολύαθλοι, Γεώργιε καὶ Τρύφων, καὶ Δημήτριε ἅμα, τρέχομεν προθύμως, σκέπετε οὖν, ἡμᾶς πάντας ἑκάστοτε καὶ οὐρανῶν βασιλείας ἐπιτυχεῖν, μετὰ τέλος ἀξιώσατε.

Δόξα ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων, σκιρτήσωμεν τῷ πνεύματι, καὶ προτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ ἀθλοφόρου Χριστοῦ. Ἱερεῖς καὶ ἄπαντες νῦν συνέλθωμεν, καὶ τὸν τῶν θαυμάτων δεξάμενον τὴν χάριν, καὶ ταῦτα τοῖς χρήζουσιν ἐκβλύζοντα ποταμηδόν, ὕμνοις καὶ ᾠδαῖς, πνευματικαῖς εὐφημήσωμεν. Οἱ πένητες τὸν βοηθόν, οἱ δαιμονῶντες τὸν ῥύστην, οἱ ἐν συμφοραῖς τὸν σωτῆρα, οἱ νοσοῦντες τὸν ἰατρόν, οἱ ἀμπελουργοὶ τὴν πολυκαρπίαν, οἱ γεωργοὶ τὴν εὐετηρίαν οἱ ἐν τοῖς κήποις τὴν εὐθηνίαν. Οἱ πάντες τὸν πάντα πᾶσι γενόμενον, γενναῖον ἀθλοφόρον, ἐγκωμιάζοντες ἀνακράξωμεν. Τρύφων φιλανθρωπότατε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ῥῦσαι κολάσεως ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Ὁ αὐτός. Ὁ παλαιὸς ἡμερῶν.
Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Τυπικά, καὶ ἐκ τῶν κανόνων τοῦ Ἁγίου Ὠδὴ γ΄. καὶ ς΄. Ὁ Ἀπόστολος. Τέκνον Τιμόθεε ἐνδυναμοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΠΑΔΗΜΗΤΡΟΠΟΥΛΟΣ

ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ ΤΡΥΦΩΝΤΑ

Ἐὰν συμβῇ βλάπτεσθαι τὰ χωράφια, κήπους καὶ ἀμπελῶνας ὑπὸ ἑρπετῶν, ἀκρίδων. καὶ ζωϋφίων.

Πρῶτον γενέσθω ἡ τάξις ἡ ἐν τῷ Εὐχολογίῳ καὶ λεγέσθω ὑπὸ τοῦ Ἱερέως ἡ ἐκεῖσε Εὐχή, εἶτα καὶ ἡ δέησις αὕτη.

Πανένδοξε Μαρτυς τοῦ Χριστοῦ, καὶ στρατιῶτα τοῦ ἐπουρανίου Βασιλέως, Τρύφων παμμακάριστε, τῆς ἀκηράτου τρυφῆς ὁ ἐπώνυμος· ὁ γενναίως τὸν Χριστὸν ἐπὶ γῆς ὁμολογήσας, καὶ διὰ τοῦτο νῦν ἐν οὐρανοῖς τῆς ἀϊδίου ἀπολαύων μακαριότητος, καὶ μετὰ παρρησίας τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος· σοῦ τῇ μαρτυρικῇ μεγαλειότητι προστρέχομεν μετὰ Θεόν, πάντες ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καὶ ἱκετεύομεν τὴν συμπαθεστάτην καὶ χριστομίμητον φιλανθρωπίαν, ἵνα σπλαγχνισθεὶς ἐφ' ἡμᾶς τοὺς ἐν ἀνάγκῃ ὄντας καὶ περιστάσει, ἀποδιώξῃς μακρὰν τῶν χωραφίων καὶ κήπων, καὶ ἀμπελώνων ἡμῶν πάντα τὰ ἑρπετά, καὶ ἀκρίδας, καὶ κάμπας καὶ πολυειδῆ ζωΰφια καὶ θηρία, τὰ βλάπτοντα τοὺς καρποὺς καὶ φύλλα, καὶ ῥίζας τῶν δένδρων, καὶ πάντων τῶν λαχάνων τε καὶ γεννημάτων, καὶ ὁσπρίων ἡμῶν. Σὺ γὰρ ἐξαίρετον καὶ ἰδιαιτέραν εἴληφας τὴν χαριν ταύτην πολύαθλε παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οὐ μόνον πρώην ἔτι ζῶν, διὰ τὴν θεάρεστον πολιτείαν σου, ἀλλὰ πολλῷ μᾶλλον νῦν μετὰ θάνατον, διὰ τὸ μαρτυρικὸν καὶ δι' αἵματος τέλος, ὃ ὑπὲρ τῆς αὐτοῦ ὁμολογίας καὶ πίστεως ὑπέμεινας· ναί, ὁμολογοῦμεν, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν, ταύταις ταῖς συμφοραῖς παρεδόθημεν, καὶ τῇ τοῦ Θεοῦ ὀργῇ ὑπεπέσαμεν, ἀλλὰ σὺ γενναῖε ἀθλητά, εἰ μόνον θελήσῃς τῇ μαρτυρικῇ σου παρρησίᾳ χρήσασθαι, πιστεύομεν, ὅτι ραδίως κατασβέσῃς τὴν καθ' ἡμῶν ἐξαφθεῖσαν ταύτην τοῦ Θεοῦ ἀγανάκτησιν, καὶ τὴν ἀθυμίαν ἡμῶν, εἰς εὐθυμίαν μεταποιήσῃς· ὅθεν ἐπειδὴ διὰ τὸ πλῆθος τῶν ἀνομιῶν καὶ ἁμαρτιῶν ἡμῶν, οὐκ ἔχομεν παρρησίαν στῆναι ἐνώπιον τῆς ἀθλοφορικῆς σου δόξης, καὶ ἀμέσως τὴν ἱκεσίαν ποιήσασθαι, διὰ τοῦτο μεσίτην ἀντὶ ἡμῶν σοι προβαλλόμεθα, αὐτὸ σοῦ τὸ αἷμα, ὃ ὑπὲρ Χριστοῦ ἐξέχεας πανεύφημε, καὶ αὐτὰ τὰ μαρτυρικὰ ἀγωνίσματα ἅπερ ὑπήνεγκας ἐν τῷ ἀθλητικωτάτῳ σου σώματι. Ἔπιδε τοίνυν, εὐσπλαγχνικώτατε Μάρτυς, ἐπ' αὐτά, δι' ὧν τὸν Χριστὸν ὡμολόγησας, καὶ τὸν ἀμαράντινον τοῦ Μαρτυρίου ἔλαβες στέφανον, καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ταπεινῶν ἱκετῶν σου, καὶ τῆς ἐνεστώσης ἀνάγκης τῶν ἑρπετῶν καὶ ἀκρίδων, καὶ θηρίων καὶ πολυειδῶν ζωϋφίων τῶν λυμαινομένων τοὺς καρποὺς τῶν χωραφίων, καὶ ἀμπελώνων, καὶ κήπων ἡμῶν ἀπολύτρωσαι ὅτι κινδυνεύομεν ὑπ' αὐτῶν λιμῷ καὶ θανάτῳ καὶ παντελεῖ παραδοθῆναι καὶ ἀφανισμῷ, ἡμεῖς τε καὶ πᾶσα ἡ ὕπαρξις ἡμῶν, ἐὰν μὴ οἱ οἰκτιρμοί σου ταχέως ἡμᾶς προκαταλάβωσιν· ἵνα διὰ τῆς σῆς ὀξείας προστασίας, τοῦ ἐπικειμένου κινδύνου ἀπαλλαγέντες, ἀκαταπαύστως καὶ χρεωστικῶς τὸν σὸν μεγαλύνωμεν ὄνομα. σωτῆρα ἡμῶν καὶ εὐεργέτην καὶ ἀντιλήπτορα μετὰ Θεὸν σὲ ἐπιγραφόμενοι· καὶ διὰ σοῦ δοξάζομεν τὸν κοινὸν Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐν γῇ καὶ οὐρανῷ σε δοξάσαντα, ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας· Ἀμήν.

Εἶτα εἰπὲ τὴν ἐν τῷ εὐχολογίῳ εὐχὴν τοῦ Ἁγίου. «Ὄντος μου».

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΟΔΩΡΟΣ ΠΑΠΑΣΤΑΜΟΥ

ΑΚΟΛΟΥΘΙΑ, ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ
ΤΩΝ ΕΝΔΟΞΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ ΚΑΙ ΑΥΤΑΔΕΛΦΩΝ

ΣΤΑΜΑΤΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΤΩΝ ΕΚ ΣΠΕΤΣΩΝ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΕΝ ΧΙΩ
ΚΑΤΑ ΤΟ Α.Ω.Κ.Β. ΕΤΟΣ (1822) ΕΤΟΣ ΦΕΒΡΟΥΑΡΙΟΥ Γ.
ΠΟΝΗΘΕΙΣΑ ΠΑΡΑ ΑΝΘΙΜΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΠΟΥΛΑΚΗ ΤΟΥ ΧΙΟΥ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε ἐκέκραξα ἰστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν τρία προσόμοια τῆς ἑορτῆς καὶ τρία τῶν Ἁγίων.

Ἦχος πλ. δ΄. Ὦ τοῦ παραδόξου θαύματος.

Δόξα τῇ σῇ ἀγαθότητι, λόγε Θεοῦ καὶ Θεέ, ὁ πανσόφῳ προνοίᾳ σου, τρόποις οἷς ἐπίστασαι, τὰ ἡμῶν προνοούμενος, ὁ σῇ δυνάμει τοὺς νέους μάρτυρας, ἐνδυναμώσας πυρὶ τοῦ πνεύματος, καὶ δείξας χάριτι ἀπτοήτους ἔμπροσθεν τῶν δικαστῶν, καὶ λαμπρῶς ἀθλήσαντας, καὶ νίκην στήσαντας.

Νέα πανήγυρις σήμερον, νέα χορεία τερπνή, νέα δόξα τῆς πίστεως! Συνελθόντες ἅπαντες, εὐλαβῶς εὐφημήσωμεν, τοὺς αὐταδέλφους καὶ νέους Μάρτυρας, Σπετσῶν τοὺς γόνους, Χίου τὸ καύχημα. οἷς ἐκβοήσωμεν, πάντες μετὰ πίστεως, ὑπὲρ ἡμῶν, Μάρτυρες πανθαύμαστοι, Χριστῷ πρεσβεύσατε.

Δεῦτε συνελθόντες σήμερον, πάντες πιστοὶ εὐσεβῶς, τοὺς λαμπρῶς ἐναθλήσαντας, νικηφόρους μάρτυρας, εὐλαβῶς, εὐφημήσωμεν, τοὺς ἐκ τῆς Σπέτσας ἀναβλαστήσαντας, καὶ ἐν τῇ Χίῳ, λαμπρῶς ἀθλήσαντας, θεῖον Σταμάτιον σὺν τῷ Ἰωάννῃ τε, τοὺς ἀδελφούς, οὓς περ νέους Μάρτυρας, ἡ χάρις ἔδειξε.

Δόξα Ἦχος α΄.
Ποίημα Νικηφόρου Καλογερᾶ Ἀρχιεπισκόπου πρώην Πατρῶν.

Ἐνεθάρρυνέ ποτε ἐν τῷ σταδίῳ τὸν Νέστορα ὁ μεγαλομάρτυς Δημήτριος, ἐνθαρρύνει νῦν ἐν τοῖς μαρτυρικοῖς πταίσμασι τοὺς νεομάρτυρας ὁ Ἱερομάρτυς Πλάτων ὁ τρισόλβιος. Ἐν τῷ δεσμωτηρίῳ ἐγύμναζε τῆς Θεσσαλονίκης τὸ ἀγλάϊσμα τὸν παλαιστήν, ἐκ τοῦ δεσμωτηρίου ἀλείφει τοὺς ἐκ Σπετσῶν στεφανίτας ὁ κλεινὸς τῆς Χίου Ἱεράρχης, Τοῦ Μυροβλύτου ἡ προτροπὴ ἐνεδυνάμωσε τὸν ἀθλητὴν εἰς τὸ καταβαλεῖν τοῦ Ἀυαίου τὴν ἔπαρσιν· τοῦ Ποιμενάρχου ἡ εὐχὴ ταῖς ἀπειλαῖς καὶ ταῖς ἐπαγγελίαις τοῦ τυράννου, ἀδούλωτον ἀποφαίνει τῶν νεομαρτύρων τὸ φρόνημα. Τότε ὁ σθεναρὸς στρατηλάτης Δημήτριος προσέδραμε τοῦ Νέστορος εἰς τῆς ἀϊδίου δόξης τὰ σκηνώματα· νῦν ὁ γηραιὸς ἀρχιθύτης εἰς τοὺς θείους θαλάμους προπέμπει τῇ μαρτυρικῇ ἐστεμμένους αὐγῇ τοὺς νεομάρτυρας. Ὦ τῆς ἡμῶν μακαριότητος, νέοι στεφανῖται, Ἰωάννη, Σταμάτιε καὶ Νικόλαε! Οἵᾳ Χορείᾳ ἐν Οὐρανῷ ἐμπολιτεύεσθε, οἵῳ κλέει τὴν ἐπίγειον ὑμῶν πατρίδα περιβάλλετε! Λαμπρὰ ἡμῖν ὑποδείγματα τῆς ζώσης

εἰς Χριστὸν πίστεως κατελίπετε, ᾧ ἀπαύστως πρεσβεύετε ὑπὲρ τῶν τελούντων εὐλαβῶς τὴν ἑορτὴν ὑμῶν τὴν ἀοίδιμον.

Καὶ νῦν τῆς ἑορτῆς. Ἀναγνώσματα ζήτει Ἀπριλίου 23 (τοῦ Ἁγίου Γεωργίου ἢ τοῦ Ἁγίου Πολυδώρου, σελὶς τοῦ παρόντος 13).

Εἰς τὴν Λιτὴν Ἦχος α΄.

Δεῦτε πιστοὶ συνδραμόντες ἐκ πόθου θεασώμεθα θέαμα ξένον. Νέους ἀειθαλεῖς, ἐν αὐτῷ ἄνθει τῆς νεότητος συμπλακέντας τοῖς αἱμοβόροις καὶ ἀπίστοις ὁμωμανοῖς, καὶ ἀνδρείως ἐνιστάντας τῇ δυνάμει τοῦ Σταυροῦ τὴν ὁρμὴν τὴν ἐκείνων κατέβαλον, καὶ στεφάνους λαβόντες μαρτυρικοὺς νικηφόροι εἰς Οὐρανοὺς ἀνέπτανται, παριστάμενοι τῷ Βασιλεῖ τοῦ παντὸς καὶ πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ἐγκωμίων ἄνθεσι καὶ ἀειθαλέσι κλάδοις, τὰς ἀθλητικὰς κορυφὰς τῶν νεοθαλῶν ἀθλητῶν μελῳδικῶς καταστέψωμεν. Χαίρετε, ἐκβοῶντες αὐτοῖς, τῆς ἀληθείας ὁπλῖται καὶ τῶν συγγενῶν ὁρθοδόξων στερέωμα. Χαίρετε ἀδελφοὶ παμφιλεῖς καὶ τῶν συγγενῶν καὶ πατρίων τὸ καύχημα. Χαίρετε Σταμάτιε καὶ Ἰωάννη, τῶν νεομαρτύρων ἡ προσθήκη καὶ τὸ ἐκπλήρωμα. Διὸ μὴ παύσησθε πρεσβεύειν ἀεὶ ὑπὲρ τῶν ἐκτελούντων τὴν μνήμην ὑμῶν

Ἦχος γ΄.

Κεκλεισμένοι ἐν φρουρᾷ καὶ ἐν ζοφώδει σκότει κατεχόμενοι, ἐν νηστείαις καὶ εὐχαῖς τὸν Θεὸν τῶν ὅλων ἐκέτευον, καὶ ἀλλήλοις ἑαυτοὺς θαρσοποιοῦντες οὕτως ἐκραύγαζον· Ἀντιστῶμεν τοῖς ἐχθροῖς καὶ μὴ προδῶμεν πίστιν ἀμώμητον· δῶμεν σῶμα τὸ φθαρτὸν καὶ ἀπολαύσωμεν στέφος τὸ ἄφθαρτον, ἀντιστῶμεν πρὸς καιρὸν καὶ μετ' ὀλίγον μένει ἡμῖν ἄνεσις, Εὐφροσύνη τε εἰς αἰῶνας αἰώνων.

Δόξα Ἦχος πλ. α΄.

Ἡ Ἐκκλησία σήμερον χαρμοσύνως πανηγυρίζει καὶ ἐγκαυχωμένη βοᾷ· Ἐλαμπρύνθη μου τὸ κάλλος· ἰδοὺ γὰρ καὶ νῦν νέοι Μάρτυρες τὸν ἐρυθρόν μου χιτῶνα, τοῖς μαρτυρικοῖς αὐτῶν αἵμασιν ἐρυθραίνουσι καὶ στολὴν νέαν ἐπαμφιέννυσιν. Ἡ γὰρ ἐμὴ δόξα οὐδέποτε γηράσκει. Διὸ ὁ καὶ τοὺς ἐμὲ δοξάζοντας ἀντιδοξάζω, καταστέφουσα αὐτοὺς τοῖς ἀμαράντοις στεφάνοις καὶ συναριθμοῦσα σὺν τοῖς χοροῖς τῶν ἀρχαίων, συνευφραίνεσθαι καὶ τρυφᾶν αἰώνια.

Καὶ νῦν τῆς Ἑορτῆς. Εἰς τὸ στίχον στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐξεδόθη καθ' ἡμῶν, ψῆφος ἡ πικρὰ τοῦ θανάτου, καὶ ἡ ἀπόφασις, τότε ἀγαλλόμενοι δρόμον ἐτρέχετε, θαρσαλέως κραυγάζοντες, καὶ μεγαλοφώνως, τοῖς παρατυγχάνουσι, Χριστιανοί ἐσμεν, καὶ ὑπὲρ Χριστοῦ τὸν αὐχένα, ξίφεσι προδίδομεν πόθῳ, ἵνα βασιλείας ἐπιτύχωμεν.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὅλῃ καὶ καρδίᾳ καὶ ψυχῇ, πόθῳ τὴν ὁδὸν τελειῶσαι, τὴν τῆς ἀθλήσεως, ἔφεσιν κτησάμενοι ὥσπερ ἠκούσατε, τὴν φωνὴν τοῦ δικάζοντος, τὴν ἐξενεχθεῖσαν, δόξαν ἀνεπέμψατε τῷ τῶν ἁπάντων Θεῷ· ὅθεν καὶ τὸ ξίφος ὁρῶντες, ἄφοβοι ἐφαίνεσθε πᾶσι, καὶ ἀκαταπτόητοι μακάριοι.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Δρόμον μαρτυρίου τὸν καλὸν. Χαίροντες ἠνύσατε πόθῳ, ἀξιοθαύμαστοι, ἔνδοξε Σταμάτιε καὶ Ἰωάννη σοφέ, καὶ σφαγέντες ἀνέπτασθε, ταῖς ἄνω χορείαις, σὺν Μαρτύρων τάγμασι συνευφραινόμενοι, καὶ σὺν Ἰσιδώρῳ καὶ Μάρκῳ, καὶ τῷ Ἀγγελῇ τοῖς ἐν Χίῳ, ἔνδοξοι ἀεὶ συναριθμούμενοι.

Δόξα. Ἦχος πλ. δ΄.

Ἑορτὴ χαρμόσυνος ἐπέλαμψε τῇ Ἐκκλησίᾳ σήμερον τῶν νεοφανῶν ἀθλοφόρων Χριστοῦ καὶ τοὺς πιστοὺς συγκαλοῦσα ἅπαντας, ἐγκαυχωμένη αὐτῇ βοᾷ· Ἐλαμπρύνθη μου τὸ κάλλος, τοῖς τῶν νεοφανῶν ἀθλητῶν ἀγωνίσμασι, τοῦ Ἰωάννου καὶ Σταματίου, οἱ ἐν Χίῳ τὴν πάλην ἐνστήσαντες, τῶν Ἀγαρηνῶν τὴν μανίαν κατήσχυναν καὶ μαρτυρικῆς τιμῆς ἠξιώθησαν. Διὸ καὶ πρεσβεύουσι Χριστῷ ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ πάντων τῶν πιστῶν, τῶν ἐκ πόθου τελούντων τὴν μνήμην αὐτῶν.

Ἀπολυτίκιον ἦχος α΄.

Προὺς εὐκλεεῖς τῶν Σπετσῶν γόνους καὶ τῆς Χίου τὰ θεῖα ἐγκαλλωπίσματα, τοὺς πυρσοφεγγεῖς φωστῆρας, τοὺς ἐν τῇ πλειάδι τῶν νέων Μαρτύρων ἀγλαοφανῶς σελαγίζοντας, Νικόλαον τὸν σεπτόν, σὺν τοῖς κλεινοῖς Ἰωάννῃ καὶ Σταματίῳ τοῖς ὁμαίμοις, πάντες οἱ τῶν ἄθλων αὐτῶν θαυμασταί, συνελθόντες ὕμνοις τιμήσωμεν, Χριστὸν τὸν ἀθλοθέτην καὶ βραβευτὴν αὐτῶν δοξάζοντες.

Ἕτερον Ἦχος γ΄. Μέγαν εὗρατο.

Νέοι Μάρτυρες ἀναφανέντες, πλάνην ἤλεγξαν, τῶν Μουσουλμάνων, οἱ καρτερώτατοι θεῖοι αὐτάδελφοι, ὁ Ἰωάννης ὁμοῦ καὶ Σταμάτιος, Σπετσιωτῶν τὸ λαμπρότατον γέννημα, λαμπρῶς ἠθλησαν καὶ νίκης στεφάνους ἔλαβον, σωθῆναι δεόμενοι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς Ἑορτῆς Χαῖρε κεχαριτωμένη.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Καθίσματα. Εἰς τὴν α΄. στίχ. Ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Πᾶ τῆς πίστεως ἄνθη, τοὺς νοητούς, μαργαρίτας Κυρίου καὶ ἀθλητάς, Νικόλαον τιμήσωμεν, Ἰωάννην, Σταμάτιον, ὡς τοῦ ἐχθροῦ τὴν πλάνην ἐνθέως πατήσαντας, καὶ ἀπίστων πᾶσαν ἰσχὺν ἐδαφίσαντας, ὅθεν ἐπαξίως, οὐρανόθεν τὸ στέφος, τῆς νίκης δεξάμενοι, σὺν Ἀγγέλοις χορεύουσι· δι' ὃ πίστει βοήσωμεν. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Συνελθόντες εὐλαβῶς, ἅπας λαὸς τῶν εὐσεβῶν, εὐφημήσωμεν λαμπρῶς, τοὺς αὐταδέλφους ἀθλητάς, σὺν Νικολάῳ ἐκλάμψαντας ἐκ νήσου Σπέτσας, ἀθλήσαντας λαμπρῶς, ἐν Χίῳ σήμερον, ἀπίστους δὲ ἐχθρούς, τῇ θείᾳ χάριτι, καταβαλόντας στέψωμεν τοὺς νικηφόρους ἀναδραμόντας, μετ' εὐφροσύνης εἰς τὰ ἄνω βασίλεια.

Καὶ νῦν, τῆς Ἑορτῆς δμοιον. Νηπιάζει δι' ἐμὲ ὁ παλαιὸς τῶν ἡμερῶν.

Εἰς τὴν β΄. στίχ. Ἦχος Γ΄. Τὴν ὡραιότητα.

Λαμπρῶς ἀθλήσαντες, δόξης ἐτύχετε, Μάρτυρες ἔνδοξοι, θεῖε Σταμάτιε, σὺν Ἰωάννῃ τῷ κλεινῷ, αὐτάδελφοι κατὰ φύσιν, κατὰ χάριν πάλιν δέ, πολλῷ μᾶλλον ἐδείχθητε, ὄντως οὐρανόφρονες καὶ Μαρτύρων ὁμόσκηνοι· δι' ὃ μαρτυρικαῖς ἱκεσίαις, κόσμον ἐκ πλάνης ἐκλυτροῦσθε.

Δόξα καὶ νῦν τῆς Ἑορτῆς δμοιον. Ἐκ τῆς Παρθένου σε, σωματωθέντα. Μετὰ τὸν Πολυέλεον.

ΕΘΝΙΚΟΝ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΑΓΙΩΤΗΣ ΝΤΟΡΗΣ

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ Ἐκκλησία, τὴν τιμίαν ἄθλησιν, τῶν νεοάθλων ἀθλητῶν, εὐφραινομένη καὶ μέλπουσα, τὰς ἀριστείας αὐτῶν καὶ παλαίσματα.

Δόξα καὶ νῦν τῆς Ἑορτῆς.

Ἐν ἀγκάλαις φέρουσα, σὲ Θεὸ λόγε, ἡ Παρθένος Δέσποινα, προσάγει νῦν ἐν τῷ ναῷ, Συμεὼν δὲ δεξάμενος, νῦν ἀπολύεις, ἐκραύγαζε, Δέσποτα.

Οἱ ἀναβαθμοί. Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Εὐαγγέλιον μαρτυρικόν. Ὁ Ν. ψαλμός. Δόξα. Ταῖς τῶν ἀθλοφόρων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου Καὶ τὸ ἰδιόμελον, Ἦχος πλ. β΄.

Σήμερον ἡ νῆσος Σπέτσαι ταῖς τῶν ἀθλοφόρων αὐγάζεται ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς αἵμασιν ὡραΐζομένη, σὺν τοῖς ἐν Χίῳ βοᾷ. Νικόλαε, Σταμάτιε καὶ Ἰωάννη, μάρτυρες σεπτοί, μὴ παύσησθε πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Κανὼν τῶν Ἁγίων. Οὗ ἡ ἀκροστιχίς. «Θεῖοι μάρτυρες, δωρήσασθε χάριν. Ἄνθιμος»,

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην.

Θεὲ τῶν ὅλων, πλαστουργὲ τῆς κτίσεως ταῖς τῶν μαρτύρων λιταῖς, πέμψον κἀμοὶ χάριν, ἀνυμνῆσαι μέλλοντι, τοὺς ἱεροὺς ἀγῶνάς τε, τὴν λαμπρὰν μαρτυρίαν καὶ τὴν αἰσίαν τελείωσιν, τῶν νεοφανῶν ἀθλοφόρων σου.

Ἔχοντες πίστιν στερεὰν πρὸς Κύριον, τὰς συμφορὰς τῶν δεινῶν, ὡν αἱ περιστάσεις, καθ' ὑμῶν ἐπέφερον, βουλὴν Θεοῦ ἡγήσασθε καὶ γενναίως ἀθλῆσαι, ὑπὲρ τῆς πίστεως εἵλεσθε καὶ τελειωθῆναι δι' αἵματος,

Ἵνα σωθῶμεν καὶ Θεὸν δοξάσωμεν, νῦν ἀντιστῶμεν καλῶς καὶ ταῖς τῶν τυράννων, ἀπειλαῖς μὴ πτήξωμεν, συνομιλοῦντες ἔλεγον, οἱ γενναῖοι ὁπλῖται, ὁ γενναιόφρων Σταμάτιος σὺν τῷ Ἰωάννῃ οἱ πάνσοφοι.

Θεοτοκίον.

Ὅλον ἐδέξω ἐν νηδύϊ πάναγνε, τὸν τοῦ παντὸς ποιητήν, Θεὸν τε καὶ Λόγον, σάρκα χρηματίσαντα, ὃν οἱ γενναῖοι Μάρτυρες, εὐθαρσῶς καὶ ἀνδρείως, ἐν τῷ σταδίῳ ἐκήρυξαν, ὡς Θεὸν τῶν ὅλων καὶ Κύριον.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἴσον ἔχοντες ζῆλον, ἴσον καὶ τὸν ἔρωτα ὑπὲρ τῆς πίστεως, ἡ δυὰς ἡ θεία, τῶν καλῶν ἀδελφῶν ἡ ὁμότροπος, ὁ Σταμάτιός τε καὶ Ἰωάννης οἱ γενναῖοι, εὐθαρσῶς τὸν Χριστὸν ἀνεκήρυξαν.

Μετανοίας τὸν δρόμον ἐν τῇ φυλακῇ κεκλεισμένοι διήνυον, προσευχαῖς καὶ ὕμνοις ἐν νυκτὶ καὶ ἡμέρᾳ δεόμενοι, τῷ Θεῷ τῶν ὅλων, τοῦ καταπέμψαι αὐτοῖς χάριν, καὶ ἰσχὺν οὐρανόθεν δωρήσασθαι.

Ἀδελφοὶ συμφρονοῦντες, καὶ ἀδελφικὸν τὸν ἔρωτα ἔχοντες, συλλαλοῦντες, καὶ ἅμφω ἀντιστῶμεν ἀνδρείως ἐκραύγαζον, τοῖς πικροῖς διώκταις, καὶ τὸν Σταυρὸν ὡς δόρυ σχόντες τοὺς τῆς Ἄγαρ ἐγγόνους αἰσχύνωμεν.

Θεοτοκίον.

Ῥητορεύειν οὐ σθένει, γλῶσσά τε καὶ νοῦς ω Παρθένε Θεόνυμφε, τοῦ λαλεῖν τὸ θαῦμα, τῆς ἀσπόρου λοχείας τοῦ τόκου σου, πῶς ὁ ἐν τοῖς κόλποις τοῦ οὐρανίου Πατρὸς θέλων, Συμεὼν ἐν ἀγκάλαις κατέχεται.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου.

Ἀθλήσαντες καλῶς, ἐκομίσασθε στέφος, ἀθλήσεως λαμπρόν, ω αὐτάδελφοι θεῖοι, Σταμάτιε ἔνδοξε, Ἰωάννη μακάριε ὄντως μάρτυρες, τῆς ἀληθείας φανέντες, ἐκομίσασθε τοῦ μαρτυρίου τὸ στέφος, ἀεὶ εὐφραινόμενοι.

Δόξα καὶ νῦν, τῆς ἑορτῆς.

Ὠδὴ δ΄. Σὺ μου ἰσχὺς Κύριε.

Πρὸς αὐτόν, ἢ σήμερον ἀποθάνωμεν, ἢ εἰς χρόνους, ὕστερον θνῃξώμεθα; σήμερον γὰρ ὑπὲρ τοῦ Χριστοῦ, ὁ ἀγὼν ὑπάρχει, μὴ δειλιάσωμεν Θάνατον, μὴ πτήξωμεν τυράννους, ἀντιστῶμεν δὲ μᾶλλον, καὶ ὑψώσωμεν πίστιν ὀρθόδοξον.

Ὕμνοις ἀεί, καὶ προσευχαῖς καὶ δεήσεσι, περιπεφραγμένοι, ὡσπερ θυρεοῖς καλοῖς, μεγαλοφώνως οἱ ἀθληταί, εὐθαρσῶς ἐβόων, ὁ Σταμάτιος καὶ Ἰωάννης τε, Ῥωμᾶς ὡ διῶκται, οὐ δειλιῶμεν τὰς βασάνους, οὐ πτοούμεθα οὐ πρόσκαιρον θάνατον.

Ῥοαῖς θερμῶν καὶ γλυκυρρόων δακρύων τι, ἱκετεύειν Θεὸν οὐκ ἐπαύσασθε, ἐν τῇ φρουρᾷ ὄντες τῇ δεινῇ, καταχεκλεισμένοι ἐπὶ ὀκτὼ ὁλοκλήρους, ἡμέρας τε καὶ νύκτας καὶ Θεὸν λιπαροῦντες, καταπέμψασθαι δύναμιν ἄνωθεν.

Θεοτοκίον.

Ἐπὶ τὴν σήν, νῦν Θεοτόκε ἀντίληψιν, προσφεύγοντες, δύναμιν ἐδέξαντο, οἱ ἀθληταί, καὶ καταβαλεῖν ἴσχυσαν δυνάμει, τοὺς ἐκ τῆς Ἄγαρ ἐχθροὺς ἡμῶν, καὶ σὲ Θεοῦ Μητέρα καὶ βοήθειαν πάντων, εὐθαρσῶς καὶ ἀνδρείως ἐκήρυξαν.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Σὲ Θεὸν τῶν ἁπάντων, σὲ καὶ βασιλέα ἁπάσης τῆς κτίσεως, οἱ στερροὶ ὁπλῖται, Ἰωάννης ὁμοῦ καὶ Σταμάτιος, εὐθαρσῶς ἀθλοῦντες, ἐν εὐτολμίᾳ ἀνεβόων, τὸν Χριστὸν οὐκ ἀρνούμεθα πώποτε.

Δωρεὰς παμμεγίστους, τιμὰς καὶ δόξας, καὶ τ' ἄλλα ἅπαντα, ἀπειλάς τε αὖθις καὶ πικρὰς τιμωρίας, ἃς προὔτεινον, πτύοντες ἐβόων, οὓ ταῖς θωπείαις θελγόμεθα, οὐ πτοούμεθα θάνατον πρόσκαιρον.

Ὡ' ὄντως νῦν πληροῦται, εὐαγγελικῶν ῥημάτων ἡ ἔννοια· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ πληροῦται ὡς εἴρηται· οἱ γὰρ νέοι οὗτοι καταβάλοντες τοὺς τυράννους τὴν ὀρθόδοξον πίστιν ἐκράτυναν.

Θεοτοκίον.

Ῥητορεύειν οὐ σθένει, γλῶσσα καὶ διάνοια τὰ σὰ θαυμάσια, Παναγία κόρη, πῶς ὁ ἐν ὑψίστοις καθήμενος, ταῖς χερσὶ κρατεῖται, τοῦ Συμεὼν καθάπερ βρέφος, καὶ ἀγκάλαις ταῖς σαῖς ἐνθρονίζεται.

Ὠδὴ στ΄. Ἰλάσθητί μοι Σωτήρ.

Ἡ πρόνοια τοῦ Θεοῦ καὶ ἡ σοφία ἡ πάνσοφος τρόποις οἷς οἶδεν αὐτή, τὰ πάντα διέπουσα, καὶ ὑμᾶς ηὐδόκησεν ἐν ἐσχάτοις χρόνοις, μαρτυρίου στέφει στέψασθαι.

Σὲ τὴν παρρησίαν εἰδὼς ὁ τύραννος, ὦ Σταμάτιε, καὶ ἄκων ὁμολογεῖ, τὸν ἔνθερμον ἔρωτα τὸν ἐν τῇ καρδίᾳ σου· διὰ τοῦτο αὖθις τὴν ἀπόφασιν ἐκδέδωκα.

Θεοτοκίον.

Ἁγία Μήτηρ Θεοῦ, τῶν ἀθλητῶν ἡ βοήθεια, βοήθησον καὶ ἡμῖν, αὐτῶν ταῖς δεήσεσι, καὶ δώρησαι λύτρωσιν, καὶ δεινῶν τὴν λύσιν, καὶ πταισμάτων τὴν συγχώρησιν.

Κοντάκιον Ἦχος Γ΄. Ἡ παρθένος σήμερον.

Ἐγκωμίων ἄνθεσι, πλέξωμεν πόθῳ καὶ τὰς κάρας στέψωμεν τῶν νεοάθλων

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΜΕΛΕΤΗΣ ΚΑΙ ΑΝΑΠΤΥΞΗΣ ΕΠΙΜΕΛΗΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΠΑΠΑΣΤΑΘΗΣ

μαρτύρων. κράξοντες ψυχῆς ἐκ βάθους αὐτοῖς καὶ πόθῳ. **Μάρτυρες γενναῖοι** ὄντως τῆς εὐσεβείας, μὴ ἐλλείπετε προσεύχειν, πρὸς τὸν **Δεσπότην**, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ὁ Οἶκος.

Πλησίον τοῦ περιωνύμου ναοῦ τῶν Ταξιαρχῶν, ὅστις κοινῶς ἐπωνομάζεται «Καμπάνα», κεῖται καὶ ἕτερος τῆς Θεοτόκου, ἥτις καλεῖται Μαρμαριώτισσα. Ἐν ταύτῃ δὲ τῇ ἐνορίᾳ κατοικεῖ γυνή τις καλουμένη Ἀγγεροῦ, ἧς ὁ ἀνήρ, Φραγκούλης τοὔνομα, δυτικὸς ὢν πρότερον, μετεστράφη ἐγκολπωθεὶς τὸ ἡμέτερον Ἀνατολικὸν δόγμα διὰ τοῦ θείου βαπτίσματος. Τούτων δὲ ἡ τετραετὴς θυγάτηρ, Ἀργυρὴ ὀνομαζομένη, προσβληθεῖσα ὑπὸ τῆς δεινῆς καὶ ἐπικινδύνου νόσου τῶν εὐφλογιῶν, κατέστη οἰκτρὰ καὶ ἐλεεινὴ, τιμωρουμένη ἐπὶ τέσσαρα ἔτη κατὰ συνέχειαν ὑπὸ δεκατεσσάρων πληγῶν, ἃς ἐπέφερεν ἡ νόσος εἰς τὸν δεξιὸν αὐτῆς βραχίονα, καὶ ἡμεῖς ἰδίοις ὀφθαλμοῖς ἰδόντες αὐτὰς ἐφρίξαμεν. Ἐπὶ τετραετίαν δὲ βασανιζομένη, ὑπὸ τοῦ ἀρίστου τῶν ἐν Χίῳ χειρούργων Δομινίκου, ὅστις καὶ πολλὰ ὀστάρια (κόκκαλα) ἐξέβαλεν ἐκ τῶν πληγῶν, καὶ τρομεροὺς πόνους ὑποφέρουσα, οὐδόλως ὠφελεῖτο, ἀλλὰ μᾶλλον ᾤδευε πρὸς τὸν θάνατον· διότι ἡ χεὶρ αὐτῆς κατέστη ἀκίνητος ὡς νεκρά, ἀπὸ τοῦ τραχήλου διὰ μανδηλίου ἐξηρτημένη καὶ πρὸς τὴν παλάμην ἐστραμμένα ἔχουσα τὰ δάκτυλα. Διαδοθείσης δὲ τῆς φήμης, ὅτι ἐτελεύτησεν ὁ ἱερὸς Μακάριος, ἡ μήτηρ τῆς πασχούσης, ἥτις διέτρεφε μεγίστην εὐλάβειαν καὶ σέβας πρὸς τὸν ἅγιον πατέρα, ἅμα ἀκούσασα τοῦτο, ἔσπευσεν ἵνα προφθάσῃ εἰς τὴν κηδείαν αὐτοῦ. Οὕτω λοιπὸν τὸ μὲν θυγάτριον αὐτῆς ἔδωκεν εἰς φίλον ἐπὶ ὄνου ἐκεῖσε ἀπερχόμενον, αὐτὴ δὲ μετὰ τῆς ἀνεψιᾶς ἔτρεχε κατόπιν πεζῇ. Προλαβὼν δὲ αὐτὰς ὁ ῥηθεὶς καὶ προφθάσας μετὰ τῆς κόρης εἰς τὸ τοῦ ἱεροῦ Μακαρίου οἴκημα, διηγήθη τὸ δεινὸν αὐτῆς πάθος, τῷ ἐκεῖσε παρόντι ὑπηρέτῃ, ὅστις σπλαγχνισθεὶς εἰσῆλθεν εἰς τὸ κελλίον, ὅθεν ἔλαβε τὸ κάλυμμα τῆς κεφαλῆς τοῦ ἁγίου πατρός, δι' οὗ ἐπαύρωσεν ἐν πίστει καὶ πεποιθήσει τὴν χεῖρα τοῦ κορασίου. Μετ' ὀλίγον δ' ἐφθασεν ἐκεῖ καὶ ἡ μήτηρ μετὰ τῆς ἀνεψιᾶς αὐτῆς Ροξανδρίτσας, καὶ προσκυνήσασα καὶ προσκυνήσασα καὶ προσευχηθεῖσα ἐπανῆλθεν οἴκαδε· ἀλλ' ὦ τοῦ θαύματος! αἴφνης βλέπει τὸ θυγάτριόν της κινοῦν καθ' ὅλα τὰ μέρη, ἄνευ οὐδενὸς κόπου καὶ δυσκολίας τὴν μέχρι τῆς σιγμῆς ἐκείνης ἀκίνητον αὐτοῦ χεῖρα, καὶ κράζει μεγαλοφώνως· «Μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ!» Λησμονήσασα δμως νὰ λύσῃ καὶ παρατηρήσῃ τὴν τέως ἐκ πληγῶν κεκαλυμμένην αὐτοῦ χεῖρα, ἔπεμψεν αὐτὸ κατὰ τὸ σύνηθες πρὸς τὸν εἰρημένον χειροῦργον Δομίνικον, ὅστις λύσας τὰ ἐπιδέματα καὶ ἰδὼν τὰς πληγὰς ἰατρευμένας ἐξεπλάγη καὶ εἶπεν· «ἀκατανόητον! αὗται ἐκλείσθησαν ὅλαι». Ἀκολούθως ἡ μήτηρ τοῦ κορασίου ἠρώτησε τὸν χειροῦργον τί ζητεῖ διὰ τοὺς κόπους αὐτοῦ· ἀλλ' ἐκεῖνος οὐδεμίαν πληρωμὴν ἐζήτησεν, οὐδὲ ὀβολὸν ἔλαβεν. Ὅτε δὲ μετὰ τινα καιρὸν ἔπεμψε πρὸς αὐτὸν φιλοδώρημά τι παρετήρησε πάλιν τὴν χεῖρα τοῦ κομίσαντος αὐτὸ κορασίου, καὶ ἐδόξασε τὸν Θεόν, καθὼς καὶ ἡ γυνὴ αὐτοῦ, καὶ ἅπαντες οἱ γενόμενοι αὐτόπται μάρτυρες τοῦ θαύματος τούτου.

Θαῦμα β'.

Εἰς τὸ Μοναστήριον τῆς Καλλιμασιᾶς, μοναχή τις Ματρώνα καλουμένη, ἔκειτο ἀσθενὴς ἐν τῷ ἑαυτῆς κελλίῳ, ἣν ἐπεσκέπτετε καὶ περιεποιεῖτο προθύμως ὑπηρετοῦσα φιλάνθρωπός τις γυνή, Μαροῦκα τοῦ Γιάκουμου ὀνομαζομένη, μετὰ τῆς ἀνεψιᾶς αὐτῆς Ἀγγεροῦς, δεκατετραετοῦς τὴν ἡλικίαν οὔσης·

διότι αἱ λοιπαὶ μοναχαί, ἔκ τινος δεισιμονίας καὶ προλήψεως, ἐφοβοῦντο ἵνα εἰσέλθωσιν εἰς τὸ κελλίον τῆς ἀσθενούσης. Τὴν ἑσπέραν λοιπὸν τοῦ Σαββάτου τοῦ Ἀσώτου, κατὰ τὸ 1809, τῷ πρώτῳ ἔτει τῆς ἀνακομιδῆς τῶν λειψάνων τοῦ Ἁγίου Μακαρίου, ἡ εἰρημένη νεᾶνις, ἐν ᾧ ἤνοιξε τὴν θύραν τοῦ κελλίου ἵνα ἐπισκέψηται τὴν πάσχουσαν, εἶδε φάντασμα φρικτὸν καὶ τρομερόν, καὶ τοσοῦτον ἐφοβήθη, ὥστε μόλις ἠδυνήθη ἵνα φύγῃ ἐκεῖθεν, καὶ ἐπανέλθῃ εἰς τὸ ἴδιον αὐτῆς οἴκημα. Ἐπειδὴ δὲ ἠσθάνετο δεινὸν καρδιόκτυπον, ἦτοι μέγα καὶ ὀδυνηρὸν πάθος εἰς τὴν καρδίαν, προσεκλήθη ἥ τε Ἡγουμένη Ματρώνα Ἀντωνάκενα καὶ ἄλλαι ἀδελφαί, αἵτινες διὰ προσευχῶν, ῥαντίσματος ἁγιασμοῦ καὶ ἁγίων λειψάνων ἐπ' αὐτῆς ἐπιθέσεως, καθησύχασαν αὐτήν, ἀλλὰ περὶ τὸ μεσονύκτιον βλέπουσαι ὅτι ὡς ἔξω φρενῶν καὶ μανιώδης ἐφώναζεν, ἐξύβριζε καὶ ἐβλασφήμει, ἐμήνυσαν τὸν πνευματικὸν αὐτῆς τε καὶ πολλῶν ἄλλων ἀδελφῶν ὁσιώτατον Ἱερομόναχον Νικηφόρον, εὑρισκόμενον ἐν τῇ χώρᾳ (πόλει) τῆς Χίου καὶ ὄντα ἐπιστήθιον φίλον τοῦ ἁγίου Μακαρίου, ἵνα ὑπάγῃ εἰς τὸ Μοναστήριαν μετ' ἁγίων λειψάνων καὶ ψάλῃ ἁγιασμοὺς ὑπὲρ τῆς πασχούσης. Τοῦτο δὲ αὐτὴ ἀκούσασα εἶπε· «μὴ τὸν φέρετε, μὴ τὸν φέρετε· τί τὸν θέλετε ἐκεῖνον τὸν μάγον; τί τὸν προσκαλεῖτε νὰ ἔλθῃ ἐδῶ; ἀλλὰ δὲν τὸν εὑρίσκετε». Ἐκ τῶν λόγων τούτων αἱ περὶ αὐτὴν μοναχαὶ ἠννόησαν, ὅτι ἔπασχεν ὑπὸ ἀσθενείας οὐχὶ σωματικῆς, ἀλλὰ δαιμονικῆς, διότι πνεῦμα ψιλὸν ἀνθρώπου οὐδόλως δύναται γινώσκειν τὰ πόρρω ὄντα καὶ γινόμενα· καὶ ὄντως ἡ σταλεῖσα εἰς πρόσκλησιν τοῦ Ἱερομονάχου Νικηφόρου ἀδελφὴ οὐχ εὗρεν αὐτὸν εἰς τὸ ἐν τῇ πόλει οἴκημα αὐτοῦ, ἀπόντα εἰς τὸ χωρίον Νένητα, ὅπου καὶ ἐξ ἀδελφικῆς ἀγάπης καὶ συμπαθείας πρὸς τὴν πάσχουσαν ἀπερχομένη, συνήντησεν αὐτῷ καθ' ὁδὸν εἰς τὴν πόλιν ἐπιστρέφοντι. Ἅμα δὲ ἤκουσε παρ' αὐτῆς τὴν αἰτίαν, δι' ἣν προσεκαλεῖτο εἰς τὸ Μοναστήριον, ὑπέστρεψεν ἐκεῖσε περὶ τὴν ἐννάτην ὥραν τῆς ἡμέρας. Εἰσελθὼν δὲ εἰς τὸ κελλίον, ἔνθα ἔκειτο ἡ ἀσθενής, καὶ εὑρὼν ἐν αὐτῷ τὰς πλείστας τῶν ἀδελφῶν μετὰ θερμῶν δακρύων τὸν Θεὸν ὑπὲρ αὐτῆς παρακαλούσας, ἐκινήθη εἰς οἶκτον διὰ τὴν ἀθλιεστάτην κατάστασιν τῆς χθὲς καὶ πρώην σεμνοτάτης καὶ πραοτάτης νεάνιδος. Συμπεραίνων δ' ἐκ τῶν φαινομένων, ὅτι τὸ πάθος αὐτῆς προήρχετο ἐξ ἀκαθάρτου καὶ πονηροῦ πνεύματος, ἤρξατο ἐν κατανύξει ἀναγινώσκων τοὺς ἐξορκισμούς. Ἐνθυμηθεὶς δὲ ὅτι καλογραιά τις εἶχεν ἕνα τῶν δακτύλων τοῦ Ἁγίου Μακαρίου, ἐζήτησεν αὐτὸν κρυφίως καὶ πνευματικῷ τρόπῳ, καὶ δήσας εἰς τὸ ἄκρον τοῦ μανδυλίου αὐτοῦ, ἐπέθηκεν ἐπὶ τῆς πασχούσης, νοερῶς προσευχόμενος καὶ τὴν βοήθειαν τοῦ Ἁγίου ἐπικαλούμενος καὶ λέγων καθ' ἑαυτόν. «Πάτερ σεβασμιότατε καὶ φιλανθρωπότατε, καὶ εἰ εὗρες χάριν παρὰ Θεοῦ, δέομαί σου καὶ παρακαλῶ τὴν συμπαθητικήν σου διάθεσιν, δεῖξον σημεῖον μέγα τῆς ἁγιότητός σου, καὶ ἐξέλασον ἀπὸ τῆς πασχούσης ταύτης τὸ πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα.» Τοὺς λόγους δὲ τούτους μετὰ θερμῆς πίστεως τοῦ ἱερομονάχου καὶ πνευματικοῦ Νικηφόρου πολλάκις ἐπαναλαβόντος, ὦ τοῦ θαύματος! μετὰ μεγίστης ἐκπλήξεως τῶν παρισταμένων ἀδελφῶν, ἀνηγέρθη καὶ ἀνεκάθισεν ἥσυχος καὶ ἀνατάραχος ἡ νεᾶνις, ἥτις πρὸ ὀλίγου ἦτο παράφρων καὶ μαινομένη, καὶ ἐβόησε λέγουσα· «φεῦ! πόσον μου πονεῖ ἡ καρδία! πόσον ἀνυπόφορος δυσωδία ἐξέρχεται ἐκ τοῦ στόματός μου!» Ὁ δὲ πνευματικὸς ἀνέκραξε· «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ» Καὶ ὄντως ἅμα τῇ ἐπικλήσει τοῦ Ἁγίου Μακαρίου, τὸ πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα ἐξῆλθεν ἀπὸ τῆς νεάνιδος, ἀπαλλαχθεῖσα καὶ ἐντελῶς ἀναλαβοῦσα τὰς φρένας αὐτῆς, ἔχει κατὰ πάντα καλῶς, δοξάζουσα καὶ εὐλογοῦσα τὸν θεράποντα αὐτοῦ Ἅγιον Μακάριον. Τοῦτο δεύτερον θαῦμα γεγράφαμεν συνειδήσει, ὡς ἠκούσαμεν αὐτὸ παρά τε τοῦ αὐτόπτου μάρτυρος γενομένου ὁσιωτάτου πνευματικοῦ πατρὸς Κυρίου Νικηφόρου καὶ παρὰ τῆς εἰρημένης τιμίας καὶ ἀξιοπίστου θείας τῆς ἰαθείσης νεάνιδος. Ἀλλ' ἀκούσατε, ὦ εὐσεβέστατοι καὶ εὐλαβέστατοι Χριστιανοί, καὶ τὸ ἑπόμενον.

Θαῦμα γ'.

Εἰς τὴν ἐνορίαν τῆς ἐπάνω Ἁγίας Κυριακῆς κατοικῶν τις ῥάπτης ὀνομαζόμενος Νικόλαος τοῦ Παρασκευᾶ, καὶ ἔχων γυναῖκα Μπατολιᾶν (Ὑπατίαν) καλουμένην, ἀπῆλθε πρό τινος καιροῦ εἰς τὴν ξενιτείαν, ἔνθα ἀσθενήσας ἐπανῆλθεν εἰς Χίον. Ἔκειτο δὲ κλινήρης ἐπὶ μῆνας περίπου, πάσχων καὶ ὑπὸ τῆς ἀσθενείας καὶ ὑπὸ τῆς ὑπερβολικῆς ἐνδείας. Καίτοι δμως πτωχός, προσεκαλέσατο ἕνα τῶν ἐμπειροτέρων ἰατρῶν τῆς πόλεως, τὸν Κύριον Μαρῖνον Κλάδον, ὅστις προθύμως μὲν ἐπεσκέψατο αὐτὸν, ἀλλ' οὐδὲν ὠφέλησεν ὑπὸ τῆς ἀνιάτου νόσου τῆς ὑδροπικίας δεινῶς πάσχοντα, καὶ τελευταῖον ἐγκατέλειψεν αὐτὸν πρισθέντα ἤδη καὶ εἰς τὸ χεῖλος τοῦ θανάτου εὑρισκόμενον. Οὕτω λοιπὸν ἡ ταλαί-

ΕΘΝΙΚΟΝ ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΙΝΣΤΙΤΟΥΤΟ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΣΠΟΥΔΩΝ ΕΠΙΤΡΟΠΗ ΙΩΑΝΝΟΥ ΚΑΙ ΑΝΤΩΝΙΑΣ ΠΑΠΑΔΟΠΟΥΛΟΥ

πωρος αὐτοῦ γυνὴ ἀπελπισθεῖσα προστρέχει εἰς τὸν ἄμισθον καὶ ἀλάνθασον ἰατρόν, τὸν Ἅγιον Μακάριον, καὶ προσκαλεῖ τὸν προειρημένον πνευματικὸν Νικηφόρον, ἔχοντα ἱερὸν τοῦ Ἁγίου λείψανον, δι' οὗ πολλὰ καὶ μεγάλα εἰς πολλοὺς ἐτέλεσε θαύματα. Οὗτος λοιπὸν ἐλθὼν πρὸς τὸν ἀνίατα νοσοῦντα καὶ παρὰ τῶν ἰατρῶν ἀπηλπισμένον Νικόλαον, τὴν ὀγδόην τοῦ Μαρτίου, καὶ παραμονὴν τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων,καὶ τελέσας ἁγιασμὸν ἐσταύρωσεν αὐτὸν καθ' ὅλον τὸ σῶμα καὶ ἐπευξάμενος ἀπῆλθεν. Ὁ δὲ νοσῶν τοσοῦτον ταχέως καὶ ἐντελῶς ἀνέλαβε τὰς σωματικὰς αὐτοῦ δυνάμεις, ὥστε τῇ ἐπαύριον ἐγερθεὶς ἐκ τῆς κλίνης παρευρέθη εἰς τὴν ἐκκλησίαν πρὸς ἀκρόασιν τῆς θείας λειτουργίας, καὶ ἐπιστρέψας οἴκαδε ἔφαγε ξηρὸν ἄρτον καὶ ἐλαίας καὶ τὰ παρόμοια, καὶ τέλος πάντων ἐξεπρίσθη καὶ ἐπανῆλθεν εἰς τὴν προτέραν αὐτοῦ κατάστασιν, εἰς ἔκπληξιν καὶ θαυμασμὸν κινήσας τοὺς τε γείτονας καὶ ἅπαντας ἡμᾶς, εὐλαβῶς ἀνακράζοντας, «θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ!» Φαίνεται δὲ ὅτι μετὰ τῆς σωματικῆς θεραπείας ὁ ἅγιος ἐδωρήσατο αὐτῷ καὶ τὴν ψυχικὴν· διότι, ἐν ᾧ πρότερον ἦτο μέθυσος, βλάσφημος, καὶ φαυλόβιος,ἀφ' οὗ παραδόξως ἰατρεύθη διὰ τῆς θείας χάριτος, ἀποκατέστη νήφων, ἥσυχος καὶ σώφρων, ἐν εἰρήνῃ καὶ ἀγάπῃ συζῶν μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ συνδοξάζων τὸν Θεὸν καὶ τὸν θεράποντα αὐτοῦ Ἅγιον Μακάριον. Τούτου δὲ ἀκούσατε καὶ ἕτερον.

Θαῦμα δ'.

Ὀχατζῆς Τρύφων Ψαρᾶς ἐγέννησε παιδίον ἔχων πάθος δεινὸν καὶ ἀνίατον, τὴν ρῖνα δηλονότι κόκκινην καὶ τὸν οὐρανίσκον πλήρη κρέατος, ὅπερ οἱ ἰατροὶ ἐπωνόμασαν ὀκταπόδιον· διὰ τῆς ἐλαφροτέρας δ' ἐγγίσεως τῆς ῥινὸς ἔρρεε ποταμηδὸν τὸ αἷμα ἐκ τοῦ στόματος τοῦ παιδίου. Ἀφ οὗ δὲ ἀνωφελῶς ἐπὶ τεσσαράκοντα ἡμέρας κατεβασάνισαν αὐτὸ οἱ ἰατροὶ διὰ τῶν καυστηρῶν λεγομένων ἀλοιφῶν, ὁ πατὴρ αὐτοῦ ἐνθυμηθεὶς τὴν διὰ πρεσβειῶν τοῦ Ἁγίου Μακαρίου γενομένην ἴασιν τοῦ ἐν τῷ πρώτῳ θαύματι ἀναφερομένου κορασίου τοῦ Φραγκούλη, καὶ ὀρθῶς συλλογισθεὶς ὅτι ὁ ἴδιος δύναται θεραπεύσῃ καὶ τὸ πάσχον τέκνον, καθωπλίσθη διὰ τῆς πίστεως, καὶ παραλαβὼν αὐτό τε καὶ ἅπασαν τὴν οἰκογένειαν, ἀπῆλθεν εἰς τὸ ἡσυχαστήριον τοῦ Ἁγίου Μακαρίου. Ἐν ᾧ δὲ πανάκιος ἤκουσε τὴν ἱερὰν λειτουργίαν ἐν τῷ ἐκεῖσε ναῷ τοῦ Ἁγίου Πέτρου, ἡ θεία χάρις ἤρξατο ἐνεργοῦσα καὶ τοῦ παιδίου πεσόντος εἰς εἶδος τι λιποθυμίας ἐξέρρεον ὕλαι δυσώδεις ἔκ τε τῆς ρινὸς αὐτοῦ καὶ τοῦ στόματος. Μετὰ δὲ τὴν λειτουργίαν ὁ ἱερεὺς σφραγίσας αὐτὸ καὶ σταυρώσας διὰ τοῦ ἁγίου Λειψάνου προσηύξατο ὑπὲρ τῆς θεραπείας αὐτοῦ καὶ ἰάσεως. Μετ' οὐ πολὺ δέ, τοῦ παιδίου ἐντελῶς ἰαθέντος, ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ συνεχῶς ἀπέρχονται εἰς τὸν τάφον τοῦ Ἁγίου Μακαρίου εὐγνωμονοῦντες καὶ εὐχαριστοῦντες αὐτῷ, οὗ ἀκούσατε καὶ τὸ ἑφεξῆς.

Θαῦμα ε'.

Γυνή τις πεντηκοντοῦτις, Ἀγγεροῦ καλουμένη, ἐκ συνοικίας ἧτις ὀνομάζεται Ἀπατσιανός, σύζυγος τοῦ Νικολάου, ῥάπτου, καὶ μήτηρ πολλῶν τέκνων, ἀρρένων καὶ θηλέων, διαβαίνουσα τὴν ὁδὸν τῆς ἐπάνω Ἁγίας Μαρίνης, προσεβλήθη εἰς τὴν μήνιγγα ὑπὸ λίθου, ριφθέντος παρά τινος παιδίου. Παραυτίκα δ' ἔπεσε χαμαί, καὶ τὸ αἷμα ἔρρεε ποταμηδὸν ἐκ τῆς πληγῆς· οἱ δὲ συνδρομόντες πρὸς βοήθειαν μετέφερον αὐτὴν ἡμιθανῆ εἰς τὴν παρακειμένην οἰκίαν τῆς ἐξαδέλφης αὐτῆς Περεζιᾶς, τῆς χασιγνώστου μαΐας, ἥτις, ὅπως ἐμποδίσῃ τὴν ῥοὴν τοῦ αἵματος, ἔβρεξεν ἴσκανες ἔλαιον, καὶ ἐπιθεῖσα τῇ πληγῇ, ἔδησεν αὐτὴν ὅσον σφιγκτὰ ἠδυνήθη. Ὁδὲ προσκληθεὶς ἰατρὸς ἅμα εἶδε τὴν ἀθλίαν κατάστασιν καὶ τοὺς σπασμοὺς τῶν μελῶν τοῦ σώματος τῆς γυναικὸς ταύτης,εἶπεν ὅτι οὐδεμίαν ἔχει ἐλπίδα σωτηρίας,καὶ διέταξεν ἵνα ἐκτελεσθῶσι τὰ θρησκευτικὰ χρέη,καὶ συγχρόνως ἵνα φλεβοτομήσωσιν αὐτὴν ὅσον τάχιον·ἐφλεβοτομήθη μὲν παραυτίκα,ἀλλ' οὐδὲν ἠσθάνθη, ἡ ταλαίπωρος γυνή,ἥτις μετὰ πολλὰς ὥρας συνελθοῦσα εἰς ἑαυτὴν καὶ ἐρωτηθεῖσα ἐὰν θέλῃ τὸν πνευματικόν, «ναί», ἀπεκρίθη, καὶ οὕτως ἐξομολογηθεῖσα ἐκοινώνησε τῶν ἀχράντων μυστηρίων. Ἐν δὲ τούτοις,μοναχή τις Ἀγαθονίκη τοὔνομα, ἔχουσα ἱερὸν ὀστάριον ἐκ τοῦ δακτύλου τοῦ Ἁγίου Μακαρίου, συνέδραμε καὶ δι' αὐτοῦ ἐσταύρωσε τὴν τὰ λοίσθια πνέουσαν γυναῖκα,καὶ ἐπιθεῖσα αὐτὸ ἐπὶ τῆς πληγῆς εἶπε· «τοῦτο τὸ ἱερὸν λείψανον ἐστὶ τοῦ Ἁγίου Μακαρίου Κορίνθου, ὅστις ἐπιτελεῖ πολλὰ θαύματα· ἐπικαλέσθητι λοιπὸν καὶ σὺ αὐτὸν μετὰ πίστεως, καὶ βεβαίως σε θεραπεύσει». Ἡ δὲ πάσχουσα, καίτοι οὐδὲν γνωρίζουσα περὶ τοῦ Ἁγίου, πεισθεῖσα ὅμως εἰς τοὺς λόγους τῆς μοναχῆς, ἤρξατο μετὰ θερμῶν δακρύων τὴν βοήθειαν αὐτοῦ ἐπικαλουμένη. Μετὰ τρεῖς ἡμέρας ἐκομίσθη εἰς τὴν οἰκίαν αὐτῆς καὶ μὴ δυναμένη ἵνα ἀναβῇ ἐπάνω ἐτέθη ἐπὶ κλίνης εἰς τὸ

κατώγεον. Κατ' αὐτὴν ἐκείνην τὴν νύκτα ἐνυπνιάσθη, ὅτι μοναχός τις παρουσιασθεὶς εἶπεν αὐτῇ· «μὴ φοβοῦ, ἐγὼ σὲ ἰατρεύω». ἔπειτα δ' ἔλυσε τὸ μανδήλιον, δι' οὗ ἡ πληγὴ ἦτο δεδεμένη, καὶ ἀποσύρας αὐτῆς τὴν ἴσκαν ἀνεχώρησεν. Ἡ γυνὴ ἐξυπνήσασα τότε μετ' ἐκπλήξεως ἐζήτησε φῶς, καὶ παραυτίκα ἅπαντες οἱ ἐν τῇ οἰκίᾳ συνδραμόντες εὗρον αὐτὴν καθημένην, καὶ τὴν ἴσκαν ὡς αἱματόφυρτον βῶλον ἐρριμμένην ἐπὶ τῆς σινδόνος, καὶ ἐβόησαν ὁμοφώνως τό, «Κύριε, ἐλέησον! Μέγας εἶ, Κύριε,καὶ θαυμαστὰ τὰ ἔργα σου!» Ἐπίσης ἐξεπλάγησαν καὶ τὸν Θεὸν ἐδόξασαν καὶ ἅπαντες οἱ γείτονες καὶ ὅσοι ἐλθόντες εἰς τὸν οἶκον τῆς πασχούσης ἐγένοντο μάρτυρες αὐτόπται τούτου τοῦ θαύματος· οὐδεὶς ὅμως ἐτόλμησεν ἵνα λύσῃ τὰ δέματα τῆς πληγῆς ἄνευ τῆς παρουσίας τοῦ ἰατροῦ, ὃν καὶ ἐζήτησαν μὲν ἀλλ' οὐχ εὗρον. Τὴν προσεχῆ λοιπὸν νύκτα ἐνεφανίσθη πάλιν τῇ γυναικὶ ταύτῃ ὁ Ἅγιος καὶ εἶπεν αὐτῇ· «διὰ τί ζητεῖς ἰατρόν, ἐν ᾧ ἐγὼ σοι ὑπεσχόμην ὅτι σὲ ἰατρεύω; Μὴ ἀπίστει, καὶ μὴ φοβοῦ». Ὅθεν, ἀφ' οὗ ἐξημέρωσε, καὶ ἡ γυνὴ διηγήθη ὅσα ἤκουσεν, ἀπεφσοίσθη ἡ λύσις τῶν δεμάτων, καὶ τούτων λυθέντων, ὢ τοῦ θαύματος! οὔτε τραῦμα, οὔτε πληγὴ ἐφαίνετο, ἀλλὰ μικρόν τι σημεῖον. Ἡ δὲ γυνὴ ἐντελῶς ἰαθεῖσα, ἀνέλαβε τὰς δυνάμεις αὐτῆς εὐγνωμόνως κηρύττουσα τὴν διὰ τῆς θείας χάριτος παράδοξον ἑαυτῆς θεραπείαν καὶ ἴασιν ὑπὸ τοῦ Ἁγίου Μακαρίου ὅστις ἐτέλεσε καὶ τὸ ἑπόμενον.

Θαῦμα στ'.

Ἐν τῇ ἐνορίᾳ τῆς ἐκκλησίας τοῦ Ἁγίου Εὐστρατίου, ἥτις ἀνήκει τῇ Νέᾳ Μονῇ, κατοικεῖ βαφεύς τις ὀνομαζόμενος Μπαστιᾶς. Τούτου τὸν υἱόν, Νικόλαον τοὔνομα καὶ μαθητεύοντα ἐν τῇ Δημοσίᾳ Σχολῇ τῆς Χίου ἔδειρεν ὁ διδάσκαλος αὐτοῦ ὡς ἀτακτήσαντα. Ἐπειδὴ δέ, ὡς φαίνεται, τὸ κτύπημα ἐγένετο σφοδρὸν καὶ ἐπί τινος νεύρου, ἐπέφερεν εἰς τὸ παιδίον πόνους δριμυτάτους καὶ τοιαύτην κυρτότητα, ὥστε οὐκέτι ἠδύνατο βαδίζειν. Ὅθεν ὁ πατὴρ αὐτοῦ ἀγανακτήσας καὶ παροργισθεὶς ἠπείλει τὸν διδάσκαλον· ἀλλὰ καλυόμενος ὑπὸ τῶν ἐπιτρόπων τῆς Σχολῆς ἔφερε τὸ τέκνον αὐτοῦ πρὸς τὸν Ἀρχιερέα τῆς Χίου, ἐπειτα πρὸς τοὺς Δημογέροντας, οἵτινες ἐκινήθησαν εἰς δάκρυα, ἰδόντες τοιοῦτον ἐλεεινὸν θέαμα, καὶ ἀπῆτει, ἵνα καθυποβληθῇ ὁ διδάσκαλος τοὐλάχιστον εἰς τὴν πληρωμὴν τῶν ἰατρικῶν καὶ τῶν ἐπισκέψεων τοῦ ἰατροῦ, Ἀλλ' ἐπειδὴ τὰ ἔξοδα ταῦτα ἐγένοντο ὅλα εἰς μάτην, ὁ πατὴρ ἐφόρτωσε τὸ ταλαίπωρον τέκνον ἐπὶ κτήνους, καὶ ἔφερεν αὐτὸ μετὰ τῆς μητρὸς εἰς τὸν τάφον τοῦ Ἁγίου. Προσκυνήσαντες δὲ καὶ μετ' εὐλαβείας καὶ πίστεως προσευχηθέντες ἐπανῆλθον οἴκαδε. Τὴν ἐπιοῦσαν νύκτα τὸ παιδίον ἐνυπνιάσθη ὅτι μοναχός τις ἄνωθεν αὐτοῦ ἱστάμενος ἔθηκε τὴν χεῖρα ἐπὶ τὴν κυρτωθεῖσαν καὶ πάσχουσαν αὐτοῦ ῥάχιν, καὶ εἶπε· «μὴ κλαῖε, ἐγώ σε ἰατρεύω». Τὴν ἐπαύριον ἠγέρθη τὸ παιδίον, καὶ ὢ τοῦ θαύματος! περιεπάτει οὐδένα πόνον αἰσθανόμενον. Ἐπανελθὼν δὲ εἰς τὴν Σχολὴν ἠρωτήσαμεν καὶ ἡμεῖς αὐτὸ περὶ τοῦ τρόπου τῆς ἰάσεως, καὶ διεβεβαίωσεν ἡμῖν τὸ γεγονός, ῥητῶς καὶ λεπτομερῶς, δοξάζον τὸν Θεὸν καὶ τὸν θαυματουργὸν Ἅγιον Μακάριον. ὅστις ἐτέλεσε καὶ τὸ ἑξῆς.

Θαῦμα ζ'.

Γυνή τις χήρα Ζενοῦ (Ζηνοβία) καλουμένη καὶ κατοικοῦσα εἰς τὴν ἐνορίαν τῆς ἐπάνω Ἁγ. Μαρίνης, ἐθρηνολόγει λυπουμένη διὰ τὸν υἱὸν αὐτῆς, περὶ οὗ ἔμαθεν ὅτι ἀναχωρῶν ἐκ Κων)πόλεως ἀπωλέσθη. Ἐκ δὲ τῆς ὑπερβολικῆς λύπης ἐγεννήθη κακὸν καὶ ὀλέθριον ἀπόστημα ὑπὸ τὸν πόδα αὐτῆς, ὅπερ προσπαθήσασα ἵνα θεραπεύσῃ διὰ γυναικείων ἰατρικῶν κατέστησε χειρότερον, καὶ οὔτε οἱ ἰατροὶ ἠδύναντο νὰ ἰατρεύσωσιν. Ἀπελπισθεῖσα λοιπὸν καὶ μάλιστα ἀφ' οὗ ὁ χειροῦργος εἶπεν εἰς αὐτήν, ὅτι πρέπει νὰ κοπῇ ὁ ποῦς, ἐὰν προτιμᾷ τὴν ζωήν, καὶ φρίξασα εἰς τὸ ἄκουσμα τοῦτο, ἀπεφάσισεν ἵνα καταφύγῃ πρὸς τὸν ἀκίνδυνον καὶ ἀλάνθαστον ἰατρὸν Ἅγιον Μακάριον. Ἀπόδειξις δὲ τῆς πρὸς αὐτὸν εὐλαβείας καὶ τῆς πίστεως τῆς γυναικὸς ταύτης ὑπάρχει, ὅτι ἐπῆγεν ἕως ἐκεῖ πεζῇ, πατοῦσα τὸν ἕνα τῶν ποδῶν αὐτῆς διὰ τῶν δακτύλων καὶ τὸν ἄλλον διὰ τῆς πτέρνας, καὶ ἐκ διαλειμμάτων καθ' ὁδὸν καθιζουσα καὶ ἀναπαυομένη ὀλίγον ἀπὸ πρωΐας μέχρις ἑσπέρας, ὡς ἡ ἰδία παρ' ἡμῶν ἐρωτηθεῖσα ὡμολόγησε τοῦτο. Μετὰ τοσούτων λοιπὸν κόπων καὶ μόχθων φθάσασα ἔμεινεν ἐκεῖ τρία ἡμερονύκτια· καίτοι δ' ἐπανῆλθεν εἰς τὴν οἰκίαν αὐτῆς ἄπρακτος, μιμηθεῖσα ὅμως τὴν εὐαγγελικὴν ἐκείνην χήραν, ἥτις οὐκ ἐπαύσατο ἐνοχλοῦσα τὸν κριτήν, ἕως ὅτου ἐδίκασε τὴν ὑπόθεσιν αὐτῆς, οὐδόλως ἐψυχράνθη, οὐδὲ ἀπηλπίσθη, ἀλλ' ἔτι μᾶλλον ηὔξησε τὴν πίστιν αὐτῆς καὶ τὴν ἐλπίδα, μετὰ θερμῶν δακρύων παρακαλοῦσα, καὶ διὰ νηστειῶν καὶ ἀγρυπνιῶν ἐκ-

ΙΕΡΟΣ ΒΙΒΛΙΟΘΗΚΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ

βιαζομένη, τὴν τοῦ Θεοῦ ἀγαθότητα· διότι οὕτως ἀπαιτεῖ ὁ δικαιοκρίτης πρὸς ἐκπλήρωσιν τῶν αἰτήσεων ἡμῶν· πρὸς δὲ τοὺς λέγοντας μετ' ἀδιαφορίας καὶ ἀπιστίας ὅτι, ἐνῶ παρακαλοῦσι τὸν Θεὸν ἢ Ἁγιόν τινα ἐξαιτούμενοι χάριν, βοήθειαν ἢ ἀγαθόν τι, οὐδόλως εἰσακούονται, ἀποκρινόμεθα, ὅτι, αἴτιον τούτου ἐστὶν ἡ ἀπιστία αὐτῶν, καὶ ὁ διασταγμὸς περὶ τῆς ἐπιτεύξεως τῶν αἰτουμένων. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ἡ ἀγαθὴ αὕτη γυνὴ οὐκ ἐπαύετο ἐκβιαζομένη τὴν τοῦ Θεοῦ ἀγαθότητα διὰ τῆς εὐπαρρησιάστου μεσιτείας τοῦ πιστοῦ αὐτοῦ θεράποντος, τοῦ θείου καὶ ἱεροῦ Μακαρίου· ὥστε, ἀφ' οὗ ἐπὶ πολλὰς ἡμέρας ἐνήστευσε καὶ προσηυχήθη, νύκτα τινὰ ἐνυπνιάσθη ὅτι μοναχός τις γέρων ἄνωθεν αὐτῆς ἱστάμενος εἶπε· θάρσει, ἦλθον ἵνα σε ἰατρεύσω». «Τίς εἶ; ἠρώτησεν ἡ γυνή, καὶ πόθεν; Ἀπὸ τὰ μέρη ταῦτα.» ἀπεκρίνατο ὁ Ἅγιος δείξας τὸ μέρος τοῦ Ἁγίου Πέτρου, καὶ ταὐτοχρόνως ἤρξατο καθαρίζων τὴν πληγὴν τοῦ ποδὸς αὐτῆς, ἥτις αἰσθανθεῖσα σφοδρὸν πόνον ἐφώναξεν· ὁ δὲ Ἅγιος εἶπεν αὐτῇ «σιώπα, ἰδού, σὲ ἰάτρευσα, καὶ προσέτι σοὶ λέγω, ὅτι ὁ μὲν ἀπολωλὼς νομιζόμενος υἱός σου ζῇ καὶ εὑρίσκεται ἐν Κων)πόλει, παρὰ δὲ τοῦ ἑτέρου τοῦ ἐν τῇ Ἀνατολῇ διατρίβοντος μέλλεις ἵνα λάβῃς αὔριον ἐπιστολὴν καὶ δεκαπέντε γρόσια καὶ ἑβδομήκοντα ὀκάδας ἀλεύρου». Ταῦτα δὲ ἀκούσασα ἡ δεινοπαθοῦσα ἐξύπνησεν ἔντρομος, καὶ διατάσσει τὴν κοιμωμένην πλησίον αὐτῆς θυγατέρα, ἵνα φέρῃ φῶς βλέπουσι δὲ τὴν περὶ τὴν πληγὴν τοῦ ποδὸς ἐπιδερμίδα ἐρριμένην, καὶ αὐτὴν κεκλεισμένην, οὕτως ὥστε μόλις ἐφαίνετο μικρόν τι σημεῖον. Ὢ ἐξαισίου, τῷ ὄντι, τερατουργήματος! Τὴν ἐπιοῦσαν συνέδραμον οἱ γείτονες καὶ ἄλλοι πολλοὶ Χριστιανοί, οἵτινες ἐξεπλάγησαν ἰδόντες τὸ τῆς ἀπηλπισμένης, ταύτης γυναικὸς ὑπὸ τοῦ ἁγίου Μακαρίου τῇ θείᾳ εὐδοκίᾳ καὶ χάριτι ἐπιτελεσθὲν θαῦμα, καὶ προσέτι, διὰ τὴν αὐθημερὸν παραλαβὴν τῆς παρὰ τοῦ υἱοῦ αὐτῆς ἐπιστολῆς, τῶν τε χρημάτων καὶ τοῦ ἀλεύρου· αὕτη δὲ ἀπῄρχετο εἰς τὸν Ἅγιον Πέτρον ἐπὶ τεσσαράκοντα κατὰ συνέχειαν ἡμέρας, καὶ μέχρι τῆς σήμερον ἀπέρχεται ἐκ διαλειμμάτων ἐκεῖσε, ἀποδιδοῦσα τῷ Ἁγίῳ Μακαρίῳ εὐγνωμόνως τὰς διὰ τὴν θεραπείαν καὶ ἴασιν αὐτῆς εὐχαριστίας. Ταῦτα δὲ πάντα ἔστωσαν τοῖς ἀπιστοῦσιν ἐνεργεῖς ἀποδείξεις τῶν ἀληθινῶν τοῦ Ἁγίου θαυμάτων, οἷς προσθετέον καὶ τὸ ἑπόμενον.

Θαῦμα η'.

Ἡ ὑγιάτερ τοῦ ἰατροῦ Ἀλμανάχου, Λούλα, ἧς ὁ ἀνὴρ ὀνομάζεται Ἀντώνιος, πάσχουσα ἐπὶ τέσσαρα ἔτη ἐκ τῶν καλουμένων μητρικῶν τῶν γυναικῶν, κατήντησεν εἰς ὁλοσώματον παραλυσίαν, μήτε τὰς χεῖρας αὐτῆς μήτε τοὺς πόδας δυναμένη ἵνα κινήσῃ· ὑπηρετεῖτο δὲ εἰς τὰς ἀνάγκας αὐτῆς ὡς βρέφος ὑπὸ τῆς θεραπαίνης. Ἅπαντες οἱ ἐν Χίῳ ἰατροὶ προσεπάθησαν ἵνα θεραπεύσωσιν αὐτὴν ἢ ὁπωσοῦν ἀνακουφίσωσιν, ἀλλ' εἰς μάτην. Μετὰ ἐνιαύσιον δὲ ἰατρικὴν ἐπίσκεψιν βλέπουσα, ὅτι πᾶσα ἀνθρωπίνη ἐνέργεια ὑπῆρχεν ἀνωφελής, ἀπεφάσισεν ἵνα καταφύγῃ πρὸς τὸν θαυματουργὸν Ἅγιον Μακάριον. Φερθεῖσα λοιπὸν ἐτέθη ἐπὶ τοῦ χαριτοβρύτου τάφου τοῦ ἁλανθάστου τούτου ἰατροῦ, ἐνθα ὁ ἱερατεύων ἔψαλλεν ὑπὲρ αὐτῆς παράκλησιν, καὶ ἐσταύρωσεν αὐτὴν διὰ τῶν ἁγίων λειψάνων. Μεταφερθεῖσα δὲ οἴκαδε ἠθέλησε τὴν ἐπιοῦσαν ἵνα ἐγερθῇ καὶ περιπατήσῃ, καὶ ὦ τοῦ θαύματος! ἡ χθὲς καὶ πρώην παράλυτος βοηθουμένη ὑπὸ ἀνδρὸς αὐτῆς περιεπάτησεν ὀλίγον ἐντὸς τῆς οἰκίας, καὶ ἔπειτα ἐκάθισεν· ἡ δὲ ἀδελφὴ αὐτῆς, ἥτις εἰσῆρχετο ἵνα λάβῃ φόρεμά τι, προφθάσασα καὶ ἰδοῦσα τὸ ἀπροσδόκητον τοῦτο ἐξεπλάγη, καὶ ὑπὸ χαρᾶς θρηνοῦσα μεγαλοφώνως ἔλεγε. «Δόξα σοι ὁ Θεός»! καὶ ἄλλα παρόμοια. Τοῦτο δὲ ἀκούσαντες καὶ ἡμεῖς, ἀπήλθομεν πρὸς τὴν ἰαθεῖσαν, ὅπως αὐτοψεὶ πληροφορηθῶμεν καὶ βεβαιωθῶμεν· εὑρόντες δὲ αὐτὴν καθημένην, ἀλλ' οὔπω ἐντελῶς ἀναλαβοῦσαν, εἴπομεν: «ὀλίγην πίστιν εἶχες, ὡς φαίνεται, καὶ ὀλίγην ἔλαβες τὴν ὑγείαν· ἄπελθε λοιπὸν ἐκ νέου μετὰ τελείας πίστεως, καὶ λήψῃ βεβαίως τελείαν καὶ τὴν θεραπείαν σου»· καὶ οὕτως ἐγένετο· διότι πεισθεῖσα εἰς τοὺς λόγους ἡμῶν, ἐθεραπεύθη ἐντελῶς διὰ τῆς τελείας πίστεως. Μαθόντες δὲ τοῦτο ἐπεσκέφθημεν αὐτὴν ἐκ δευτέρου καὶ εὕρομεν αὐτὴν πληρέστατα ὑγιαίνουσαν καὶ βαδίζουσαν. Καὶ ἀληθῶς ἐξεπλάγημεν, ὡς καὶ ὁ ἱερεὺς τοῦ Ἁγίου Πέτρου, καὶ τὸν παντοδύναμον Θεὸν συνεδοξάσαμεν. Γεγράφαμεν δὲ τὸ θαῦμα τοῦτο, κατόπιν τοῦ τῆς ποδαλγοῦς, πρὸς καταισχύνην ἀπίστων τινῶν καὶ φλυάρων, προσιθέντες καὶ τὸ ἑφεξῆς.

Θαῦμα θ'.

Μαροῦκα, ἡ σύζυγος τοῦ Ματθαίου Μελερέ, κατοικοῦντος εἰς τὴν ἐνορίαν τῆς μητροπολιτικῆς

ἐκκλησίας τοῦ Ἁγίου Νικολάου, εἶχε μεταξὺ τοῦ ὀφθαλμοῦ καὶ τῆς ρινὸς σύριγγα (φίστουλα) ὑπὲρ τὰ εἰκοσιπέντε ἔτη. Μὴ δυνηθέντων δὲ τῶν ἰατρῶν κατ' ἀρχὰς ἵνα θεραπεύσωσι τὴν πληγήν, ἡ γυνὴ ὑπέφερεν αὐτήν, ἕως οὗ κατὰ τὸν Δεκέμβριον μῆνα ἠγρίευσε καθ' ὑπερβολὴν καὶ ἐφλογίσθη τοσοῦτον· ὥστε ὅλον τὸ πρόσωπον αὐτῆς ἐπρίσθη, καὶ ἐφαίνετο, ὅτε ἔμελλε νὰ ἐνχυθῇ ὁ ὀφθαλμὸς αὐτῆς, οὐδεμίαν ἀνάπαυσιν ἐχούσης ἐκ τῶν σφοδρῶν καὶ διαλείπτων πόνων. Ἐπειδὴ δὲ ὁ σύζυγος αὐτῆς εἶπεν, ὅτι πρέπει ἵνα προσκληθῇ ἰατρός, ἐκείνη ἀπεκρίνατο· «ἐγὼ οὐδένα ἄλλον ἰατρὸν θέλω, εἰμὴ τὸν ἅγιον Μακάριον· αὐτὸς μόνος δύναται ἵνα μὲ ἰατρεύσῃ». Τὸ ὄνομα δὲ τοῦτο ἀκούσας ὁ σύζυγος αὐτῆς, ἐνεθυμήθη ὅτι ἐν Σμύρνῃ ὤν, ἐσχετίσθη μετὰ τοῦ τρισμάκαρος τοιουτοτρόπως, καθὼς ὁ ἴδιος πρὸς ἡμᾶς διηγήσατο· ἔμαθε δηλαδὴ ὅτι ὁ ἐν τῇ εἰρημένῃ πόλει διατρίβων τότε ἅγιος Κορίνθου εἶχε χρείαν ἑνὸς καβαδίου ἢ ἀντεριοῦ· ὅθεν εὐλαβεῖς πρὸς αὐτὸν φερόμενος παρήγγειλεν ἵνα κοπῇ καὶ ραφθῇ ἓν κατάλληλον, ὅπερ ἐδωρήσατο τῷ ἁγίῳ Ἱεράρχῃ, ὅστις ἐδέξατο αὐτὸ εὐγνωμόνως· ταύτην λοιπὸν τὴν χάριν ἐνθυμηθεὶς, ἐξῃτεῖτο πρὸς ἀνταμοιβὴν τὴν θεραπείαν τῆς γυναικὸς αὐτοῦ παρὰ τοῦ Ἁγίου μετὰ πλείονος θάρρους, καὶ εἰσηκούσθη ἡ ἐξαίτησις αὐτοῦ παρὰ τοῦ εὐγνώμονος φιλανθρώπου καὶ θείου τούτου ἰατροῦ. Μετὰ παρακλήσεων δέ, τὸ περὶ οὗ ὁ λόγος ἀνδρόγυνον ἐφρόντισεν ἵνα ζητήσῃ παρά τινος φίλου ὅπερ εἶχε τεμάχιον ἐκ τῶν φορεμάτων τοῦ ἁγίου. Καθὼς δὲ ἡ ἰαθεῖσα ὁμολογεῖ καὶ μαρτυρεῖ, ἐν ᾧ ἡ φέρουσα αὐτὸ θεράπαινα ἀνέβαινα τὴν κλίμακα τῆς οἰκίας, οἱ πόνοι τῆς πληγῆς ἐπαύσαντο αἰφνιδίως, καὶ ἅμα τεθέντος ἐπ' αὐτῆς τοῦ τιμίου ῥάκους, ὦ τῆς ταχείας ἀντιλήψεως τοῦ Ἁγίου! δυσώδης ὕλη ἤρξατο ἐκρέουσα ἔκ τε τῆς ρινὸς καὶ τοῦ στόματος αὐτῆς, ὡς ἐκ δύο ὀχετῶν, κατὰ συνέχειαν τρεῖς ἡμέρας, καὶ οὕτως ἀπηλλάχθη τῶν ἐκ τῆς πληγῆς πόνων, ἐντελῶς ἰαθεῖσα. Κατὰ τὴν μαρτυρίαν δὲ τοῦ πνευματικοῦ αὐτῆς πατρὸς αἰδεσίμου κὺρ Ἠλία, ἐφημερίου τῆς ἐκκλησίας τοῦ Ἁγίου Συμεών, οὐδὲ τὸ παραμικρὸν σημεῖον τῆς δεινῆς ἐκείνης σύριγγος ἔμεινεν εἰς αὐτήν, ἣν ἔτι ζῶσαν ἠδύναντο ἵνα ἴδωσιν ὀφθαλμοφανῶς καὶ βεβαιωθῶσι περὶ τῆς ἀληθείας ἐκεῖνοι, οἷς ὁ Θεὸς ἔδωκε κατὰ τὸν προφήτην, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν. Προσθετέον δὲ καὶ τὸ ἑπόμενον.

Θαῦμα ι'.

Ὁ αἰδέσιμος καὶ ἐνάρετος ἱερεὺς κὺρ Παρασκευᾶς, κρίμασιν οἷς οἶδε Κύριος, ἐγέννησεν υἱὸν χωλὸν κατὰ τοὺς πόδας ἐκ κοιλίας μητρὸς αὐτοῦ, ὅστις ὀνομάζεται Γεώργιος. Γενόμενος δὲ πενταετὴς ἤδη καὶ ἑξαετής, οὐδόλως ἠδύνατο ἵνα περιπατήσῃ, ἀλλὰ διὰ τῶν χειρῶν καὶ τῶν γονάτων ἕρπων, ἔσυρε κατόπιν αὐτοῦ τοὺς πόδας ὡς ξένους, ταλαιπωρούμενος οὕτω καὶ ἐλεεινὸν θέαμα ὢν εἰς τοὺς ὁρῶντας. Οἱ δυστυχεῖς αὐτοῦ γονεῖς ἔπραξαν ὑπὲρ αὐτοῦ ὅ,τι ἠδυνήθησαν, ἀλλ' εἰς μάτην. Ὅθεν ἀπελπισθέντες πάσης ἀνθρωπίνης βοηθείας, ἀπεφάσισαν ἵνα καταφύγωσι καὶ αὐτοὶ πρὸς τὸν θαυμάσιον καὶ ἄμισθον ἰατρὸν Ἅγιον Μακάριον, ἀλλ' ἐπειδὴ ἦσαν εἰς ἄκρον ἐνδεεῖς, καὶ οὐκ ἠδύναντο ἵνα φέρωσι τὸν πάσχοντα υἱὸν αὐτῶν εἰς τὸν Ἅγιον Πέτρον, ἐδέοντο ἐνθέρμως καὶ ἐπεκαλοῦντο τὴν βοήθειαν καὶ θαυματουργικὴν χάριν τοῦ χριστομιμήτου καὶ θείου ἰατροῦ, αὐτοί τε καὶ τὸ ταλαίπωρον τέκνον, ὅπερ ἀκαταπαύστως δεόμενον ἔλεγεν· «Ἁγιέ μου Μακάριε, κάμε καὶ ἐμὲ παλληκάρι!». Νύκτα δὲ τινά, ἐν ᾧ ἐκοιμᾶτο, ἐξυπνήσας αἴφνης ἐφώναζεν ἔντρομος, «μαμούνας,—μαμούνας»· εὐθὺς δὲ μετ' ὀλίγον ἀνέκραξεν· «ὄχι, ἀλλ' εἶναι ὁ Ἅγιος Μακάριος», ἐν ᾧ οὔτε εἶδεν, οὔτ' ἐγνώρισεν αὐτόν. Αὐτὰ ταῦτα συνέβησαν καὶ τὴν δευτέραν νύκτα καὶ τὴν τρίτην, μεθ' ἣν, ἡμέρας γενομένης, ἐφάνη αὐτῷ δύναμίς τις ἐπελθοῦσα, καὶ οὕτως ἐγερθεὶς περιεπάτησεν ὀλίγον ἐντὸς τῆς οἰκίας, καὶ τὴν ἐπιοῦσαν πλειότερον, καὶ τελευταῖον ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά, καὶ περιεπάτει κατὰ τὸ γεγραμμένον, καὶ ἔτρεχεν ὡς τὰ ἄλλα παιδία χαίρων καὶ ἀναπέμπων μετὰ τῶν γονέων αὐτοῦ εὐχαριστίας τῷ πανοικτίρμονι Θεῷ καὶ τῷ θεράποντι αὐτοῦ Ἁγίῳ Μακαρίῳ, τῷ ἐπιτελέσαντι καὶ τὸ ἑφεξῆς.

Θαῦμα ια'.

Ὁ ἐν τῷ Παλαιοκάστρῳ (τῆς πόλεως Χίου) κατοικῶν Κωνσταντῖνος Μπίλος, οὗ ἡ σύζυγος ὀνομάζεται Μαρία, ἐγέννησε κατόπιν ἄλλων τέκνων καὶ ἕτερον Πέτρον τοὔνομα, οὗτινος ὁ εἷς τῶν ποδῶν ἦτο, ὡς οἱ τοῦ εἰρημένου ἱεροπαιδος Γεωργίου, ἀναίσθητος, μελανὸς καὶ ξένος, καὶ τὸ παραδοξότερον μίαν σπιθαμὴν μακρότερος τοῦ ἑτέρου. Ἐσύρετο λοιπὸν καὶ τὸ παιδίον τοῦτο ὡς κτῆνος ἐπὶ τῶν γονάτων καὶ τῶν χειρῶν. Ἡ δὲ μήτηρ αὐτοῦ καὶ ἡ

μάμμη νομίζουσαι ἐκ δεισιδαιμονίας ὅτι τὸ ἐλάττωμα τοῦτο ἦτο σημεῖον τοῦ Ἁγίου Συμεών, ὡς πολλαὶ ἔγκυοι γυναῖκες φρονοῦσιν ὅτι συμβαίνει εἰς τὰ τέκνα ἐκείνων, αἵτινες ἐργάζονται τὴν ἡμέραν τῆς ἑορτῆς αὐτοῦ, ἀφ' οὗ κατέφυγον πρὸς τὸν ἐν τῷ ναῷ τοῦ Ἁγίου τούτου ἱερατεύοντα, ἐστράφησαν ἔπειτα πρὸς τοὺς ἰατρούς, καὶ ἰδίως πρὸς τὸν περίφημον Βουνούσην, τὸν ἐμπειρικὸν καὶ ἐπιτήδειον ὡς πρὸς τὰ στρεβλώματα καὶ συντρίμματα οὗτος δὲ εἶπε πρὸς τοὺς προτιμήσαντας αὐτὸν γονεῖς τοῦ παιδίου· τὴν οἰκίαν ὑμῶν πλήρη χρυσίου ἂν ἔχητε, καὶ ἐξοδεύσητε αὐτό, ἀδύνατον νὰ ἰατρευθῇ τὸ παιδίον, καὶ ἀπαλλαχθῇ τοῦ πάθους τούτου. Ὅθεν ἀπεφάσισαν ἵνα κατφύγωσι καὶ αὐτοὶ πρὸς τὸν θεῖον ἰατρὸν Ἅγιον Μακάριον, καὶ οὕτω λαβοῦσα τὸ παιδίον ἐπὶ τῶν ὤμων ἡ μάμμη αὐτοῦ ἀπῆλθεν εἰς τὸν ναὸν τοῦ Ἁγίου Πέτρου, ἔνθα ὁ ἱερεὺς ἐπότισεν αὐτὸ καὶ ἐράντισε διὰ τοῦ ὕδατος τοῦ τελεσθέντος ἁγιασμοῦ, ἐσταύρωσε διὰ τῶν ἁγίων λειψάνων καὶ ἐπηύξατο, Ἅμα δ' ἐπανῆλθεν οἴκαδε ἡ μάμμη καὶ ἀπέθηκεν αὐτό, ἤρξατο αὐθημερὸν περιπατοῦν καὶ ψελλίζον, «πελπατῶ, πελπατῶ». Εἰδοποιηθεὶς δὲ ὁ πατὴρ αὐτοῦ ἔδραμεν εἰς τὴν οἰκίαν αὐτοῦ, ἔνθα ἦσαν ἤδη συνηθροισμένοι πολλοὶ γείτονες, καὶ ἰδὼν τὸ ἐξαίσιον τοῦτο θαῦμα ἐδόξασε τὸν Θεὸν καὶ τὸν Ἅγιον. Ἀλλὰ καὶ ἕτερον θαῦμα ἐτελέσθη ἐπὶ τοῦ ἰδίου τούτου παιδίου. Καθ' ὃν καιρὸν αὐτὸ ἐθεραπεύθη ἦτο θέρος· περὶ δὲ τὰ τέλη τοῦ προσεχοῦς φθινοπώρου ὁ αὐτὸς ποῦς ἐγεμίσθη πληγῶν, ἐξ ὧν ἐξέῤῥεον δυσωδέσταται ὕλαι. Λυπούμενοι δὲ οἱ γονεῖς καὶ ἀμηχανοῦντες κατέφυγον ἐκ νέου πρὸς τὸν Ἅγιον Μακάριον· ὅθεν ἡ μάμμη τοῦ παιδίου λαβοῦσα πάλιν αὐτὸ ἐπ' ὤμων ἔφερεν εἰς τὸν τάφον τοῦ Ἁγίου, καὶ τρίψασα τὸν πεπληγωμένον πόδα διὰ τοῦ ἐκεῖσε χώματος ἐπανῆλθεν οἴκαδε. Παραυτίκα δὲ ὅλαι αἱ πληγαὶ ἐκλείσθησαν, καὶ ἰάθη ἐντελῶς τὸ παιδίον πρὸς δόξαν Θεοῦ, τοῦ δοξάσαντος τὸν ἱερὸν καὶ θεῖον αὐτοῦ θεράποντα Ἅγιον Μακάριον, ὅστις ἐπετέλεσε καὶ τὸ ἑπόμενον καὶ τελευταῖον.

Θαῦμα ιϛ'.

Εἰς Ἀϊδίνι (Τράλλεις) πόλιν τῆς Μικρασίας, κατοικοῦσα γυνή τις χήρα ἐκ Μυτιλήνης, καὶ ἔχουσα θυγατέρα δεκατετραετῆ, ὑπάνδρευσεν αὐτὴν μετά τινος νεανίου 22 ἐτῶν ἡλικίας, ὅπως ἔχῃ ἀνδρὸς βοήθειαν. Μετὰ ἓν ἔτος ἡ κόρη ἀσθενήσασα οὐδεμίαν θεραπείαν ἔλαβε παρὰ τῶν ἐκεῖσε ἰατρῶν, πρὸς οὓς ὁ δυστυχὴς αὐτῆς σύζυγος ἐπλήρωσεν οὐκ ὀλίγα χρήματα διὰ ἐπισκέψεις καὶ ἰατρικὰ ἀνωφελῶς καὶ ματαίως, διότι τὸ πάθος αὐτῆς ἦτο ἀνίατον, καὶ ἐβασάνιζεν αὐτὴν καθ' ἡμέραν ἐπὶ ὀκτὼ ὥρας, πρισκομένης καὶ εἰς ἄκρον ἐξογγουμένης τῆς γαστρὸς αὐτῆς καὶ πάλιν καταπιπτούσης. Τέλος δὲ πάντων ἡ μήτηρ αὐτῆς μαθοῦσα τὰ ἐν Χίῳ τελεσθέντα θαύματα ὑπὸ τοῦ Ἁγίου Μακαρίου, ἦλθεν ἐνταῦθα μετά τε τῆς θυγατρὸς καὶ τοῦ γαμβροῦ αὐτῆς, ὅστις ὅμως ὑπέστρεψεν εἰς Ἀϊδίνι, ἕνεκα ὑποθέσεων. Αὗται δὲ ὁδηγηθεῖσαι εἰς τὸν τάφον τοῦ Ἁγίου προσηύξαντο καὶ ἱκέτευσαν αὐτὸν μετὰ πίστεως ἀληθοῦς καὶ ἀδιστάκτου. Ἀκολούθως δὲ ἡ μήτηρ ἔτριψε τὴν πάσχουσαν θυγατέρα διὰ τοῦ ἐκεῖσε χώματος, καὶ πάραυτα ἀνεδείχθη ἡ ἀξιοθαύματος θεία χάρις, ἧς ἠξιώθη ὁ ἱερὸς πατὴρ ἡμῶν Ἅγιος Μακάριος· διότι ἀφ' οὗ κατέβησαν εἰς τὴν πόλιν, ἡ μήτηρ παρετήρησεν ὅτι ἔφθασεν ἡ συνήθης ὥρα τῆς ἐνάρξεως τοῦ πάθους τῆς θυγατρὸς αὐτῆς, ὅπερ μόλις καὶ ἐλαφρῶς πως αὐτὴν προσέβαλε, τὴν δὲ ἐπιοῦσαν οὐδόλως. Ἔγραψε δὲ τοῦτο πρὸς τὸν γαμβρὸν αὐτῆς, καὶ διατρίψασα ἐνταῦθα ἡμέρας τινὰς ἀπήρχετο καθ' ἑκάστην μετὰ τῆς ἰαθείσης κόρης εἰς τὸν τάφον τοῦ ἁγίου Μακαρίου, ἀποδιδοῦσα αὐτῷ τὰς προσηκούσας ἐγκαρδίους καὶ εἰλικρινεῖς εὐχαριστίας, καὶ τὸν Παντοδύναμον Θεὸν δοξάζουσα. Ταῦτα δὲ πάντα ἠκούσαμεν ἐκ τοῦ στόματος αὐτῆς τῆς ἰδίας προσκαλεσάμενοι αὐτὴν καὶ ἀκριβῶς ἐξετάσαντες.

Οὐ μόνον δὲ τὰ εἰρημένα θαύματα ἐποίησεν ὁ σήμερον εὐλαβῶς ἑορταζόμενος ἱερὸς ἡμῶν πατὴρ Ἅγιος Μακάριος, ἀλλὰ καὶ ἕτερα τοιαῦτα καὶ παραπλήσια καθ' ἑκάστην ποιεῖ πρὸς τοὺς ἐν πίστει αὐτὸν ἐπικαλουμένους· διότι ἡ αὐτὴ θεία χάρις, ἥτις ἐδωρήθη τοῖς ἀρχαίοις ἁγίοις, δεδώρηται καὶ τοῖς νεωτέροις, καὶ ἡ θαυματουργικὴ δύναμις ἀνταμοιβὴ τῆς ἀρετῆς αὐτῶν καὶ ὁσιότητος, ἣν ἐναργῶς ἐν πολλοῖς ἐνδείκνυσιν ὁ ἐκ γενετῆς μέχρι τοῦ νῦν καὶ ἀεὶ εὐσπλαγχνος καὶ οἰκτίρμων Ἅγιος Μακάριος, ὁ ἐπαξίως μακαριζόμενος καὶ προσηκόντως δοξαζόμενος. Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΜΗΝ ΜΑΪΟΣ

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

ΥΠΟ ΤΟΥ ΑΕΙΜΝΗΣΤΟΥ ΠΡΩΤΟΣΥΓΚΕΛΛΟΥ ΚΥΡΙΛΛΟΥ ΤΡΕΧΑΚΗ ΤΟΥ ΝΕΑΜΟΝΗΣΙΟΥ

ΚΑΙ ΒΙΟΣ ΑΥΤΟΥ

ΥΠΟ ΤΗΣ Κ. ΑΙΜΙΛΙΑΣ Κ. ΣΑΡΡΟΥ (ΤΟ ΓΕΝΟΣ Γ. ΖΟΛΩΤΑ)

Τῇ 1ῃ Μαΐου ἑορτάζομεν τὴν μνήμην τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Νικηφόρου τοῦ Χίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογοῦμεν τὴν α'. στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ τοῦ ὁσίου Νικηφόρου, ἰδιόμελα ἑξ.

Ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος.

Χαίροις, Νικηφόρε ὅσιε, τὸν ζωηφόρον σταυρὸν ἐπ' ὤμων ἀράμενος, ἐν τῷ ὕψει ἔφθασας, τῆς ὀρθῆς τελειότητος· φωτὶ τῷ θείῳ καταφλεγόμενος, τῆς τρισηλίου δόξης πληρούμενος· ὄντως ἠξίωσαι, οὐρανίου χάριτος παρὰ Χριστοῦ, τοῦ πᾶσι παρέχοντος τὸ μέγα ἔλεος.

Χαίροις, Νικηφόρε πάντιμε, ὃς ὑψιβάμῳ νοΐ ἀπὸ παίδων ἐπόθησας, κόσμον ἀπαρνήσασθαι, καὶ διοῦν ὥσπερ ἄσαρκος· τῆς θεωρίας ἅμα καὶ πράξεως μύστης κατέστης ἐρασμιώτατος· μέγας γενόμενος τῶν πιστῶν διδάσκαλος, καὶ τῶν σοφῶν φέλος ἐπιστήθιος, ἀξιοθαύμαστος.

Χαίροις, Νικηφόρε ἔνδοξε, ἱερωσύνης κανών, σωφροσύνης ὑπόδειγμα, ἀρετῶν τὸ καύχημα, Ἐκκλησίας στερέωμα, τῶν μοναζόντων κῆπος κατάκαρπος, λυχνία, πίστεως ἀπαστράπτασα, σκεῦος θεότευκτον, μέλος ἐναρμόνιον Θεοειδές, γέγονας θεόπνευστε, τοῦ θείου Πνεύματος.

Δεῦτε πιστῶν τὰ πληρώματα, ἐγκωμιάσωμεν νῦν, Νικηφόρου τὴν πάντιμον ἐτησίαν σύναξιν, ἐν ᾠδαῖς τε καὶ ἄσμασιν· ἀχλὺν κακίας ἀποσοβούμενοι, ὅρμον γαλήνης ψυχῆς διώκοντες· καὶ ἀγαλλόμενοι, πλοῦτον ἀδαπάνητον καὶ ἐντρυφῆν, τῆς μακαριότητος, ἀπαρνούμενοι.

Ὦ τῆς στερρᾶς καὶ γενναίας σου, ἀδαμαντίνης ψυχῆς, Νικηφόρε τρισόλβιε, τὰ τοῦ κόσμου ἅπαντα, ὑποπόδιον τεθεικὼς· τῆς μετανοίας κῆρυξ γενόμενος κραταιὸ προχέων κρουνοὺς μετώσεως, καταδροσίζοντας φρένας καὶ διάνοιαν, τῶν εὐσεβῶς, ἐπικαλουμένων σε, Χριστῷ πρεσβείας ποιεῖν.

Θάλασσαν παθῶν ἐκοίμισας, ἀποκαθάρας τὸν νοῦν, πανυχίοις δεήσεσιν, ἐν τοῖς θείοις νάμασι, τῶν δαιμόνων

ΕΘΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ ΙΩΑΝΝΗ ΝΤΟΡΗΣ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

τὰς φάλαγγας, εὐσεβοφρόνως ἀποκρουσάμενος, καὶ τοῖς προσύλοις ἀποταξάμενος· πᾶσιν ἐκήρυττες, ἀγαθοὺς ποιήσατε καρποὺς ζωῆς, ἵνα ἀπολαύσητε τῆς βασιλείας Θεοῦ.

Δόξα, ἦχος δ΄.

Ἐν φαιδρῷ ἀγαλλιάματι, καὶ ἐν ψαλμοῖς ἁσματικοῖς, εὐφημήσωμεν Νικηφόρον τὸν ἀοίδιμον, ὅτι τὸν ἀρχέκακον ἐχθρόν, τοῖς ποσὶ κατεπάτησε, καὶ εἰς χάος ἐβύθισεν· εὐσεβείας γὰρ καρποὺς, ἑαυτῷ προστησάμενος, τὰς ἀσθενείας τῶν παθῶν δι' αὐτῶν ἐθεράπευε, τῶν εὐσεβῶς προσιόντων αὐτῷ. Ὅθεν ὑπογραμμὸς θεῖος, μοναστῶν ἀνεδείχθη, καὶ κανὼν ἀρετῆς ἀκριβέστατος. Δι' ὃ ἐν παρρησίᾳ πρεσβεύει Χριστῷ, σὺν Ἀντωνίῳ τῷ πάνυ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων αὐτόν.

Ἀπολυτίκιον ἕτερον. Ἦχος δ΄.
Ὁ ἔνσαρκος Ἄγγελος.

Ὁ ἔνθους διδάσκαλος τῆς Ἐκκλησίας Χριστοῦ, ἡ σάλπιγξ ἡ εὔσημος ἀγιωτάτων ὠδῶν, ποιμὴν ὁ θειότατος, ἄνωθεν κατενέγκας, ὑετοὺς Νικηφόρε, κάτω δὲ θείοις ἔργοις, καταρδεύεις τὴν Χίον· καὶ νῦν καθικετεύεις Χριστὸν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον ἐπὶ τῇ εὑρέσει τοῦ λειψάνου τοῦ Ἁγίου ὑπὸ τοῦ Πανοσιολογ. Κυρίλλου Βαβύλα, μαθητοῦ τοῦ Ἁγίου.

Ἦχος γ΄. Θείας πίστεως.

Πάντας ηὔφρανας ἐν τῇ εὑρέσει, τῶν λειψάνων σου Χριστοῦ θεράπον, Νικηφόρε εὐφροσύνην οὐράνιον, ἐν ἀρεταῖς γὰρ τὸν βίον διέτριψας, καὶ ἐν ἀσκήσει γενναίως ἐξέλαμψας· Πάτερ Ὅσιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου ἡ τῆς Ἑορτῆς. Εἴσοδος, Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα τῆς 27ης Ἰουλίου (τοῦ Ἁγίου Παντελεήμονος).

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ ἰδιόμελα. Ἦχος α΄.

Σέ σε καλέσωμεν, θεόπνευστε, ἱερὲ Νικηφόρε· Ἱποφήτην, Πρεσβύτερον, Μοναστήν, Διδάσκαλον ἢ Εὐεργέτην· Ἱποφήτην, ὅτι τὸν μέγαν ἐν τῇ πατρίδι σου ἐνσκήψαντα πέλεκυν προεῖρηκας. Πρεσβύτερον, ὅτι καθ' ἑκάστην ἡμέραν προσέφερες θυσίαν τῷ Θεῷ ἐν τῷ θυσιαστηρίῳ, ὃ αὐτὸς ᾠκοδόμησας. Μοναστήν, ὅτι μέγα ἀσκητικὸν γυμνάσιον συνεκρότησας ἐν τῷ σκηνώματί σου. Διδάσκαλον, ὅτι ὡσεὶ κέδρους ἐπλήθυνας τὰ ποίμνια Χριστοῦ, ἐν εὐσεβείᾳ πίστεως καὶ δικαιοσύνης. Εὐεργέτην, ὅτι τοῖς δεομένοις καὶ ὀρφανοῖς, μέγας ἐπίκουρος ἐγένου. Δι' ὃ καὶ ἔλαβες παρὰ τοῦ Θεοῦ ζωὴν τὴν αἰώνιον.

Δόξα, ἦχος πλ. δ΄.

Ὅσιε τρισμάκαρ, ἀγιώτατε πάτερ· τὴν ἀρετὴν ἐπιμελῶς παιδεύθεν ἀσκήσας ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος· δι' αὐτοῦ ἐνεργῶν τοῖς νοσοῦσιν ἰάματα, τοῖς θλιβομένοις παραμυθίαν, καὶ ὑετὸν ἐν αὐχμῷ, καὶ πείθων τοὺς ἀνθρώπους καταφρονεῖν τῶν γηΐνων, καὶ αἰτεῖν παρὰ Θεοῦ, εἰρήνην, σωτηρίαν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ τῆς Ἑορτῆς. Εἰς τὸν Στίχον. Στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Θεοκίνητος λύρα τῶν θείων λόγων σου, ἡ ὑμνῳδὸς τῶν ἄνω τοῦ Θεοῦ Μυστηρίων, ἀνέμελπεν ἠχοῦσα θεοτερπῶς, Νικηφόρε Μακάριε καὶ διὰ τοῦτο ἡ Χίος μιᾷ φωνῇ ἐπαξίως μακαρίζεισε.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Πῶν αἰσθητῶν τὰς ὁλκάδας νήσων συνέτριψας, ψυχῇ προσεκολλήθης τῇ Ἁγίᾳ Τριάδι, ἐν ἄσμασι καὶ ὕμνοις αὐτὴν ὑμνῶν, προσευχαῖς καὶ δεήσεσι, ἢ καὶ λατρεύειν διδάσκων καὶ ὁδηγῶν, πάντα σώζεσθαι βουλόμενον.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ.

Πὴν ἐντολὴν τοῦ Σωτῆρος, πιστῶς ἐτήρησας, ποιεῖν τε καὶ διδάσκειν, εὐαγγελιζομένου, τὸν θέλοντα βαδίζειν τὰς τρίβους αὐτοῦ, καὶ ὁρθὰς ἀπεργάσασθαι ἵνα ἀκούσῃ εὖ δοῦλε ἐμοὶ πιστὲ, ἐπαξίως ἀμειβόμενος.

Δόξα, ἦχος δ΄.

Πὴν ἐτήσιον μνήμην σήμερον, ἡ Χίος πᾶσα γεραίρει, Νικηφόρον τοῦ θεοφόρου Πατρός. Ὃς τὸ ἀσκητικὸν στάδιον περιβαλλόμενος, ἀνδρείως διήνυσε τῶν ἀρετῶν τὴν κλίμακα, τοὺς θήρας τοὺς νοητοὺς ἀποσοβήσας, τὸ κατ' εἰκόνα ἀγνὸν διεφύλαξε. Τὸ δοθὲν αὐτῷ τάλαντον ἐπηύξησε καὶ θαυματουργὸς ἀνεδείχθη. Καὶ νῦν ἐκ δεξιῶν τοῦ Θεοῦ παριστάμενος, πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων ἡ τῆς Ἑορτῆς.
Ἀπολυτ. Ἦχος δ΄. Ὁ ἔνσαρκος Ἄγγελος.

Ἀστὴρ φαεινότατος τῆς Ἐκκλησίας Χριστοῦ, λιμὼν δαψιλέστατος τῆς ἀληθείας αὐτοῦ καὶ σάλπιγξ μελίρρυτος, δέδειξαι Νικηφόρε, οὐρανόθεντος θείοις, νάμασι καθηδύνων τῶν πιστῶν τὰς καρδίας. Δι' ὃ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.
ἡ τῆς Ἑορτῆς. Καὶ ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. στιχολ. Κάθισμα. Ἦχος πλ. α΄.
Τὸν συνάναρχον λόγον.

Νικηφόρου τοῦ θείου ἀνευφημήσωμεν τὴν πανένδοξον μνήμην πιστῶς γεραίροντες, δι' ἐγκρατείας ἀληθοῦς καὶ ἀκραιφνοῦς ὑπομονῆς, καταισχύνοντος οἰκτρῶς τὸν μισόκαλον ἐχθρόν, καὶ πάντας αὐτοῦ τοὺς βρόχους· καὶ νῦν πρεσβεύοντος τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν ἀεὶ πρὸς Κύριον.

Δόξα καὶ νῦν. Θεοτοκίον.
Χαῖρε πύλη Κυρίου.

Μετὰ τὴν β΄. στιχολ.
Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτῆρ.

Τῆς Χίου τὸν βλαστὸν, Νικηφόροντὸν θεῖον, τιμῶσιν εὐλαβῶς, μοναστὰι καὶ λευῖται, πρεσβύτεροι, διδάσκαλοι, συνδημόται καὶ ἄρχοντες, χῆραι, πένητες καὶ ὀρφανὰ δεομένων, πάσης τάξεως, μεγαλοφώνως βοῶντες, καὶ χεῖρες φιλόπονοι.

Δόξα καὶ νῦν. Θεοτοκίον. Μαρία τὸ σεπτόν.

Μετὰ τὸν πολυέλεον.
Κάθισμα ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς ἀστὴρ ἐξέλαμψεν ἐν τῇ ἐρήμῳ, διδαχαῖς καὶ ἄσμασι καταφωτίζωντοὺς πιστούς, καὶ θεοπνεύστῳ φρονήματι, προσυπεμφαίνων αὐτοῖς τὰ οὐράνια.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Προστασία ἄμαχε τῶν θλιβομένων, κραταιὰ ἀντίληψις τῶν πεποιθότων ἐπὶ σέ, καὶ θλιβομένων πέλεις, παρθένε, χριστιανῶν ἡ ἐλπίς.

Οἱ Ἀναβαθμοί.
τὸ α΄. ἀντίφωνον τοῦ δ΄. Ἦχου.

Προκείμενον, ἦχος δ΄. Οἱ ἱερεῖς σου Κύριε, Στιχ. τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Τὸ, πᾶσα πνοή.

ΕΘΝΙΚΟΝ ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΙΝΣΤΙΤΟΥΤΟ ΕΛΛΗΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΚΑΙ ΕΡΕΥΝΩΝ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΔΟΠΟΥΛΟΥ

Εὐαγγέλιον ὁσιακὸν, Ὁ Ν'. Δόξα, ταῖς τοῦ σοῦ ὁσίου, Καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ ἰδιόμελον. Ἦχος πλ. δ'

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ σὺ τὸ βάρος τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐβάστασας, καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας. Δι' ὃ καὶ πύλη σοι οὐρανῶν ἠνέωκται· καὶ πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Οἱ κανόνες, τῆς Θεοτόκου ἢ τῆς ἑορτῆς καὶ τοῦ Ὁσίου. Εἶτα αἱ καταβασίαι κλπ. Κανὼν τοῦ Ὁσίου, Νικηφόρου τοῦ Χίου, οὗ ἡ ἀκροστιχὶς Ἅγιος εἶ, Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀνοίξω τὸ στόμα μου, καθικετεῦσαι τὸν Κύριον, τὸν πάντα βουλόμενον σῶσαι δυνάμενον, προσερχόμενον αὐτῷ ἀκολουθῆσαι, καὶ ἄρα, γηθόμενον αὐτοῦ τὸ ἄροτρον.

Γῆθεν πεποίηται, πᾶν τὸ ἀνθρώπινον φόρεμα, ὅθεν ἀνεβλάστησεν ὡς ῥόδον εὔοσμον, καὶ ἀνέθαρεν ὁ θεῖος Νικηφόρος, ἀκτῖσι τοῦ πνεύματος περιλαμπόμενος.

Γ'σάγγελον ἔσχηκε, νοὸς τὸ πάντιμον φρόνημα, ὑφ' ὃ καθυπέταξε πάθη τοῦ σώματος, δι' ἀσκήσεων καὶ μόχθων ἀνεικάστων, τὸν θεῖον Μακάριον τύπον ἑλόμενος.

Θεοτοκίον.

Ὁ τόκος σου Δέσποινα, ὑπερφυῶς πεφανέρωται, τῷ κόσμῳ δωρούμενος τὴν ἀπολύτρωσιν, παρεχόμενος βροτοῖς τὴν σωτηρίαν, τοῖς πόθῳ ὑμνοῦσί σε καὶ μακαρίζουσιν.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Σταυρῷ κατεπάλαισε τὰ πάθη, δεήσεσι χρώμενος συχναῖς, πρὸς ὕψος ἀναβέβηκε, τῶν ἀρετῶν τὸ τέλειον, τῶν ἀσκητῶν γενόμενος καὶ μοναζόντων ἐφάμιλλος. Ἐν ὕμνοις καὶ ᾄσμασιν ἐνθέοις, φωστὴρ ἀνεδείχθη τηλαυγής, καὶ στύλος ἀραγέστατος, κανὼν δὲ πρακτικώτατος, διὰ παντὸς διήλεγκται, ξυροῦ ὀξέος τομώτερος.

Τ'σον τῷ θείῳ Ἀντωνίῳ, τὸν ζῆλον ἐζήλωσε πιστῶς. Νικηφόρος ὁ πάντιμος, τῆς νίκης ὁ φερώνυμος, ἧς τροπαιοῦχος δέδεικται, εἰς αἰῶνας αἰώνων τιμώμενος.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς Θεοτόκον, καὶ ζῶσαν καὶ ἄφθονον πηγήν, κηρύττομέν Σε πάναγνε, θεοκυήτορ Δέσποινα, ἡ τοὺς ζοφώδεις δαίμονας, ἐκ τῶν πιστῶν ἀπελαύνουσα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Πρὸς θορύβους τοῦ κόσμου καταλιπών, τὸν Σταυρὸν τοῦ Κυρίου ἀναλαβών, αὐτῷ ἠκολούθησε μέχρι τέλους ὁ πάνσοφος· τῆς ἐρήμου πολίτης γενόμενος ἔνθερμος, τῶν πιστῶν τὰς καρδίας ἀρδεύων τοῖς νάμασι, τοῦ Εὐαγγελίου καὶ λόγοις τῆς πίστεως· ὅθεν καὶ τῆς Χίου τοὺς λαοὺς ἐκδιδάσκων, ἐκάλει ἀντέχεσθαι ἀνεκκλίτως τῆς πίστεως· καὶ φυλάττειν ἀμώμητον, αἰτοῦντας Χριστὸν τὸν Θεόν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι καὶ παρέχει τοῖς πᾶσι ζωὴν τὴν αἰώνιον.

Δόξα καὶ νῦν Θεοτοκίον.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Υ'μνοις τὸν Σωτῆρα δοξολογῶν, ὁ τῆς εὐσεβείας ἀκριβέστατος πρόμαχος, πτερωθεὶς πόθῳ, τῇ ἀγάπῃ πρὸς ὃν καὶ ἀνεκραύγαζε, δόξα τῇ δυνάμει Σου Κύριε.

Ῥήμασιν ἐνθέοις οἰκοδομῶν, τὴν τῆς Χίου ὀρθόδοξον ἄμπελον, ἔργοις καὶ λόγοις καὶ ἀγρύπνοις προσευχαῖς, προσηύδα πρὸς τὸν Κύριον, νεύειν τὴν ὁμόνοιαν ἅπασιν.

Ἰατρεῖον νόσων πνευματικῶν, ἐν Ῥεστοῖς ὡς ἄκρον δάντον ἔρεισμα, ὄργανον ἔφη, Νικηφόρος ὁ σεπτός, ἰώμενος τοὺς μώλωπας καὶ τὰς προσβολὰς τοῦ ἀλάστορος.

Θεοτοκίον.

Ἐνοικήσας ὁ λόγος ἐν σῇ γαστρί, νέαν κτίσιν ἀπειργάσατο, σὺ γὰρ εἷ ὄντως, ὥσπερ εἶδεν Ἀββακούμ, τὸ ὄρος τὸ κατάσκιον, καὶ λυχνία ἡ πάγχρυσος.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Κυρίου τὸ τάλαντον, ἐν εὐποιΐαις ηὔξησεν, ἅρτα τὴν πρᾶξιν ὀχετεύων, τὴν θεωρίαν περιπυσσόμενος, πάντας προσελκύων τῷ Χριστῷ, δῶρα προσκομίζοντας, τῶν πταισμάτων τὴν ἄφεσιν.

Ἀνάστηθι Κύριε, ἐν τῇ σεπτῇ δυνάμει σου, ἔκραξεν ὁ θεῖος Νικηφόρος, θραῦσον τὰ θράση τῶν ἀτιθάσσων ἐχθρῶν, τῶν λυμαινομένων ἀσεβῶς τὸ θυσιαστήριον τῆς σεπτῆς Ἐκκλησίας σου.

Γ'κέτιδας ἔτεινε, χεῖρας αὐτοῦ πρὸς Κύριον, ἔρημον οἰκῶν ὥσπερ στρουθίον, ὁμιλον ἔχων ἐν τῇ καρδίᾳ αὐτοῦ, πάντας τοὺς ὁσίως καὶ πιστῶς, ἐνθεαστικώτατα τῷ Θεῷ λιτανεύοντας,

Θεοτοκίον.

Σὺ στέφανον ἔπλεξας, τῷ κόσμῳ ἀχειρόπλοκον, χαῖρέ Σοι, κραυγάζομεν, Παρθένε· ἔμψυχον ξύλον, τῆς δόξης ἥλιε, οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὀλισθαίνοντας.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Ἔνθεον ὕμνον εὐφρόσυνον, ἐπάδουσα ἡ Χίος εὐφραίνεται, τὴν Νικηφόρον γάρ, τελοῦσα μνήμην σεβάσμιον, στεφρῶς ἐρειδομένη τοῖς θείοις δόγμασιν.

Ὑ'πέταξε τοῦ κόσμου τὸ μάταιον, ἐμπόδιον αὐτοῦ λογιζόμενος, μεταρσιούμενος, ἀπὸ τῆς γῆς εἰς τὰ ἄρρητα, τῆς οὐρανίου δόξης σκηνώματα.

Μονὰς τὰς οὐρανίους ἐζήλωσεν, Ἡλίαν τὸν Θεσβίτην μιμούμενος, βίον διήνυσεν, ἐνθέοις ἑπόμενος, τοὺς πόνους ὑπομένων καρτερικώτατα.

Θεοτοκίον.

Παὸς τοῦ Παρακλήτου γεγέννησαι, ἀνύμφευτε Παρθένε, Πανάσπιλε· χαρέτωσον, τὸν λογισμὸν τῶν ὑμνούντων σε καὶ ἐπικαλουμένων τὴν σὴν βοήθειαν.

Κοντάκιον. Ἦχος δ'. Ἡ Παρθένος σήμερον.

Νικηφόρον σήμερον ἡ Χίος πᾶσα γεραίρει, τὸν σταυρὸν ἁράμενον τοῦ Ἰησοῦ θαρσαλέως, ἕλκοντα πρὸς σωτηρίαν τοὺς ὀρθοδόξους, ᾄδοντα μετὰ δικαίων καὶ τῶν ὁσίων, ἐν ᾠδαῖς, ᾄσμασιν, ὕμνοις, δόξαν προσφέρειν τῷ ἐν ὑψίστοις Θεῷ.

Ὁ Οἶκος.

Χαῖρε μυροβόλε Χίος, ἡ θρεψαμένη τὸν ἐν ὁσίοις διαλάμψαντα Νικηφόρον τὸν νέον οὐρανοφάντορα, ὃς τῆς παιδείας γέγονεν ἐραστής, πλοῦτον καὶ δόξαν ἀποβολὰν καὶ ἔρημον ἐν Ῥεστοῖς οἰκήσας, ἔνθεν τῆς νήσου πάντα περιῆει τὰ μέρη, διδάσκων τὸ τῆς βασιλείας τοῦ Θεοῦ Εὐαγγέλιον, τοῖς πένησι, καὶ τοῖς ἐνδεέσιν ἀναργύρως ἐπίκουρος γινόμενος, καὶ τοῖς πᾶσι τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσῃ ἐν Χριστῷ τῷ σωτῆρι ἡμῶν. Ὁσίως δὲ διαβιούς, οὐ παύεται ὕμνοις μέλπων, δόξαν προσφέρειν τῷ ἐν Ὑψίστοις Θεῷ.

Τῇ α', τοῦ μηνὸς Μαΐου τελεῖται ἡ μνήμη τοῦ πρὸς Κύριον ἀποδημήσαντος. Ὁσίου Νικηφόρου, Ἱερομονάχου καὶ Ἱεροδιδασκάλου τοῦ Χίου.

Στίχοι : Νικηφόρον καὶ θανόντα ζῆν λέγειν·
Οἱ γὰρ δίκαιοι ζῶσι κἂν τεθνηκότες,
Μαΐοιο θάνες, Νικηφόρε, πρώτῃ.

ΕΚΠΑΙΔΕΥΤΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΤΑΣΤΗΜΑ ΕΜΠΟΡΙΟΣ ΠΑΠΑΔΑΤΟΣ

ΒΙΟΣ
ΟΣΙΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

Τὸ ὄνομα τοῦ Ὁσίου Νικηφόρου εἶναι εἰς πᾶσαν γωνίαν τῆς Χίου γνωστὸν καὶ ἐκτὸς αὐτῆς ἀκόμη μεταξὺ πάντων τῶν Χίων ὅσοι ἐκ πατέρων καὶ πάππων ἤκουσαν περὶ τοῦ βίου τοῦ Ἁγίου καὶ παναρέτου αὐτοῦ ἀνδρός. Γνωστὸς καὶ θαυμαστὸς εἶνε εἰς πάντας, ἀλλ' ὁ ἅγιος αὐτοῦ βίος ὅλος ἀπ' ἀρχῆς μέχρι τέλους δὲν ἐγνωρίσθη ἀκόμη εἰς τοὺς πολλοὺς καὶ τὰ κατ' αὐτὸν φέρονται ἀορίστως καὶ ἀτελῶς ἐν παραδόσει, μετὰ σεβασμοῦ ἑκάστοτε ἐπαναλαμβανόμενα. Δὲν εἰσῆλθεν ὅμως ἀκόμη ὁ ὅσιος Νικηφόρος εἰς τὴν χορείαν τῶν ἱστορικῶν προσώπων· τὰ κατ' αὐτὸν «δὲν ἐτέθησαν ποτέ, ὡς γράφει ὁ ἴδιος ἐν τῷ προλόγῳ τῆς ἀκολουθίας τῶν Ὁσίων Πατέρων Νικήτα, Ἰωάννου καὶ Ἰωσήφ, εἰς τὴν λυχνίαν τοῦ τύπου καὶ οὕτω νὰ λάμψουν εἰς ὅλον τὸ χριστεπώνυμον πλήρωμα, ἀλλ' ἔμειναν παντοτεινὰ κεκαλυμμένα καὶ προϊόντος τοῦ χρόνου τὸ κλέος αὐτῶν καὶ ἡ δόξα ἠμαυρώθη καὶ εἰς τὸ τέλος ἐκινδύνευσε ν' ἀποσβεσθῇ». Οἱ λόγοι του οὗτοι οἱ πλήρεις ἐννοίας καὶ χάριτος λέγουσιν ἡμῖν σαφῶς πόσον ἐπόθει νὰ συλλέγωνται καὶ ἐκτίθενται κοινὰ τοῖς πᾶσιν ὁ βίος καὶ αἱ πράξεις τῶν ἀσκησάντων τὴν ἀρετήν, τὴν τοῦ Χριστοῦ ἀληθῆ καὶ ἀκεραίαν μετὰ τῆς ἄλλης τοῦ βίου πάσης παιδείας καὶ προκοπῆς. Πόσον δ' ὄντως συνέτεινεν εἰς τοῦτο, προχωροῦντες θὰ εἴπωμεν. Καθήκον δὲ μέγα νομίζομεν εἰς τε τὴν ἀκάματον καὶ ἄπληστον ἀρετῆς ἐκείνου ψυχὴν καὶ εἰς τὴν νιοτέραν ἱστορίαν τῆς πατρίδος, ὅπως παραμείνῃ ἐναργὴς ἡ ἱερὰ αὐτοῦ μνήμη ἐν ἡμῖν ἅπασι καὶ τοῖς ἐλευσομένοις εἰς τιμὴν τῆς παιδείας καὶ τῆς ἀρετῆς, τὴν συλλογὴν τῶν περὶ αὐτοῦ ὑπαρχουσῶν εἰδήσεων καὶ τὴν κατὰ δύναμιν σύνθεσιν αὐτῶν.

Πηγὴ κυρία τῶν εἰδήσεων τούτων χρησιμεύουσιν ἡμῖν αἱ περὶ αὐτοῦ σημειώσεις τοῦ πρό τινος ἐκλειπόντος τετιμημένου γυμνασιάρχου Χίου Γεωργίου Ζολώτα, ὅστις φέρων μεγάλην τιμὴν καὶ στοργὴν πρὸς τὸν ὅσιον τῆς Χίου, συνήθροισεν ἐπιμελῶς ὅσας ἠδυνήθη πραγματικὰς καὶ ἀσφαλεῖς περὶ αὐτοῦ εἰδήσεις. Διότι ἀπόφασιν εἶχεν ἐκεῖνος νὰ γράψῃ τὸν βίον του, μάλιστα ἀφ' ὅτου εἶχε διέλθει τὸ θέρος τοῦ 1905 ἐν τῷ πλήρει τῶν ἀναμνήσεων τοῦ Νικηφόρου δάσει τοῦ Ρεστᾶ, ἔνθα καὶ τὸ ἑπόμενον ἔτος ἐτελεύτησε, κοινωνήσας μυστικῆς παμποθήτου κοινωνίας μετὰ τῶν ἐκεῖ προσαναπαυσαμένων ἐναρέτων καὶ λογίων Νικηφόρου τοῦ Χίου καὶ Ἀθανασίου τοῦ Παρίου. Ταύτας τὰς σημειώσεις ἔχοντες ἀνὰ χεῖρας καὶ πλείστας τῶν παραδόσεων κατ' ἐκλογὴν, ληφθείσας παρ' ἀξιοπίστων προσώπων, σκιαγραφοῦμεν πιστῶς ὅπωσοῦν τὸν ἅγιον βίον τοῦ Νικηφόρου, ἔχοντες πάντοτε κατὰ νοῦν, ὅτι εὐχερὲς μὲν σχετικῶς εἶναι νὰ γράψῃ τις περὶ ἱστορικοῦ καὶ ἤδη κοινοῦ προσώπου, δυσχερέστατον δὲ περὶ μὴ ἱστορικοῦ ἀκόμη, στερουμένου δὲ καὶ τῶν ἀναγκαιούντων εἰς αὐτὸ ἱστορικῶν μνημείων. Ὁ πρῶτος ἐπιχειρῶν εἶνε ὁ ἐλάχιστα ἐπιταγχάνων, οἱ δὲ μετ' αὐτὸν τοῦ αὐτοῦ ἐπιλαμγανόμενοι, ἔχουσι πλείονας ἐπιτυχίας.

Ἐγεννήθη περὶ τὸ 1750 εἰς τὰ Καρδάμυλα τῆς Χίου τὸ δὲ οἰκογενειακόν του ὄνομα ἦτο Γεώργιος.(*) Ἀσθενήσας εἰς νεαρὰν ἡλικίαν ἐκ «λοιμικῆς» καὶ σωθεὶς «ἐδόθη δοτὸς» ὑπὸ τῶν γονέων του εἰς τὴν Νεαμονήτισσαν Παναγίαν, ὅπως ὑπηρετήσῃ αὐτήν. Ἀφοῦ ἐγένετο ὑγιὴς τὸν ἔφεραν εἰς τὴν μονὴν καὶ ὑπηρέτησε τὸ πρῶτον παρ' Ἀνθίμῳ τῷ Ἁγιοπατρείτῃ, «σεβασμίῳ καὶ θαυμαστῷ γέροντι», ὡς λέγει ὁ ἴδιος. Ὕστερον ἐστάλη εἰς Χώραν ὅπως παιδευθῇ ἐν τοῖς ἐκεῖ σχολείοις, παρὰ τῷ ὀνομαστῷ τότε ἱεροδιδασκάλῳ Γαβριὴλ τῷ Ἀστρακάρῃ, Ἐφημερίῳ τοῦ ἐν Βουνακίῳ Ναοῦ τοῦ Ἁγίου Εὐστρατίου, ἀνήκοντος τῇ Νέᾳ Μονῇ. Παρ' αὐτῷ ἔμεινε καθ' ὅλον τὸ διάστημα τῆς ἐν τῇ Χώρᾳ παιδευσέως του καὶ ἐμορφώθη τὴν ψυχὴν καὶ τὸν νοῦν τόσον, ὥστε ν' ἀγαπᾷ καὶ σέβεται τὰ γράμματα καὶ τοὺς αὐτὸν ταῦτα διδάσκοντας, πρῶτον τοῦτο δεῖγμα παιδὸς χρηστοῦ, προλέγοντος χρηστότερον πολίτην. Εἰς ὅλας δὲ τὰς φάσεις τοῦ ὕστερον βίου του διαφαίνεται ὁ πρὸς τοὺς διδασκάλους σεβασμὸς καὶ ὁ ἔρως τῶν γραμμάτων, ὅστις τὸν ἔφερεν εἶτα πρὸς τὸν Ἀθανάσιον τὸν Πάριον, καὶ ὁ τῆς χριστιανικῆς πίστεως πρὸς τὸν Ἅγιον Μακάριον, τοὺς δύο ἰσχυροὺς στύλους τῆς παιδείας καὶ τῆς θρησκείας τότε ἐν Χίῳ.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ὁποῦ τοῦτα ἔγειναν εἰς τὴν Χίον, ἦτο διαγυμένος ἀπὸ τὴν Κωνσταντινούπολιν καὶ ὁ Κωνσταντῖνος, ὁ Μονομάχος ἐπιλεγόμενος, καὶ εὑρίσκετο ἐξόριστος εἰς τὴν Μυτιλήνην τὴν νῆσον, κατὰ προσταγὴν τοῦ τότε Βασιλεύοντος Μιχαὴλ τοῦ Παφλαγῶνος· ἔμεινε δὲ εἰς τὴν ἐξορίαν, ἕως ὁποῦ ἔλαβε πάλιν τὴν βασιλείαν ἡ Θεοδώρα καὶ ἡ Ζωὴ αἱ πορφυρογέννητοι, καὶ τότε ἀφοῦ βασίλευσαν, ηὐδόκησεν ὁ Θεός, ὄχι μόνον νὰ ἐλευθερωθῇ ἀπὸ τὴν ἐξορίαν, ἀλλὰ καὶ νὰ βασιλεύσῃ· οἱ δὲ θεῖοι Πατέρες ἡσυχάζοντες εἰς τὴν Χίον, ἐγνώρισαν ἀπὸ θείαν ἀποκάλυψιν τὸ μέλλον, ὅτι δηλαδὴ ὁ Μονομάχος ἀπὸ τὴν ἐξορίαν μέλλει νὰ ἀνακληθῇ εἰς βασιλείαν. Ὁ Μονομάχος ὁ δυστυχής, ὄχι μόνον ἀνάκλησιν ἀπὸ τὴν ἐξορίαν δὲν ἤλπιζεν, καθὼς μόνος του τὸ ἔλεγεν ὕστερον εἰς τοὺς ἁγίους, ἀλλὰ καὶ περισσότερον κακὸν ἐπρόσμενε νὰ τοῦ ἔλθῃ· μόνοι δὲ οἱ ὅσιοι ὁποῦ οὔτε Μονομάχον ἤκουσαν ποτὲ, οὔτε τί γίνεται εἰς τὰ βασίλεια ἤξευρον, αὐτοὶ μόνοι, λέγω, οἱ ἐρημῖται ἔμαθαν ἐκ Πνεύματος Ἁγίου, ἀπὸ θεῖον φωτισμόν, καθὼς εἴπαμεν, ὅτι ἐμέλλε νὰ βασιλεύσῃ ὕστερον ἀπὸ ὀλίγον καιρὸν· καὶ λοιπὸν πληροφορημένοι αὐτοὶ περὶ τοῦ μέλλοντος, ἐταξείδευσαν εἰς τὴν Μυτιλήνην, ὁ θεῖος Νικήτας, καὶ ὁ θεῖος Ἰωσήφ, καὶ ἐγνωρίσθησαν μὲ τὸν Μονομάχον· καὶ συνομίλοῦντες μὲ αὐτόν, ἐδοκίμαζον μὲ κάθε λογῆς τρόπον νὰ τὸν παρηγορήσουν καὶ νὰ καταπαύσουν τὴν λύπην, ὁποῦ εἶχε διὰ τὴν ἐξορίαν· ἔπειτα καὶ τὴν καλήν, καὶ χαροποιὰν εἴδησιν τοῦ ἔδωκαν, πῶς δηλονότι ἐγνώρισαν αὐτοὶ ἐκ θείας ἀποκαλύψεως, ὅτι μέλλει νὰ βασιλεύσῃ μετ' ὀλίγον· ὡσὰν τὶ λογῆς στοχάζεσθε διετέθη τότε ὁ Μονομάχος; τάχα ἐχάρη; τάχα ἐσκίρτησεν ἡ καρδία του διὰ μίαν τοιαύτην ἀνέλπιστον εἴδησιν; ἀπὸ ἐξόριστος καὶ δυστυχὴς νὰ λάβῃ τὸ μέγιστον τῶν κοσμικῶν ἀγαθῶν, τὴν βασιλείαν; ἦτον βέβαια ἀκόλουθον νὰ χαρῇ· ἀλλὰ πόθεν νὰ πληροφορηθῇ, ὅτι ἐκεῖνοι οἱ ἁπλοῖ ἄνθρωποι (καθὼς ἐφαίνοντο ἀπὸ τὸ σχῆμα καὶ ἀπὸ τὰ λόγια τους) προφητεύουσι; διὰ τοῦτο ὄχι μόνον ἔλεγε πῶς δὲν ἐπιτυγχάνει τῆς βασιλείας, κατὰ τὴν τῶν ἁγίων προφητείαν, στοχαζόμενος αὐτὴν παράδοξον καὶ ἀπίστευτον, ἀλλὰ καὶ ὅτι δὲν ἤλπιζε νὰ ἐλευθερωθῇ καὶ νὰ γλυτώσῃ ἀπὸ τὰ κακὰ καὶ τὸν ἔσχατον κίνδυνον, ὁποῦ ἐπεκρέματο εἰς αὐτὸν, διὰ τὰ ὁποῖα ἔκλαιε καὶ ἐλυπεῖτο κατὰ πολλά· οἱ δὲ Πατέρες πάλιν, ἔχοντες ὅλην τὴν πίστιν εἰς τὰς ἀποκαλύψεις, καὶ πληροφορημένοι τὴν ἀλήθειαν, ἐναντιώνοντο καὶ ἀντέλεγον εἰς τοὺς στοχασμοὺς του καὶ μὲ χαροποιὰς καὶ βεβαίας ὑποσχέσεις ἐδοκίμαζον νὰ βγάλουν τὸ βάρος τῆς λύπης ἀπὸ τὴν καρδίαν του, λέγοντες πρὸς αὐτόν· «Ἐχε θάρρος, ὦ αὐθέντα, καὶ ἔχε καλὰς ἐλπίδας, διότι δὲν θὰ περάσῃ πολὺς καιρός, ἀλλὰ τώρα ὀγρήγορα, μέλλει νὰ σοὶ δοθῇ ἡ βασιλεία παρὰ τοῦ εὐσεβεστάτου Θεοῦ, καὶ τότε ἀντὶ ταύτης τῆς λύπης θέλεις λάβῃ χαρὰν μεγάλην· ἔχε παρηγορίαν τῆς λύπης σου ταύτην τὴν προφητείαν ὁποῦ σοὶ προλέγομεν, ἡ ὁποία ἀπεκαλύφθη καὶ ἐφανερώθη εἰς ἡμᾶς παρὰ Θεοῦ. Τότε λοιπόν, ἂν καὶ καθὼς εἴπον, ἐνόμιζεν ἀπίστευτον καὶ ἀπίθανον ταύτην τὴν προφητείαν, ἐπα-

ρηγορήθη ὅμως καὶ ἔλαβε κἄποιον θάρρος καὶ κατ' ὀλίγον ἤρχισε νὰ δέχεται καὶ νὰ πιστεύῃ τὰ λεγόμενα· διότι παρετήρησεν ὅτι χωρὶς κιμμίαν τέχνην καὶ πανουργίαν,ἀλλὰ μάλιστα μὲ πολλὴν ἀπλότητα καὶ ἀκακίαν ἔλεγον τὰ λόγια τους οἱ ὅσιοι· κάμνων δὲ ταύτην τὴν παρατήρησιν, ἔλαβεν ἀκολούθως ὑπόληψιν περὶ αὐτῶν, ὅτι δὲν ἦσαν πλάνοι τινὲς καὶ ἀπατεῶνες ἄνθρωποι, ἀλλ' ὄντως θεοφόροι καὶ ἅγιοι καὶ ἀληθινῶν πραγμάτων ἀληθεῖς προφῆται. Ὅθεν εἶπε πρὸς αὐτούς. «Ὦ Πατέρες τιμιώτατοι, κοντὰ εἰς τὸν Θεόν, ἐὰν ἐγὼ εὐτυχήσω τοιαύτην εὐτυχίαν νὰ βασιλεύσω, καθὼς μοὶ προλέγετε καὶ ὑπόσχεσθε, ὅλας ὅμοῦ ὅσας εὐεργεσίας βούλεσθε θέλετε λάβει παρ' ἐμοῦ». Τὶ δὲ ἀποκρίνονται πρὸς αὐτὸν οἱ ὅσιοι, τῶν ὁποίων ἦτο ἡ ἀκτημοσύνη τὸ καύχημα ; «Δὲν ἔχομεν χρείαν, ὦ μέγιστε Αὐτοκράτορ, ἀπὸ κανένα ἄλλο πρᾶγμα, οὐδὲ κανένα ἄλλο δὲν ζητοῦμεν». Ἔπειτα διηγήθησαν λεπτομερῶς καὶ ἐφανέρωσαν λαμπρῶς τὸ μέγα θαῦμα ὁποῦ ἔγινεν εἰς τὴν μυρσίνην· ὅτι δηλαδὴ ἔμεινεν ἄκαυστος ἀπὸ τὴν ὑπερβάλλουσαν ἐκείνην φλόγα καὶ ὁλότελα ἀκάπνιστος,καὶ ὅτι εὑρέθη κρεμμασμένη εἰς τοὺς κλάδους της ἡ εἰκὼν τῆς Θεομήτορος καὶ τὰ λοιπὰ πάντα, καθὼς προλαβόντες τὰ διηγήθημεν, καὶ πρὸ πάντων, τὸ λαμπρότατον φῶς ὁποῦ ἔβλεπον ἀπὸ τὸ ὄρος, παρομοίως μὲ τὸν Μωϋσῆν. Διηγηθέντες λοιπὸν πάντα τὰ γενόμενα, τότε ἐπρόβαλαν καὶ τὸ ἕνα ἐκεῖνο ζήτημα,διὰ τὸ ὁποῖον εἶχον χρείαν ἀπὸ βασιλικὴν βοήθειαν. Τὶ δὲ ἦτο ἐκεῖνο τὸ ζήτημα; ἦτο τὸ ἀκόλουθον.«Ἡ εἰκὼν αὕτη,εἶπον πρὸς τὸν Μονομάχον οἱ Πατέρες,ὁποῦ εὑρήκαμεν, χρειάζεται Μονὴν καὶ Ναὸν εὐρύχωρον,ὑψηλὸν καὶ ὡραῖον, κατεσκευασμένον μὲ καλλίστην τέχνην (διότι ἡ τοιαύτη Μονὴ καὶ Ναὸς θέλει εἶναι βασιλικὸν δῶρον εἰς τὴν Θεομήτορα καὶ ὄχι ἁπλῶς καὶ ὡς ἔτυχε), διότι εἰς τοιαύτην εἰκόνα θαυματουργὸν τοιοῦτος Ναὸς καὶ τοιαύτη θαυμασία Μονὴ πρέπει». Τότε πάλιν ὁ Μονομάχος λέγει πρὸς τοὺς Πατέρας, «Ἂν ἴσως, ὦ Πατέρες ἁγιώτατοι, λάβω τὴν βασιλείαν, καθὼς μοὶ λέγετε, βεβαιότατα θέλετε λάβει μεγάλας εὐεργεσίας παρ' ἐμοῦ, καὶ ὁ Ναὸς τῆς Πανάγνου μου καὶ Θεομήτορος θέλει λάβει τὴν ἐναρμόνιον σύνθεσιν καὶ κατὰ πολὺ καλυτέραν,παρ'ὅσον ἠλπίζετε νὰ σᾶς γίνῃ». Καὶ ταῦτα μὲν ὁ Κωνσταντῖνος ὁλοπρόθυμος ὑπέσχετο καὶ ἔταξεν. Ἀλλ' οἱ ἁπλοῖ καὶ ἀπερίεργοι ὅσιοι, καθὼς τοὺς ἐνόμιζεν δὲν ἐδέχθησαν ἁπλῶς καὶ ἀπεριέργως τὰς ὑποσχέσεις αὐτοῦ, μὲ λόγια μόνον, ἀλλὰ μὲ κάθε λογῆς ἀσφάλειαν· οἱ θεόσοφοι· ἐζήτησαν δηλονότι καὶ ἔλαβον παρ' αὐτοῦ, εἰς ἐνθύμησιν τῶν πολλῶν ἐκείνων ὑποσχέσεων, τὸ δακτύλιόν του, τό ὁποῖον εἶχε τὴν βοῦλάν του ἐπάνω· καὶ οὕτως ἀφοῦ πλέον ἔλαβον βεβαίως καὶ ἀσφαλεῖς τὰς παρ' αὐτοῦ ὑποσχέσεις, ὑπέστρεψαν καὶ ἦλθον εἰς τὴν Χίον τὴν πατρίδα τους.

Δὲν ἐπέρασε πολὺ καιρὸς καὶ ἀπέθανον οἱ προειρημένοι ἐκεῖνοι δυὸ βασιλεῖς, ὅτε Μιχαὴλ ὁ Παφλαγών, ὁ ὁποῖος εἶχεν ἐξορίσῃ τὸν Μονομάχον, καὶ ὁ μετ' ἐκεῖνον Μιχαὴλ ὁ Καλαφάτης· καὶ πάλιν ἡ Βασίλισσα Ζωή, τοῦ Παφλαγῶνος ἡ σύζυγος τὴν ὁποίαν εἶχεν ἐξορίσει βασιλεύσας ὁ Καλαφάτης, ἦλθεν εἰς τὰ Βασίλεια, καὶ ἔλαβε τὰ σκῆπτρα τῆς Βασιλείας· καὶ παρευθὺς ἔστειλε πλοῖα καὶ ἔφεραν τὸν Κωνσταντῖνον εἰς τὴν Κωνσταντινούπολιν, καὶ λαβοῦσα αὐτὸν εἰς ἄνδρα της γνήσιον διὰ τελείου γάμου, ἀντὶ τῆς προτέρας ἐξορίας, τοῦ ἐνεχείρισε τὰ σκῆπτρα καὶ τὴν βασιλικὴν ἐξουσίαν, κατὰ τοὺς 1045 χρόνους ἀπὸ Χριστοῦ, καὶ οὕτως ἐβασίλευσε κατὰ τὴν προφητείαν τῶν ὁσίων πατέρων. Τότε λοιπὸν μαθόντες αὐτοὶ τὸ γεγονὸς ὅτι δηλαδὴ ἐβασίλευσεν, ἔφθασαν τὸ ὀγλιγωρότερον εἰς τὴν Κωνσταντινούπολιν, καὶ προσελθόντες εἰς τὸν Βασιλέα, ἐνθύμησαν εἰς αὐτὸν τὴν ὑπόσχεσιν, ὁποῦ εἶχε τοὺς δώσῃ εἰς τὴν Μυτιλήνην, διὰ νὰ κτίσῃ τὴν Ἐκκλησίαν, καὶ ἔδειχναν ἐνταυτῷ καὶ τὸ δακτυλίδι ὁποῦ εἶχε δοσμένον εἰς αὐτοὺς σημεῖον ἐνθυμήσεως· ὁ δὲ Βασιλεὺς ταῦτα ἀκούσας, καὶ ἰδὼν τὸ δακτυλίδι του, «μοῦ ἐνθύμησε, εἶπε πρὸς αὐτούς, τὴν τὴν ὑπόθεσιν ταύτην τὸ δακτυλίδι» ποίαν δὲ ἐβλάβειαν ἔλαβε τότε ὁ Βασιλεὺς διὰ τοὺς ὁσίους, ὅταν ἐπληρώθη ἡ προφητεία τους, καὶ ποῖον σέβας ἔδειξεν εἰς αὐτούς, καὶ ἀκολούθως ποίαν δεξίωσιν, ποίαν περιποίησιν, περιττὸν εἶναι νὰ λέγωμεν. Ἐπειδὴ εἶναι φανερὸν ἀπὸ τὴν μεγάλην φιλοτιμίαν ὁποῦ ἔδειξε μετὰ ταῦτα εἰς τὴν οἰκοδομὴν τοῦ Ναοῦ, καὶ εἰς τὰ ἀφιερώματα καὶ εἰς τὰ προνόμια ὁποῦ ἐχάρισεν εἰς τὴν Μονήν· διότι τότε παρευθὺς ἔπεμψε τὸν ἀρχιτέκτονα τῆς οἰκοδομῆς, καὶ ἄλλους ἔχοντας τὰ δευτερεῖα τῆς καλλιτεχνίας, διὰ νὰ οἰκοδομήσωσι τὸν Ναὸν τῆς Θεοτόκου, πέμπει δὲ καὶ πολλοὺς μαρμαρίνους στύλους, ἤγουν κολόνας, κατὰ πολλὰ διαφανεῖς καὶ λαμπράς, καὶ ἄλλα πορφυρόχροα μάρμαρα, ἐσωτρώθη καὶ διαφανῆ· καὶ ἄλλα χρειαζόμενα εἰς τὴν τοιαύτην βασιλικὴν οἰκοδομήν. Πλεύσαντες δὲ ἐκεῖθεν ἔφθασαν εἰς τὸν λιμένα τῆς Χίου, καὶ ἐξελθόντες μὲ πολλὴν φιλοπονίαν καὶ προθυμίαν ἤρχισαν τὰ συντείνοντα καὶ χρειαζόμενα εἰς τὴν μεγαλωτάτην οἰκοδόμησιν· ἐκτίζετο δὲ δώδεκα χρόνους, μὲ πληρωμὰς καὶ ἔξοδα βασιλικά, ζώντος ἔτι τοῦ ἀοιδίμου Κωνσταντίνου· καὶ ὅσον εἰς τὴν καλλιτεχνίαν καὶ εὐφυΐαν, τόσον καλλὰ ἐπιμελήθησαν οἱ οἰκοδόμοι, καὶ τόσον πολλὰ χαριέντως τὸν ἱερὸν Ναὸν ᾠκοδόμησαν, ὁποῦ σχεδὸν ἴσα μὲ τὰς πρωτίστας οἰκοδομὰς τῶν ἑπτὰ θαυμάτων ἐτιμήθη· μετὰ δὲ τοὺς δώδεκα χρόνους ἐτελεύτησε καὶ ὁ Βασιλεὺς Κωνσταντῖνος, μὲ ὅσον καὶ καλὸν τέλος, ὁμοίως καὶ ἡ Ζωὴ ἡ σύζυγός του· καὶ ἐξ αἰτίας τοιαύτης, δηλαδὴ διὰ τὸν θάνατον τοῦ Βασιλέως ἐμποδίσθη καὶ ἐστάθη ἀτελείωτος ὀλίγον καιρὸν ἡ οἰκοδομὴ τοῦ Ναοῦ· κινηθεῖσα ὅμως ἀπὸ θεῖον ἔρωτα καὶ ἀγάπην ἡ Θεοδώρα, ἡ ἀδελφὴ τῆς Ζωῆς, ἡ ὁποία ἀναδέχθη τὴν βασιλείαν, συνεπλήρωσε καὶ ἐτελείωσε μεγαλοπρεπῶς τὸ ἐλλεῖπον μέρος τῆς θείας αὐτῆς οἰκοδομῆς καὶ οὕτως ἐτελειώθη ὅλη ἡ οἰκοδομὴ τοῦ Ναοῦ. Ἂν καὶ ὁ Βασιλεὺς ἀπέθανε πρὸ τοῦ νὰ λάβῃ τέλος ἡ οἰκοδομή, τὰ ἀφιερώματα ὅμως ὁποῦ πρὸς τὴν Μονὴν ἀφιέρωσε, τὰ ἔδωσε κατ' ἀρχὰς μετὰ πάροδον δύο χρόνων, ἀφοῦ ἤρχισαν νὰ κτίζουν· ἔδωκε δὲ πολλὰς δωρεὰς καὶ βοηθείας καὶ πλουσίους πόρους, καὶ πολλὰ εἰσοδήματα, διὰ νὰ ζωοτρέφωνται οἱ ἐνασκούμενοι μοναχοί· ἔπειτα καὶ διὰ χρυσοβούλλων Βασιλικῶν ἐπεκύρωσε καὶ ἐβεβαίωσε καὶ τὰ παρ' αὐτοῦ ἀφιερωθέντα εἰς τὴν Μονήν, καὶ ὅσα ἄλλα ἄλλοι τινὲς ἀφιέρωσαν, καὶ μὲ ἄλλα πάλιν Χρυσόβουλλα ἐθέσπισε καὶ ἀπεφάσισε νὰ εἶναι ἡ τοιαύτη νέα Μονὴ, ἐλεύθερα παντάπασι, καὶ ἀπὸ παντὸς προσώπου ἁπλῶς ἀνενόχλητος κατὰ πάντα. καὶ ἀσίδοτος, καὶ αὐτεξούσιος, ὁμοίως καὶ αἱ δέσποιναι, αἱ πορφυρογέννητοι, ἡ Ζωὴ δηλονότι καὶ ἡ Θεοδώρα, ἐφιλοτιμήθησαν εἰς τὰ ἀφιερώματα τῆς Μονῆς καὶ τὸ πάντῃ ἐλεύθερον καὶ αὐτοδέσποτον, συμφώνως μὲ τὸν Βασιλέα καὶ κτητόρισσαι καὶ αὐταὶ ἐχάρισαν εἰς τὴν Μονὴν καὶ μάλιστα ἡ ἀοίδιμος Θεοδώρα, ἡ ὁποία ἔλαβεν ὅλην τὴν βασιλικὴν ἐξουσίαν μόνη της μετὰ τὸν Κωνσταντῖνον.Μετὰ δὲ τὴν σύστασιν καὶ τὴν τελείωσιν αὐτῆς τῆς Μονῆς, ἡ ὁποία ἔγινε διὰ κατοικίαν, τῶν ἔκτισαν καὶ ἄλλο μοναστήριον γιὰ κατοικίαν, γυναικῶν εἰς τόπον ἐπιτήδειον, μακρὰν ἀπὸ τὸ ἀνδρικὸν μοναστήριον. Ἔπειτα ὡσὰν καλοὶ πατέρες, ὅλα ἐκεῖνα τὰ ἀφιερώματα καὶ σιτηρέσια τῆς πρώτης Μονῆς, τὰ ἐμοίρασαν καὶ εἰς τὰ δύο μοναστήρια, ὡς εἰς δύο ἀγαπημένα τέκνα· καὶ ἔδωκαν εἰς κάθε ἕνα ὅσα ἦσαν ἀρκετὰ διὰ νὰ τρέφωνται οἱ ἐν αὐτῷ ἀσκούμενοι, ἔχοντες τὴν προστασίαν καὶ τὴν φροντίδα καὶ τῶν δύο αὐτῶν μοναστηρίων. Δὲν ὑπέφερεν ὅμως ὁ ἐχθρὸς τοῦ ἀνθρωπίνου γένους διάβολος τὰ βλέπῃ τέτοια πράγματα, νὰ βλέπῃ, λέγω, νὰ ἀνοίγωνται ἀγωνιστήρια τῆς ἀρετῆς καὶ μοναστήρια εἰς ψυχικὴν τῶν ἀνθρώπων σωτηρίαν. Ὅθεν διὰ νὰ ἐμποδίσῃ τὸ τοιοῦτο καλόν, παρεκίνησε τινὰς ἀπὸ τὴν Χίον διὰ νὰ συκοφαντήσουν τοὺς ἁγίους· καὶ δὴ τοὺς ἐσυκοφάντησαν, καὶ σηκοφαντίαν ὄχι παραμικρὰν καὶ ὑποφερτήν, ἀλλὰ μεγαλωτάτην καὶ ἀνυπόφορον· ἐκατηγόρησαν, λέγω, ὡς δυσσεβεῖς καὶ κακοδόξους τοὺς ἀσκητικωτάτους καὶ ὀρθοδόξους, καθὼς λέγει ρητῶς περὶ αὐτῶν ὁ ἀείμνηστος Βασιλεὺς Κωνσταντῖνος ὁ Δούκας εἰς τὸ ἰδικόν του χρυσόβουλλον. Ὅθεν οἱ διοικηταὶ ὁποῦ εἶχε τότε ἡ Βασίλισσα Θεοδώρα, χωρὶς νὰ ἔχῃ ἐκείνη εἴδησιν, ὡσὰν ὁποῦ ὡς γυνὴ ἦτο ἄπειρος καὶ τῶν ἱερῶν καὶ τῶν πολιτικῶν πραγμάτων, (1) ἀπεφάσισαν ἐξορίαν ἀδικον κατὰ τῶν ὁσίων, οἱ ἄδικοι καὶ παράνομοι.Τότε πλέον, ἀφοῦ ἔπαυσαν οἱ ἐξωτερικοὶ κόποι καὶ αἱ πολλαὶ φροντίδες, ὁποῦ εἶχαν εἰς τὰς οἰκοδομὰς τῶν μοναστηρίων οἱ εὐλογημένοι πατέρες καὶ ἔμελλαν νὰ ἡσυχάσουν καὶ νὰ καταγίνωνται πλέον εἰς μόνους τοὺς πνευματικοὺς καὶ νὰ καταγίνωνται πλέον εἰς μόνους τοὺς πνευματικοὺς καὶ νὰ καταγίνωνται πλέον εἰς μόνους τοὺς πνευματικοὺς ἀγῶνας, τότε, λέγω, ὅλον τὸ ἐναντίον ἔγινεν εἰς αὐτοὺς καὶ στέλλονται εἰς ἐξορίαν παρὰ πᾶσαν ἐλπίδα καὶ τὸ χειρότερον ἦτο, ὁποῦ δὲν εὐχαριστήθησαν εἰς μόνον τὴν ἐξορίαν, ἀλλὰ καὶ τὰ μοναστήριά τους τὰ ἤνωσαν μὲ τὸ οἰκοπροάστειον, (2) καὶ ἀκολούθως, τὰ Θεῷ ἀφιερωμένα μοναστήρια ἥρπασαν καὶ τὰ ἔκαμαν καὶ κοσμικὰ πράγματα. Ἔμειναν λοιπὸν εἰς τὴν ἐξορίαν οἱ μακάριοι, ἕως ὅτου ἐτελεύτησεν ἡ Βασίλισσα Θεοδώρα καὶ ὁ μετ' αὐτὴν βασιλεύσας Μιχαὴλ ὁ στρατιωτικὸς, καὶ τότε βασιλεύσαντος Ἰσαακίου τοῦ Κομνηνοῦ, εὗρον καιρὸν ἐπιτήδειον καὶ ἀνέφερον εἰς αὐτὸν τὴν ὑπόθεσίν τους· καὶ αὐτὸς ἐξετάζων τὰ πράγματα, ἐγνώρισε τὴν συκοφαντίαν καὶ τὴν ἀδικίαν ἐκείνην ὁποῦ τοὺς κατεδίκασαν. Ὅθεν τοὺς μὲν διοικοῦντας τότε τὴν βασίλισσαν Θεοδώραν ἐκατηγόρησε καὶ ἐμέμφθη, ὡσὰν ὁποῦ ἔκαμαν, καθὼς ὁ ἴδιος λέγει ἐν τῷ αὐτοῦ χρυσοβούλλῳ. ἐναντία εἰς τὰς διατάξεις καὶ τοὺς ἱεροὺς κανόνας,· αὐτὸς δὲ ὁ ἀοίδιμος, καὶ διὰ τὸ δίκαιον καὶ διὰ τὴν εἰς τοὺς ἁγίους εὐλάβειαν, καὶ διὰ τὴν τιμὴν τοῦ Κωνσταντίνου τοῦ κτήτορος, ὁποῦ εἶχε τὸ μοναστήρια πάντῃ ἐλεύθερα, καὶ μάλιστα διὰ τὸ Χρυσόβουλλον ὁποῦ εἶχε δώσῃ ἡ Ἰδία Θεοδώρα περὶ τῆς ἐλευθερίας τῶν μοναστηρίων,δι' ὅλα αὐτά, λέγω ἔδωκεν εἰς τοὺς ὁσίους νέον Χρυσόβουλλον ἰδικόν του, μὲ τὸ ὁποῖον ἀποσπᾷ τὰ μοναστήρια ἀπὸ τὸ οἰκοπροάστειον, καὶ τὰ ἀφίνει εἰς τὸν Θεὸν καὶ εἰς τοὺς Πατέρας ἐλεύθερα καὶ ἀνενόχλητα ἀπὸ παντὸς προσώπου, μὲ ὅλα τὰ πράγματα ὁποῦ εἶχαν, καὶ μὲ ὅλα τὰ προνόμια, μὲ τὰ ὁποῖα τὰ ἐτίμησεν ὁ ἀείμνηστος Κωνσταντῖνος πρότερον, καὶ τότε ὑπέστρεψαν οἱ μακάριοι Πατέρες καὶ ἡσύχασαν εἰς τὸ Μοναστήριόν τους, ἀφοῦ ἱκανῶς ἐταλαιπωρήθησαν εἰς τὴν ἐξορίαν· καὶ οὕτω διαπεράσαντες ἐκεῖ τὸ ὑπόλοιπον τῆς ζωῆς τους ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ μὲ τὰς συνηθεισμένας, ἀρετὰς πρὸς Κύριον ἐξεδήμησαν, πρῶτος ὁ θεῖος Νικήτας, κατὰ τὴν εἰκοστὴν τοῦ Μαΐου μηνὸς, ἔπειτα ἐν ἄλλοις καιροῖς καὶ οἱ ἄλλοι δύο, ὁ μακάριος Ἰωάννης, καὶ ὁ θεῖος Ἰωσὴφ· τὰ δὲ τίμια καὶ ἅγια αὐτῶν λείψανα ἐτέθησαν εἰς τὸν νάρθηκα τοῦ ναοῦ ὅπου λέγεται φιάλιον,(1) ὅπου καὶ τὴν φρικτὴν ἐκείνην θαυματουργίαν εἰς τοὺς βαρβάρους ἐτέλεσαν ὕστερον.

Ἔφοδοι καὶ καταδρομαὶ τῶν βαρβάρων ἐγένοντο τότε εἰς ὅλην τὴν νῆσον, ἦλθον δὲ μίαν φορὰν καὶ εἰς τὴν Μονὴν οἱ βάρβαροι ἐκεῖνοι "Αραβες, διὰ νὰ ἁρπάξουν ὅ,τι ἠθελαν ἠμπορέσῃ· καὶ ἐμβαίνοντες εἰς τὸν Ναόν, ἐπειδὴ δὲν ἠδυνήθησαν νὰ ἀνοίξουν τὸ καθολικόν, ἐμποδιζόμενοι ἀπὸ τὸν φόβον μιᾶς θαυμαστῆς καὶ μεγαλοπρεποῦς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ, ὁποῦ εἶναι ἐζωγραφισμένη μὲ ψηφὶ ἐπάνωθεν τῆς πύλης τοῦ καθολικοῦ, διὰ τοῦτο ἔδειξαν ὅλην των τὴν μανίαν καὶ τὴν βαρβαρότητα εἰς τοὺς νάρθηκας· ὅθεν ὅλην ἐκείνην τὴν ὁρθομαρμάρωσιν ὁποῦ εἶχον οἱ τοῖχοι μὲ ἀρίστην τέχνην καὶ εὐαρμοστίαν, τὴν ἔχάλασαν οἱ ἐπάρατοι, καὶ τὰ διαφανῆ ἐκεῖνα πορφυρόχροα μάρμαρα τὰ ἔπῆραν, ἦλθον δὲ καὶ εἰς τὸ μέρος ἐκεῖνο ὁποῦ εἶναι ἡ θήκη τῶν σεβασμίων λειψάνων τῶν ὁσίων ἀπὸ πορφυρόχρουν μάρμαρον, καὶ ἐκεῖ ὁποῦ ἐχαλοῦσαν τὰ πλησίον μάρμαρα δύο'Αράπηδες,καὶ ἀκόλουθον ἦτο πλέον νὰ ἀνοίξουν καὶ τὴν ἱερὰν ἐκείνην λάρνακα, ἔπεσεν εἰς τὴν γῆν ἀπὸ τὰς χεῖρας τοῦ ἑνὸς ἡ σμίλα καὶ ἐκεῖθεν, ὦ τοῦ παραδόξου θαύματος, ἐβγῆκεν ἔξαφνα μία φοβερὰ φλόγα καὶ ἐκατάφλεξε τοὺς τολμηροὺς ἐκείνους βαρβάρους καὶ ἔμεινε περιαδόμενον τὸ θαῦμα ἕως τὴν σήμερον· ἀκόμη καὶ ὁ τοῖχος φαίνεται καπνισμένος καὶ μαῦρος· ὁμοίως καὶ τὸ κλειδίον, φαίνεται κεκαυμένον· εἰς ἀπόδειξιν δὲ καὶ αἰωνίαν μνήμην τοῦ θαύματος, τὰ μὲν ἄλλα χαλασμένα μέρη τὰ ἐδιώρθωσαν ὕστερον, καὶ τὰ ἐζωγράφισαν, τὸ δὲ μερος ἐκεῖνο μένει χαλασμένον μέχρι σήμερον, καὶ ἀζωγράφιστον. Ἐφαίνετο μέχρι τῆς κιτασρροφῆς τοῦ 1822.

Μετὰ δὲ χρόνων πολλῶν παρέλευσιν, ἦλθεν ἀπὸ τὴν

(1) Καὶ τοῦτο ἐκ τοῦ χρυσοβούλλου Ἰσαακίου τοῦ Κομνηνοῦ.
(2) Ποῖον ἦτο αὐτὸ τὸ οἰκοπροάστειον, ἀγνοοῦμεν.

(1) Ἀπὸ τὰ ὁποῖα σώζεται μόνον ἡ μία κάρα, πλὴν ἄγνωστον τίνος τῶν τριῶν εἶναι.

ΕΘΝΙΚΟΝ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΚΕΝΤΡΟΝ ΠΑΠΥΡΟΛΟΓΙΑΣ

Κρήτην ἕνας ἱερομόναχος, Ἱερεμίας ὀνομαζόμενος, καὶ ἐζήτει τόπον ἁρμόδιον διὰ νὰ ἡσυχάσῃ, (καθὼς ἐν καιρῷ κινδύνου ὑπεσχέθη εἰς τὸν Θεόν)· καὶ λοιπὸν οἱ τότε εὑρεθέντες μοναχοί, τὸν ὁδήγησαν εἰς τὸ Προβάτειον ὄρος, εἰς τὸ ἱερὸν σπήλαιον ὅπου ἡσκήτευαν οἱ ὅσιοι, περὶ τοῦ ὁποίου πολλάκις εἴπομεν. Ὁ δὲ Ἱερεμίας εὑρὼν τὸν τόπον ἐπιτήδειον κατὰ τὸν σκοπόν του, ἔμεινεν ἐκεῖ· εὐλαβούμενος δὲ τὸ σπήλαιον ἐκεῖνο, ὡς ἱερὸν καὶ ἅγιον ἀπὸ τοὺς ἀσκητικοὺς ἀγῶνας τῶν ὁσίων, ἐγκαίνισεν αὐτό, καὶ καθιέρωσε καὶ εἰς Ἐκκλησίον τὸ μετεσκεύασεν, ἐπ' ὀνόματι τιμωμένην τῶν ὁσίων Πατέρων ἡμῶν Νικήτα Ἰωάννου, καὶ Ἰωσὴφ· ἔπειτα καὶ μερικὰ κελλία ἔκτισε, μονύδριον εἰς ἀσκητῶν κατοικίαν· τὸ ἑκατεσκεύασεν. Αὐτὸς λοιπὸν ὁ ἱερὸς Ἱερεμίας, ἐκεῖ ἡσυχάζων δὲν ἠξεύρω πόθεν ἐκτυπήθη ἀπὸ πανοῦκλαν καὶ αὐτὴ τοῦ ἐφαβέριζε θάνατον· ὅθεν ἀπελπισμένος ἀπὸ ἀνθρωπίνην βοήθειαν, κατέφυγεν εἰς τὴν ἀντίληψιν τῶν ἁγίων καὶ πηγαίνων μέσα εἰς τὸν Ναόν, ὅπως ἠμπόρεσεν, ἔπεσεν ἔμπροσθεν εἰς τὴν σεβασμίαν εἰκόνα των, καὶ μὲ θερμὴν δέησιν ἐζήτει τὴν ἐκείνων ἐπίσκεψιν· κείμενος δέ, ὀλίγαν ἀπεκοιμήθη. Καὶ ἰδοὺ φαίνονται ἐπάνωθέν του ἱστάμενοι οἱ τρεῖς ἅγιοι εὐλογοῦντες αὐτὸν καὶ τὴν νόσον ὁποδιώκοντες. Ὁ δὲ Ἱερεμίας ἀποτινάξας τὸν ἔλαφρὸν ἐκεῖνον ὕπνον, εὑρέθη ὅλως ὑγιής, δοξάζων τὸν Θεὸν παὶ τοὺς ὁσίους, τοὺς θείους αὐτοῦ εὐεργέτας. Ὅθεν τὸ μὲν πρὸς εὐχαριστίαν πρὸς τοὺς ἁγίους, τὸ δὲ καὶ εἰς μνήμην τοῦ θαύματος, ἐζωγράφισεν ἰδιοχείρως (τοῦτο γὰρ ἦν αὐτῷ ἐπιτήδευμα) τοὺς ἁγίους, κατὰ τὴν φανεῖσαν αὐτῷ ὀπτασίαν ἐπάνωθεν τῆς πόρτας τοῦ κελλίου του, τὴν θυσίαν καὶ πολλοὶ ἀκόμη τὴν σήμερον ἐνθυμοῦνται καὶ τὸ λέγουσι. Ταῦτα δὲ πάντα τὰ ἔργα τοῦ Ἱερεμίου εἰς τὴν ἄλωσιν τῆς πατρίδος κατεστράφησαν καὶ τὸ μονύδριον ἐρήμωσεν· ἐλθὼν δὲ ὁ γέρων Παχώμιος ἀπὸ τὰ Ἱεροσόλυμα, ἐκ τῆς Μονῆς τοῦ Ἁγίου Σάββα κατὰ τὸ 1868, ἀνεκαίνισε τὸ σπήλαιον καὶ εὐρυχωρότερον αὐτὸ κατεσκεύασε καὶ μετὰ τέμπλου καὶ μαρμάρου ἐκόσμησε καὶ ἄλλην ἐκκλησίαν εὐρυχωροτάτην μετὰ τρούλου ᾠκοδόμησε, καὶ τελείαν Σκήτην τὸ Μονύδριον ἐγκατέστησεν καὶ μὲ πολλὰ κελλία καὶ ξενῶνας ἐκαλλώπισεν. Οἱ δὲ ἀδελφοὶ τῆς Σκήτης ἔχουν ἔργον τὴν ζωγραφικὴν καὶ εἰς ἄλλας τινὰς συνήθεις τοῖς μοναχοῖς χειροτεχνικὰς ἐργασίας καταγίνονται.

Αὕτη εἶναι, ἀδελφοί μου χριστιανοί, ἡ ὁσία ζωὴ καὶ ἐνάρετος πολιτεία τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Νικήτα, Ἰωάννου καὶ Ἰωσήφ. Οὕτω μὲ ἀποστολικὸν ζῆλον, ὡς ἠκούσατε, ἀφῆκαν πάντα καὶ ἠκολούθησαν τῷ Χριστῷ οἱ μακάριοι, καὶ διὰ τὴν ἀγάπην του ἐκακουχοῦντο καὶ ἐταλαιπωροῦντο ἐπάνω εἰς τὸ Προβάτειον ὄρος οἱ θειότατοι, μὲ νηστείας, μὲ προσευχὰς ἀδιαλείπτους μὲ ἀγρυπνίας ὁλονυκτίους, ὑπομένοντες τοὺς παγετοὺς τοῦ χειμῶνος καὶ τοὺς καύσωνας τοῦ θέρους. Ὅθεν καὶ προφητικοῦ ἠξιώθησαν χαρίσματος, καὶ ἔχοντες παρρησίαν πρὸς τὸν Θεόν, τὸν οὐράνιον Βασιλέα, καὶ τὴν πρὸς τοὺς ἐπιγείους βασιλεῖς παρρησίαν, θαυμασίως ἐπλούτισαν, καὶ Ναὸν θαυμαστόν, ὡς ἄλλος Σολομών, ἔκτισαν, καὶ Μοναστήρια καὶ Κοινόβια, ὡς ἄλλος Εὐθύμιος καὶ Σάββας ὁ ἡγιασμένος καὶ Θεοδόσιος ὁ Κοινοβιάρχης ἐαύτησαν, καὶ μοναδικῆς ζωῆς τύπος καὶ ὑπογραμμός, ὡς ὁ μέγας Ἀντώνιος εἰς τὴν νῆσον ταύτην ἐφάνησαν· καὶ μὲ πόνους πολλοὺς μᾶς ἔκτισαν Ναὸν περικαλλέστατον καὶ μοναστήρια διὰ τὴν σωτηρίαν μας, καὶ ὅλην τὴν νῆσον ἐπλούτισαν ἀπὸ τὴν ἀρετήν των καὶ θεοσέβειαν· διότι ἡ εὐλάβεια ὅπου ἀνθεῖ μέχρι τὴν σήμερον ἐπάνω εἰς τὴν Χίον, ἀπὸ τὰς Σκήτας τῶν Ἁγίων Πατέρων καὶ ἀπὸ τὰ ἄλλα εὐαγῆ μοναστήρια πηγάζει. Χρεωστοῦμεν λοιπὸν εἴμεθα, ἀδελφοὶ Χριστιανοί, νὰ τοὺς ἀγαπῶμεν καὶ νὰ τοὺς σεβώμεθα, ὄχι μόνον διὰ τὰ ὅσα ἀγαθὰ μᾶς ἔγιναν πρόξενοι, ἀλλὰ καὶ διότι εἶναι προστάται μας καὶ παρακαλοῦσι τὸν Θεὸν ὑπὲρ ἡμῶν ἀδιαλείπτως.

Ἀλλ' ὦ Πατέρες τιμιώτατοι, σεῖς ὁποῦ πρῶτοι ἐστάθητε διδάσκαλοι τῆς ἀρετῆς καὶ μοναδικῆς ζωῆς καὶ πολιτείας εἰς τὴν νῆσον ταύτην, σεῖς ὁποῦ μυρίους κόπους ὑπεμείνατε. καὶ τὴν ἁγίαν εἰκόνα τῆς Θεοτόκου θαυμασίως εὑρόντες ἐπὶ τῶν τῆς μυρσίνης κλάδων, σεῖς ὁποῦ ἐσυστήσατε μοναστήρια καὶ λατρείαν καὶ δόξαν Θεοῦ καὶ σωτηρίαν τῶν ψυχῶν μας, μὴ παύσητε δεόμενοι τῆς Ἠναγίας καὶ προσκυνητῆς Τριάδος, νὰ μᾶς ἀξιώσῃ τῆς βασιλείας τῶν οὐρανῶν· ἧς ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ὡς ἐπέγνωτε, τὸν Κωνσταντῖνον ὅσιοι, τὰ σκῆπτρα δέξασθαι, αὐτῷ ἐλθόντες σπουδῇ, τὸν αὐτοῦ δακτύλιον ἐπεδεικνύετε, ὃς ἀνέμνησε, τῶν ἐν τῇ Λέσβῳ πρότερον πρὸς ὑμᾶς ἐπηγγελμένων.

Εὐγνωμόνως οὖν, Πατέρες ὁσιώτατοι, εὐθὺς ἀπέστειλεν, οἰκοδομῆσαι Ναόν, ὡς ὑμῖν ὑπέσχετο περικαλλέστατον ὃν ἀνέθετο τῇ μόνῃ Θεομήτορι, βασιλείου κράτους δεῖγμα.

Ὁσιώτατοι Πατέρες καὶ θειότατοι, πόθῳ γεραίρομεν, πόνους ὑμῶν τοὺς πολλούς, τῆς θείας ἀσκήσεως καὶ τοὺς καμάτους δέ, οὓς ὑπέστητε, κατά τε γῆν καὶ θάλασσαν, τῆς Μονῆς ἕνεκα ταύτης.

Θεοτοκίον.

Παναμώμητε Παρθένε καθικέτευε, ὃν ἐσωμάτωσας φιλάνθρωπον Ἰησοῦν, φυλάττειν τὴν ποίμνην σου ἐξ ἐπηρείας τε καὶ κακώσεως, ἐχθρῶν παντοίων, ἵνα Σε ὡς προστάτιδι γεραίρῃ.

Ὁ ἕτερος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Ποίαις ἀσμάτων εὐφημίαις, στεφανώσωμεν ἀξίως τοὺς ὁσίους· τοὺς προστάτας ἡμῶν καὶ θείους εὐεργέτας καὶ πρεσβευτὰς πρὸς Κύριον εὐπροσδέκτους εἰς αἰῶνας.

Ῥύσασθε ποίμνην τὴν τιμῶσαν, τὴν πανέρων καὶ θείαν ὑμῶν μνήμην, ἐξ ἐχθρῶν αἰσθητῶν καὶ νοητῶν, Πατέρες, καὶ ἐκ Θεοῦ αἰτήσατε τὴν εἰρήνην εἰς αἰῶνας.

Σῶμα νεκρώσαντες ἐν κόσμῳ, ἀπελάβετε ζωὴν τὴν αἰώνιαν, θεοφόροι, Χριστῷ συνόντες εἰς αἰῶνας καὶ σὺν ἀγγέλοις ψάλλοντες, ὁ Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον.

Ὄμματα νοῦν καὶ τὴν καρδίαν, Παναμώμητε, πρὸς Σὲ νῦν ἀνατείνω, προσβολιὸν Σου φωτὶ ὅλον καταύγασόν με καὶ πρὸς τὸ θεῖον θέλημα καθοδήγησον, Παρθένε.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Τύποι καὶ κανόνες ἐν τῇ Χίῳ, ἀσκήσεως πρῶτοι ὤφθητε, σεβάσμιοι, πάντων γὰρ ἀφέμενοι καὶ Χριστῷ ἑπόμενοι, ἀΰλως τε βιώσαντες πᾶσιν ἐγνώσθητε, μιγάσι καὶ μονάζουσι στάθμη, θείας πολιτείας καὶ οὐρανίου βίου.

Πρὸς σεβασμία τῶν ὁσίων, Τριάδα τὴν Παναγίαν ἱκετεύσατε, δοῦναι ἡμῖν ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, ὡς παῤῥησίαν ἔχοντες πολλήν, πανεύφημοι, δεήσεις πρὸς αὐτὴν ἀναφέρειν, ὑπὲρ τῶν τιμώντων τὴν θείαν ὑμῶν μνήμην.

Θεῖον θησαυρὸν θείων χαρίτων τὴν λάρνακα τῶν λειψάνων ἡμῶν ἅγιοι, ἔχοντες δοξάζομεν, τὸν ὑμᾶς δοξάσαντα, καὶ πίστει ἀσπαζόμενοι ἁγιαζόμεθα, ἡ θεία γὰρ τοῦ Πνεύματος χάρις, μένει ἀχωρίστως ἐν τοῖς ὑμῶν ὁστέοις.

Θεοτοκίον.

Σὺ μοῦ σκέπη εἶ καὶ προστασία, Παρθένε ἁγνή, ἀντίληψις καὶ λύτρωσις, τεῖχος καὶ ἀσφάλεια, ὅθεν μεγαλύνωσε, Μονὴ δ' ἡ σὴ κηρύττουσα τὰς δυναστείας σου, πρὸς ἅπαντας, ὅτι ἡ σὴ μύρτος, ἄφλεκτος ἐσώθη, ὥσπερ ἡ βάτος πάλαι.

Ὁ Ἕτερος. Τὸν ἐν ὄρει ἁγίῳ.

Πῷ ἀστέκτῳ, νῦν παρεστῶτες θρόνῳ, τῆς Τριάδος τρισάριθμοι Πατέρες τῇ τριλαμποῦς πληρούμενοι λαμπρότητος χαίροντες ὑμνεῖτε καὶ ὑπερυψοῦτε, αὐτὴν εἰς τοὺς αἰῶνας.

Ὑπερφώτου Τριάδος ταῖς ἀκτῖσι, τῶν ὁσίων ἡ τριφεγγὴς χορεία, ἐλαμπομένη σὺν ἀγγέλων τάγμασι, θείως γηθομένη, μέλπει ἀσιγήτως αὐτὴν εἰς τοὺς αἰῶνας.

Φεγγοβόλοις αὐγαῖς φωτὸς ἀδύτου, τῆς τριφώτου καὶ τριφεγγοῦς οὐσίας, Πατέρες θεῖοι καταγλαϋζόμενοι, ἄδοντες ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὴν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥῦσαι ποίμνην τὴν σοὶ ἀνακειμένην, Θεοτόκε πανύμνητε Παρθένε, ἐκ τῆς ὁρμῆς τοῦ νοητοῦ μὲ λέοντος, τοῦ ὀρυομένου, καὶ καταπιεῖν μὲ, ζητοῦντος καὶ ὀλέσαι.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Μὴ ἐκπλαγῇ, Πατέρες θειότατοι, τοὺς ὑπὲρ ἀνθρωπον, πόνους τῆς ἀ-

σκήσεως, καὶ τοὺς ἀγῶνας, οὓς διηνύσατε, νηστείαις καὶ δεήσεσιν ἐνασχολούμενοι, ἐνοικοῦντες, ᾠδαῖς κρημνώδεσι τῷ δὲ πόθῳ τῷ θείῳ πυρούμενοι.

Δέξασθε σεπτοί, ᾠδὴν ὑμνητήριον καὶ καταπέμψατε, τῷ δὲ ἐκπονήσαντι, καὶ τοῖς συμψάλλουσι χάριν ἄνωθεν, ὅπως ὀρθῶς διώσαντες ζωὴν αἰώνιον, θεοφόροι, δι' ἱκεσιῶν ὑμῶν, πρὸς χριστοῦ τοῦ Θεοῦ ἀπολαύσωσι.

Δέσποτα Χριστέ, πρεσβείαις δεξάμενος, τῆς κυησάσης σε καὶ τῶν ἄνω τάξεων, τῶν Ἀποστόλων καὶ τῶν Μαρτύρων σου, Ἱεραρχῶν ὁσίων τε, ἡμᾶς ἐλέησον, καὶ παράσχου ἄφεσιν τοῖς δούλοις σου, τῶν πολλῶν ἐγκλημάτων ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Δέσποινα ἁγνή, ὡς πάλαι ἐτήρησας τὴν μίτρον ἄφλεκτον, οὕτω τὴν Μονὴν τὴν σήν, φρούρει καὶ διαφύλαττε, ἐκ πάσης περιστάσεως ταῖς σαῖς δεήσεσιν, ἣν ὑμνῶμεν, καὶ πιστῶς δοξάζωμεν, Σὲ Παρθένε ἡμῶν προστατεύουσαν.

Ὁ Ἕτερος. Ἔφριξε πᾶσα ἀκοή.

Χαίρε σοι ἄδω ἐκ ψυχῆς, ὦ Τριὰς τῶν ἁσκητῶν θεοσύλλεκτε, καὶ θεοτίμητε, ἡ τὴν Τριάδα τὴν ὁμοούσιον, ἔργοις ἐνθέοις ἱερῶς, δοῦσα ἐδόξασας καὶ νῦν ἀπείληφας, τὰ βραβεῖα, τῶν σῶν πόνων ἐπάξια.

Ψάλλων ἐν Πνεύματι Δαβίδ, τῶν ὁσίων ὁ Θειότατος Θάνατος, τίμιος ἔναντι, ἔφη, Κυρίου, καὶ ὁ σοφώτατος, φάσκει δικαίων αἱ ψυχαί, χειρὶ ἐνυπάρχουσι, Θεοῦ, τοῦ σώζοντος, καὶ οὐ μὴ αὐτῶν καθάψηται βάσανος.

Ὦ σεβασμία μοι τριάς, ὦ χορεία τῶν ὁσίων θεόλεκτε, λαμπὰς ἡ τρίφωτος, Τριάδος θείας, θεῖοι θεράποντες τῷ ἐγκωμίοις ἱεροῖς, καὶ ὕμνοις δοξάσαντι ὑμᾶς πανεύφημοι, ὀφλημάτων ἐξαιτεῖτε τὴν ἄφεσιν.

Θεοτοκίον.

Οὐκ ἠδυνήθη τῆς φλογός, τῆς μυρσίνης τὸ κοχλάζον λυμήνασθαι, ἡ ὑπερβάλλουσα δύναμις Κόρη μόνη πανάχραντε, ὡς οὐδὲ πάλαι ἐν Σινᾷ τὴν βάτον οὐκ ἔφλεξεν, ἣ προετύπου Σε μυστικῶς τῷ Μωϋσῇ καὶ εἰκόνιζεν.

Ἐξαποστειλάριον.
Τοῖς μαθηταῖς συνέλθωμεν

Τὸν δρόμον διανύσαντες, ἁπλανῶς θεοφόροι, τῆς ἱερᾶς ἀσκήσεως, πρὸς σκηνώματα θεῖα, ἐφθάσατε καὶ σὺν πᾶσι τῶν ἁγίων τοῖς δήμοις, ἐνδόξως ἐσκηνώσατε καὶ τρυφῇς τῆς ἀληκτου, ἐν μετοχῇ, γενόμενοι πάντως τῇ ἀνεκφράστῳ, ἀγάλλεσθε μακάριοι, τῷ Θεῷ παρεστῶτες.

Μετὰ τῆς θεομήτορος, καὶ Παρθένου Μαρίας, Νικήτα παμμακάριστε, καὶ Ἰωσὴφ θεόφρον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ θείῳ παρεστῶτες, τῷ κόσμῳ τὰ σωτήρια, ἐξαιτεῖτε ἀπαύστως, καὶ τῇ αὐτῶν ποίμνῃ τὴν ὁμόνοιαν καὶ εἰρήνην, ἣν περιεποιήσασθε ἐν ἀτρύτοις καμάτοις.

Ἡ τὸ τῆς ἑορτῆς, εἰ τύχοι. Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν στυχηρὰ προσόμοια.

Ἦχος πλ. δ'.
Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Νικήτα Μακάριε, σὺ ὄντως νίκη Θεοῦ, ἐπαξίως ὠνόμασαι ὡς νικήσας ὅστις, τοὺς ἀσάρκους ὁ ἔνσαρκος· τὸν γὰρ σταυρόν σου ἀναλαβόμενος, τῷ θείῳ λόγῳ κατηκολούθησας, ἔχων ἀκλόνητον τὴν ψυχὴν καὶ ἄκαμπτον πρὸς πειρασμοὺς τοὺς ἐπαγομένους σοι ἐξ ἀοράτων ἐχθρῶν.

Ὦ Ἰωάννη Θεόσοφε, τῶν ἀρετῶν ἡ κρηπίς, μοναζόντων τὸ καύχημα, τῆς ἐνθέου χάριτος, ἐπαξίως ἐπώνυμος, ὁ τοῦ προδρόμου τοῖς θείοις ἴχνεσιν, ἀκολουθήσας καὶ μιμησάμενος, τὸ ὁρεσίτροφον, σὺν τοῖς θεοφόροις σου συνασκηταῖς, μεθ' ὧν νῦν ὑμνούμενος, ἡμῶν μνημόνευε.

Νενεκρωμένον με ζώωσον, ταῖς τῶν παθῶν προσβολαῖς, τεθαλμένον ἀνάστησον, Ἰωσὴφ πανάριστε τοῦ Παγκάλου ὁμώνυμε, τῆς σωφροσύνης στάθμη ἡ ἔνθεος ὁ καταισχύνας τὸν πολυμήχανον, ὄφιν τὸν δόλιον, καὶ τῆς Εὔας ὅστις τὸν πτερνιστήν, τὸν εἰς ὕψος ἄμετρον, κατακαυχώμενον.

Χαίρου τὰ θεῖα βλαστήματα, τὴν ἱερὰν πρὸς Θεὸν ἀπαρχὴν εὐφημήσωμεν ἱεροῖς φιλέορτοι, καὶ σεπτὸν ἀκροθώνιον, ἐν ἐτησίοις ὕμνοις, γεραίροντες, τοὺς τούτων ἄθλους καὶ τὰ παλαίσματα, καὶ τὴν τοῦ σώματος τῆξίν τε καὶ νέκρωσιν, δι' ὧν Χριστῷ προσφοραὶ προσήχθησαν λίαν εὐπρόσδεκτοι.

Δόξα, ἦχος πλ. δ'.

Τῶν Μοναστῶν ἡ πληθύς, τοὺς καθηγητὰς καὶ ἀρχηγοὺς ἡμῶν Πατέρας, ἀξίως τιμήσωμεν· οὗτοι γὰρ οἱ ἀξιοθαύμαστοι, τὴν στενὴν καὶ τεθλιμμένην τῆς ἀσκήσεως ὁδὸν ἀσφαλῶς ὁδεύσαντες, ζωὴν αἰώνιον καὶ ἀνάπαυσιν εὗρον ἄῤῥυτον καὶ τῆς μακαρίας ἐκείνης τοῦ Κυρίου φωνῆς, ἀκοῦσαι κατηξιώθησαν· εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοί, οἱ τῆς ἡμέρας τὸ βάρος βαστάσαντες, καὶ τὸ δοθὲν ἡμῖν τάλαντον αὐξήσαντες, εἰσέλθετε εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, αἰωνίως ἀγαλλόμενοι.

Καὶ νῦν τῆς ἑορτῆς, εἰ τύχοι. Δοξολογία Μεγάλη καὶ ἀπόλυσις· Εἰς τὴν λειτουργίαν τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος. Ὠδὴ γ'. καὶ στ'. Ἀπόστολος. Ἀδελφοὶ πείθεσθε τοῖς ἡγουμένοις ἡμῶν καὶ ὑπείκετε κτλ. Εὐαγγέλιον τοῦ Ἁγίου Ἀντωνίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάρια.

Πᾶ τῆς Χίου κλέη καὶ μοναστῶν, καύχημα ὁσίων, ἀγαλλέσθω τῶν πιστῶν, τὸν τίμιον Νικήταν, σὺν Ἰωσὴφ τῷ θείῳ καὶ Ἰωάννην πάντες ὕμνοις τιμήσωμεν.

Πρὸς τῶν μοναζόντων καθηγητάς, ἱερὸν Νικήταν, Ἰωάννην καὶ Ἰωσήφ, τοὺς ἀναφανέντας ἐν Χίῳ θείου βίου ὑπόδειγμα ἐν ὕμνοις ἀνευφημήσωμεν.

Πρέμνην τὴν τιμῶσαν ὑμᾶς σεπτοί, ὅστις Νικήτα, Ἰωάννη καὶ Ἰωσήφ, ἀσινῆ ἐκ πάσης διατηρεῖτε βλάβης, ταῖς πρὸς Θεὸν ἀλήκτοις ὑμῶν δεήσεσι.

ΜΕΓΙΣΤΟΣ ΒΙΒΛΙΟΔΙΑΚΟΣΜΗΤΟΡΗΣ ΠΑΠΑΣΤΑΜΟΥ

ΜΗΝ ΙΟΥΝΙΟΣ

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΜΑΡΚΟΥ ΤΟΥ ΝΕΟΥ

ΠΟΝΗΘΕΙΣΑ ΠΑΡΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

Τῇ 5 Ἰουνίου ἑορτάζομεν τὴν μνήμην καὶ τὴν ἄθλησιν, τοῦ Ἁγίου Μεγαλομάρτυρος Μάρκου τοῦ Νέου, τοῦ ἀπὸ Σμύρνης καταγομένου, καὶ ἀθλήσαντος ἐν Χίῳ ἐν ἔτει 1801 ἀπὸ Χριστοῦ.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν, ψάλλομεν τό, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ.η΄, καὶ ψάλλομεν Στιχηρὰ προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Λαμπρά τε καὶ εὔσημος, ἡμῖν ἐπέστη ἡ μνήμη σου, ἀθλοφόρε πολύαθλε, ἐνθέως φαιδρύνουσα, τὰ τῶν εὐσεβούντων, πρόσωπα καὶ πάντας, ὑμνεῖν ἐγείρουσα τοὺς σούς, Μάρκε ἀγῶνας, τοὺς ὑπὲρ πίστεως, δι' ὧν Χριστὸν ἐδόξασας, καὶ τὸν διάβολον �😀σχυνας, καὶ συράννων κατέβαλες, τὴν ὀφρῦν καὶ τὸ φρύαγμα.

Ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος, τοῖς ἐν Χίῳ ἐπέλαμψεν, ἡμῖν τοῖς ποθοῦσί σε, ἐν ᾗ τὸν ἀγῶνα, τὸν τοῦ μαρτυρίου, Μάρκε ἠγώνισαι στερρῶς, καὶ τοῦ ἐνδόξου τέλους τετύχηκας· διὸ σε μακαρίζομεν, καὶ ἐν ᾠδαῖς μεγαλύνομεν, Ἀθλητὴν ὡς ἀήττητον, καὶ ὡς μάρτυρα ἔνδοξον.

Ἡ Χίος ἡγίασται, καὶ ἀληθῶς μεμακάρισται, ἀρδευθεῖσα τοῖς αἵμασι, τοῖς σοῖς Μάρκε ἔνδοξε, καὶ νῦν γηθομένη, ἄγει σου τὴν μνήμην, τῆς τελειώσεως πιστῶς ἀνευφημοῦσα τοὺς θείους ἄθλους σου, δεσμὰ καὶ τὰ λακτίσματα, κολαφισμοὺς καὶ τὸν θάνατον, πρὸς Χριστὸν κεκτημένη σε, πρέσβυν ὄντως θερμότατον.

Μάρκε παναοίδιμε, συμπρεσβευτάς σου παράλαβε, τοὺς ἐν Χίῳ ἀθλήσαντας, καὶ Θεὸν δοξάσαντας, πρὸ σοῦ καὶ λαβόνας, στέφος ἀφθαρσίας, Ἰσίδωρον τὸν θαυμαστόν, σὺν τῇ Μυρόπῃ καὶ τὸν Θεόφιλον, Νικήταν καὶ Νικόλαον, καὶ Μανουὴλ τὸν ἀοίδιμον, καὶ πρεσβεύειν ποιήσατε ὑπὲρ ταύτης πρὸς Κύριον.

Ἕτερα στιχηρὰ Προσόμοια. Ἦχος δ΄.

Ποίοις εὐφημιῶν στέμμασι.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Μάρκον τὸν θεῖον, τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας ἀντίπαλον, τὸν ἐν παρρησίᾳ ἀπτοήτῳ, τὴν πλάνην, τῶν ἐκ τῆς Ἄγαρ στηλιτεύσαντα, τὴν πίστιν ἡμῶν τὴν θείαν ἀνυψώσαντα, καὶ ὑπὲρ αὐτῆς σφαγιασθέντα, καὶ δὴ προσαχθέντα ὥσπερ σφάγιον λογικόν, Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ ἔχοντι τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τὸν θεῖον Μάρκον, τὸν Χριστοῦ ὁπλίτην στερρότατον, καὶ τῆς Νήσου Χίου τὸν Ἔφορον, τὸ τῶν νεοάθλων μέγα κλέος· τὸ πάντων τῶν εὐσεβούντων ἀγαλλίαμα, καὶ λύπην τῶν ἀσεβούντων ἀθεράπευτον, τὸν θαυμασίοις ποικίλοις, δοξασθέντα παρὰ Θεοῦ, ὃν ἐκήρυξε λαμπρῶς, καὶ ἀθλῶν ἐδόξασε, τὸν ὄντως ὑπερένδοξον.

Ποίοις οἱ ἐπὶ γῆς στόμασιν, εὐφημήσωμεν τοὺς σοὺς ἀγῶνας, οὓς ὑμνοῦσιν ἄνωθεν Ἄγγελοι, καὶ δικαίων πάντων τὰ τάγματα. Μάρκε νεοάθλων ἡ ἀκρότης· δεσμά τε κολαφισμοὺς καὶ τὰ λακτίσματα, τὰς ὕβρεις, καὶ ἀπειλὰς καὶ τὰ ραπίσματα, καὶ τὴν ἐκκοπὴν τῆς κάρας· δι' ὧν ἐπαξίως, ἐμεγάλυνας τὸν Χριστόν, καὶ τοὺς ἐχθροὺς ἄμφω ᾐσχυνας.

Δεῦτε τῶν πιστῶν ἡ ὁμήγυρις, δεῦτε συγκροτήσωμεν χορείαν, ἡλικία πᾶσα συνδράμωμεν, νέοι σὺν πρεσβύταις συνέλθωμεν, καὶ δοξάσωμεν ἐν θείοις ὕμνοις, τὸν Μάρκον, Νεομαρτύρων τὸ ἀγλάϊσμα, τὸν πάλαι ἐναθλήσαντων τὸν ἰσότιμον, τὸν τοῦ ἐχθροῦ καθαιρέτην, τὸν σοφὸν τῆς πλάνης, τῶν ἐξ Ἄγαρ στηλιτευτήν, καὶ τῆς ἀκραιφνοῦς ἡμῶν εὐσεβείας θεῖον κήρυκα.

Δόξα. Ἦχος πλ. δ΄.

Τὴν τῶν μαρτύρων καλλονήν, καὶ ἱερὰν προθήκην, τὸ Σμύρνης θεῖον βλάστημα, καὶ Χίου τὸν προστάτην, ἐν ᾠδαῖς ἁσμάτων εὐφήσωμεν πιστοί· χαίροις αὐτῷ ἀναβοῶντες, στρατιῶτα τοῦ οὐρανίου βασιλέως, ὁ κατ' ἐχθρῶν αἰσθητῶν καὶ νοητῶν, νίκης ἀράμενος τρόπαια λαμπρά· χαίροις ὁ τὸν Χριστὸν δοξάσας θεοπρεπῶς, καὶ τὸν τῆς κρατούσης πλάνης ὑφηγητὴν καταισχύνας, τῇ θεοσοφίᾳ τῶν λόγων σου· χαίροις ὁ στερρὸς ἀθλητής, καὶ γενναῖος τῆς εὐσεβείας ἀγωνιστής, Μάρκε πανοσίδιμε, ὁ τὴν ἀσύγκριτον ἀγάπην, πρὸς Χριστὸν ἐνδειξάμενος. Ὃν καθικέτευε, κοινωνὸς τῶν αὐτοῦ παθημάτων, καὶ σύμμορφε τῷ θανάτῳ αὐτοῦ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τὶς μὴ μακαρίσει σε.

Εἴσοδος τὸ, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Ζήτει εἰς τὴν ἀκολουθίαν τοῦ Ἁγίου Ἰσιδώρου, 14 Μαΐου, ἢ τοῦ Ἁγ. Θεοδώρου, σελὶς 13.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.

Ὡς μέγας, ὡς πολύς σου ὁ πόθος, Μάρκε πανθαύμαστε, τὸ σὸν αἷμα διεκχέαι ὑπὲρ Χριστοῦ· δι' ὃ τοῦ πόθου τυχεῖν ἐφιέμενος, πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας ηὐτομόλησας. Οὓς ἀνδρικῶς διανύσας ἔνδοξε, καὶ τὴν κάραν ἐκτμηθείς, ἔστης νῦν τοῦ πόθου, Χριστὸν ἀπολαβὼν τὸν σὸν ἔρωτα ᾧ πρεσβεύων μὴ διαλείπῃς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν θείαν μνήμην σου.

Ὁ αὐτός.

Τὰ εἴδη τῶν βασάνων, ἃς ἐπόθεις ὑπενεγκεῖν προλέγων τοῖς συνοῦσί σοι, φαιδρὸς ὅλως ἐδείκνυσο, τοῦ προσώπου θάλλοντος, γενναιότατε· δι' ὃ καὶ τοῦ καιροῦ ἐπιστάντος τοῦ πάθους σου, τὰς κολάσεις ὡς τρυφὰς ἐλογίζου, καὶ χαρμοσύνως, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθην, ἐμελῴδεις τῷ Χριστῷ, καὶ ὡς ἀμνὸς ἄκακος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· ὃν καθικέτευε. Μάρκε μαρτύρων δόξα, ὡς ἔχων παρρησίαν πρὸς αὐτόν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Οὐκ ἱκανά μοι, ἀοίδιμε, τὰ τῆς μετανοίας δάκρυα, τοῖς προσβάλλουσιν ἐντελεγξεῖ, εἰς τὸ ἐκπλύναι μου τὰς τῆς

ἀρνήσεως κηλίδας, ἀλλὰ τοῖς αἵμασί μου καθαρισθήσομαι,καὶ ὅλος τῷ Χριστῷ καθαρὸς ὀφθήσομαι, καὶ ὃν ἐνώπιον τῶν ἀνθρώπων ἠρνησάμην ἀφρόνως, ἀνομολογήσω νῦν ἐμφρόνως, ἵνα μετ᾽ αὐτοῦ ἐνώπιον ὁμολογήσῃ, καὶ τῆς Βασιλείας αὐτοῦ, μέτοχον ἀπεργάσηται.

Ἦχος γ΄.

Διῶκε τὸ παθεῖν, καὶ τοῦ θανεῖν ὑπὲρ Χριστοῦ λίαν ἐφίεμαι, τοῖς συλλαλοῦσί σοι, Μάρκε, προέλεγες· καὶ εἰς οὐρανοὺς ἐνατενίζων, τάχυνον Κύριε, τοῦ κόσμου τούτου ἐξαγαγεῖν με, στένων καὶ θρηνῶν ἐβόας τρισόλβιε. Νῦν οὖν τοῦ πόθου τυχών, δυσώπει ὑπὲρ ἡμῶν τὴν αὐτοῦ ἀγαθότητα.

Ἦχος δ΄.

Τὴν ἐτήσιον μνήμην τελοῦντες, τῆς σῆς ἐνδόξου ἀθλήσεως, Μάρκε πανοσίτατε, τοὺς εὐκλεεῖς σου ἀγῶνας γεραίρομεν· τὰς ἐν εἱρκτῇ στρεβλώσεις, τοὺς αἰκισμούς, τὰ λακτίσματα, τοὺς κολαφισμούς τε καὶ τὰ ραπίσματα, καὶ τελευταῖον τὸν ἀοίδιμον θάνατον· ἃ σοι πάντα, εἰς πρεσβεῖαν προσάγοντες, αἰτούμεν ρυσθῆναι διὰ σοῦ, ἐκ παντοίων θλίψεων.

Δόξα Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν γηθόμενοι, καὶ χορεύσωμεν ἀγαλλόμενοι,ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐνδόξου ἀθλήσεως, Μάρκου τοῦ ἀρτιφανοῦς Ἀθλητοῦ. Οἱ Ἱερεῖς καὶ Θῦται συνελθέτωσαν,καὶ τὸν τῷ Χριστῷ θυσίαν ἑαυτὸν προσαγαγόντα, ἀνυμνήτωσαν· τῶν πιστῶν ἡ πληθὺς συντρεχέτωσαν, καὶ τὸν τῆς πλάνης στηλιτευτήν, τῆς δὲ ἀκραιφνοῦς ἡμῶν πίστεως κήρυκα εὐφημητωσαν· οἱ ἐν νόσοις παντοδαπαῖς, τὸν ἄμισθον ἰατῆρα· οἱ ἐν ποικίλοις πάθεσι, τὸν τῶν παθῶν ἀνατρέπτην· τυφλοῖς γὰρ τὸ βλέπειν παρέχει, χειρωνίτας τὴν πάρεσιν,μαστῶν γυναῖος κατασταλλεῖ τὴν φλεγμονὴν καὶ ποδῶν ἐξοιδουμένων καθαιρεῖ τὸ οἴδημα συνετίζει μωραίνοντας, καὶ κωφοῖς τὴν εὐηκοΐαν δωρεῖται. Πάντες οὖν δεόμενοι αὐτοῦ, μετὰ συντετριμμένης καρδίας εἴπωμεν· Μάρκε τῶν Μαρτύρων τὸ σεπτὸν ἐγκαλλώπισμα. καὶ ἱερὰ προσθήκη. ὁ τῆς ἡμῶν πατρίδος ἔρρυτος. καὶ ἀκαταίσχυντος προστάτης. προφθάσας ἐξελοῦ ἡμᾶς. ἐκ τῶν τοῦ βίου κινδύνων. καὶ τὸν τῆς δουλείας ζυγὸν κρύψισον,ταῖς πρὸς Θεὸν ἱκεσίαις σου

Καὶ νῦν, τῆς Θεοτόκου. Σαλπίσωμεν ἐν σάλπιγγι.

Ζήτει εἰς τοὺς Αἴνους τοῦ Ἁγίου Νικολάου.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ στρατιώτης Χριστοῦ, ὁ ἐν τοῖς Μάρτυσι κλεινὸς καὶ περίδοξος, τῆς πλάνης ὁ καταλύτης. Ἀγαρηνῶν τῆς δεινῆς,καὶ τῆς εὐσεβείας θεῖος πρόβολος, ὁ ῥώμῃ τοῦ πνεύματος,τῶν δαιμόνων τὰς φάλαγγας, ἀποσοβήσας. καὶ ἁπάσας τρεψάμενος, καὶ δεξάμενος, ἐκ Θεοῦ στέφος ἄφθαρτον. Μάρκε ὁ νοῦς ὁ εὔτονος, καὶ ὅλως ἀπτόητος,ὁ τροπαιοῦχος ὁ μέγας, τῆς τοῦ Χριστοῦ παρατάξεως, πιστῶν ὁ προστάτης, καὶ κραταίωμα καὶ σθένος, καὶ θεῖον ἔρεισμα.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει

Δόξα τῷ ἐν ὑψίστοις Θεῷ, τῷ εὐδοκήσαντι ἐν Νίκῃ ἀθλῆσαί σε, καὶ στήριγμα ἐν τῇ πίστει τοῖς εὐσεβέσι στερρόν, ἀναδείξαντί σε, Μάρκε ἔνδοξε, καὶ φύλακα ἄγρυπνον πολιοῦχον καὶ ἔρρυτον, θερμὸν προστάτην καὶ ταχὺν ἀντιλήπτορα ἐπιστήσαντι, τοῖς οἰκήτορσιν ἅπασι, ῥύστην πάντων ὀξύτατον δεινῶν τοῖς αἰτοῦσί σου, μετ᾽ εὐλαβείας τὴν χάριν, καὶ ἐν ταῖς νόσοις τὴν ἴασιν καὶ γὰρ πᾶσι πάντα τὰ αἰτήματα παρέχεις τῇ μεσιτείᾳ σου.

Στιχ. Πεφωτισμένος ἐν τῷ φωτὶ Κυρίῳ.

Πάρεσο ἀοράτως ἡμῖν, τοῖς ἐν ᾠδαῖς τοὺς σοὺς ἀγῶνας δοξάζουσι, Μάρτυρων νέων ἡ δόξα καὶ παλαιῶν ἱερόν, Ἀθλοφόρε Μάρκε, ἐγκαλλώπισμα· καὶ ἕλεως ἔπιδε, καὶ εὐσπλάγχνως ἐπίσκεψαι, τοὺς ὑμνητάς σου, καὶ ἑκάστῳ τὰ πρόσφορα καὶ σωτήρια σαῖς λιταῖς πρὸς τὸν Κύριον, δώρησαι εὐσυμπάθητε καὶ κόσμον εἰρήνευσον, καὶ τὰ τιμῶντά σε πλήθη, ἐκ λοιμικῆς νόσου φύλαττε ἀτῶν σῶν λειψάνων τὴν σορὸν κυκλοῦντα πόθῳ, τελεῖ τὴν μνήμην σου.

Δόξα Ἦχος δ΄.

Μετρωμένος ὅλος, τῇ πρὸς Χριστὸν τελειοτάτῃ ἀγάπῃ, Μάρκε πανθαύμαστε, πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας ῥωμαλαίῳ φρονήματι ἠυτομόλησας, τοῦ σώματος μὴ φεισάμενος. Διὸ καὶ τὰ σκέλη διασπώμενος, λακτιζόμενός τε, καὶ ἐν ὅλῳ τυπτόμενος τῷ σώματι, ἔχαρες καὶ εὐφροσύνης ἐπληροῦτό σου τὸ σῶμα, καὶ Χριστὸν ἐμεγάλυνας, τὸν ἰσχύν σοι δωρούμενον· ὃν τελευταῖον ἐδόξασας, τῇ ἐκτομῇ τῆς σῆς θεόφρονος κεφαλῆς, καὶ τῇ ἐκχύσει τοῦ πανιέρου σου αἵματος. Παρρησίαν οὖν ἔχων ἀθλητικὴν πρὸς αὐτόν, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.
Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Πᾶσαν εὐφρανας τὴν νῆσον Χίον,Μάρτυς ἔνδοξε, Μάρκε θεόφρον, ἀναρρήξας λαμπρῶς τὴν εὐσέβειαν, καὶ καταισχύνας τὴν πλάνην τὴν βέβηλον. ἐν τοῖς σοῖς ἄθλοις θεόσοφε. Ὅθεν οὖν ἔτυχες ὑπὲρ ἐπόθεις ἀοίδιμε, μνημόνευε ἡμῶν τῶν εὐφημούντων σε.

Δόξα Ἕτερον ἀπολυτίκιον. Ἦχος δ΄.
Ταχὺ προκατάλαβε.

Θεός σε ἐδόξασεν ἐν οὐρανῷ καὶ ἐνῷ, Μαρτύρων ἀγλάϊσμα καὶ κλέος Μάρκε λαμπρόν, δι᾽ ὃ τοῖς τελοῦσί σου, πόθῳ τὴν θείαν μνήμην, καὶ πιστῶς προσκυνοῦσι θήκην τὴν τῶν λειψάνων, τὴν σὴν παράσχου, δεόμενος Χριστοῦ ὑπὲρ αὐτῶν, τοῦ λυτρωθῆναι κινδύνων καὶ θλίψεων.

Καὶ νῦν, Θεοτόκε Παρθένε·

Ἐν τῷ Ὄρθρῳ. Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τῇ σὲ Ἀθλητά, οὐ κατέκρυψε Μάρκε, ἀλλ᾽ ἡ τοῦ οὐρανοῦ ὑπεδέξατο δόξα, ἠνοίγη σοι παράδεισος. καὶ τρυφὴ ἡ ἀπόλαυσις, ἡ ἀνέκφραστος, δεδώρηταί σοι, παμμάκαρ, ἧς τοὺς δούλους σου, τοὺς σὲ πιστῶς εὐφημοῦντας, τυχεῖν καθικέτευε.

Δόξα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἀναθλήσας ἀνδρικῶς, Μάρκε θεῖε, τὴν εὐσέβειαν τρανώσας σοῖς λόγοις. καὶ στηλιτεύσας πλάνην δυσσεβῶν Ἀγαρηνῶν καὶ τῆς καρτερίας σου τρώσας πάντας τῷ ξίφει. καὶ τοῖς τῶν αἱμάτων σου θείοις ῥείθροις βυθίσας, καὶ ἀποπνίξας ἄμφω τοὺς ἐχθρούς.τοὺς σὲ τιμῶντας ἀεὶ διαφύλαττε.

Καὶ νῦν. Θεοτοκίον.

Χριστιανῶν ἡ ἀψευδὴς σωτηρία, ἀμαρτωλῶν ἡ ἀραγὴς προστασία, ἡ κραταιὰ βοήθεια ἡμῶν καὶ προσφυγή, σῶσόν με προσφεύγοντα σοί παναμωμε Κόρη, σκέπασόν με πτέρυξι, ἁγίας σου σκέπης, καὶ τῆς ψυχῆς μου πρόστηθι ἐκεῖ καὶ ἐκδημούσῃ τῶν τῇδε παράστηθι.

Μετὰ τὴν δ΄. Στιχολογίαν.
Κάθισμα Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ

Ὑπὸ ἀνεῖν ὑπὲρ Χριστοῦ, μᾶλλον τοῦ ζῆν ἐπιποθῶν, ηὐτομόλησας στερρέ, πρὸς τοὺς ἀγῶνας ἀνδρικῶς, οὓς διανύσας γενναίως θεία ἰσχύϊ, διέκοψας ἐχθρῶν, Μάρκε τὰς φάλαγγας, καὶ τρόπαια λαμπρά, ἤγειρας ἔνδοξε, καὶ στέφος τὸ τῆς νίκης ἐκομίσω, παρὰ τοῦ πάντων δεσπόζοντος· δι᾽ ὃ σοῦ πάντες, τὴν θείαν μνήμην, ᾄσμασιν εὐφημοῦμεν.

ΕΥΑΓΓΕΛΙΚΟΣ ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ ΑΓΙΟΓΡΑΦΙΚΟΣ ΟΜΙΛΟΣ ΑΓΙΟΣ ΝΙΚΟΛΑΟΣ ΠΑΤΡΑΣ

Δόξα. Ἐπιφάνης σήμερον.

Πρὸς πιστῶς τελοῦντάς σου τὴν θείαν μνήμην, καὶ τὰ θεῖα λείψανα, ἀσπαζομένους εὐλαβῶς, σῶσον ταῖς σαῖς πρὸς τὸν Κύριον, Μάρκε, πρεσβείαις, ἐκ πάσης κακώσεως.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πύρινε τοῦ βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων σε Κόρη πανύμνητε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Τὴν σοφίαν καὶ λόγον.

Τὴν σοφίαν ἐξ ὕψους Μάρκε λαβών, ἣ πυρίναις ἐν γλώσσαις τοὺς μαθητάς, ἐστόμωσε σοφίσασα, τὴν αὐτῶν πρώην ἄγνοιαν, τὴν μὲν κρατοῦσαν πλάνην, ἐξήλεγξας ἄριστα, Ἀγαρηνῶν ἀνόμων, τὴν δὲ χριστεπώνυμον, πίστιν καὶ λατρείαν, ἐτρανώσω πανσόφως. Τριάδα ὁμοούσιον, Θεὸν εἶναι τοῦ σύμπαντος, καταγγέλλων φεσπνευστε, καὶ τῷ θείῳ πόθῳ αὐτῆς, σωματος τρισμάκαρ μὴ φεισάμενος, ἀπεσμήθης τὴν κάραν τὴν ὄντως θεόφρονα.

Δόξα, Τὸ προσταχθὲν μυστικῶς.

Τῷ τῆς Τριάδος θείῳ θρόνῳ παριστάμενος, μετὰ Ἀγγέλων καὶ μαρτύρων θείοις τάγμασι καὶ Δικαίων ἁπάντων Μάρκε θείοις δήμοις, καὶ αἴγλης τῆς ἀνεσπέρου καταπρυφῶν, καὶ δόξης τῆς ἀνεκφράστου καὶ ὑπὲρ νοῦν, κοινωνῶν πάντων μέμνησο, τῶν προσκυνούντων πιστῶς, λειψάνων σου τὴν λάρνακα καὶ ὑμνούντων τοὺς ἄθλους σου.

Καὶ νῦν Θεοτοκίον.

Τὸ ἀλατόμητον πιστοὶ καὶ θεῖον ὄρος, τὸ καθαρώτατον παλάτιον τοῦ λόγου, τὸν πυρίμορφον θρόνον τοῦ παμβασιλέως, τὴν τράπεζαν καὶ λυχνέαντὴν χρυσαυγῆ, τὴν γέφυραν τὴν μεστάγουσαν πρὸς ζωήν, τὴν οὐράνιον κλίμακα, τὴν Θεοτόκον Μαριάμ, ὑμνήσωμεν κραυγάζοντες· χαῖρε Νύμφη ἀνύμφευτε.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄, Ἦχου, Προκείμενον Δίκαιος ὡς φοῖνιξ ἀνθήσει Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Τὸ πᾶσα πνοή. Εὐαγγέλιον μαρτυρικόν. Δόξα τοῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἰς τὸ ἐλέησόν με ὁ Θεός, τὸ Ἰδιόμελον, πρὸς τό, Ἀναστὰς ὁ Ἰησοῦς.

Δανύσας ἱερῶς, τὸν θεῖον δρόμον τοῦ Μαρτυρίου, νῦν ἐν οὐρανοῖς, ἀγγέλοις συσκηνῶν, αἴτησαι ἡμῖν τὸ θεῖον ἔλεος.

Εἶτα οἱ Κανόνες. Τῆς Θεοτόκου εἰς στ΄ καὶ τοῦ Ἁγίου εἰς η΄. Ὁ α΄. Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ ά. Ἦχος ά. Ἀναστάσεως ἡμέρα.

Ἀγαλλόμενοι ἐνθέως, ἐν τῇ μνήμῃ σῇ σοφέ, Μάρκε Μαρτύρων κλέος, καὶ ἀκροθίνιον σεπτόν, τοὺς ἀγῶνας ἐν ὡδαῖς, ἁσμάτων τοὺς σούς, ὑμνοῦμεν δοξάζοντες, τὸν σὲ ἐνισχύσαντα.

Τῇ χαρμοσύνῳ ἡμέρᾳ, Ἀθλοφόρε Χριστοῦ, Μάρκε νῦν ἐπιστᾶσα, τῆς τελειώσεως τῆς σῆς, συναγείρει τοὺς λαοὺς ἐνθέως εἰς ἕν, ὑμνῆσαι τῶν ἄθλων σου, τὸ κλέος ἐν ἅσμασιν.

Κοινὴ φιλοτιμία, τῆς πατρίδος ἡμῶν, Μάρκε σὺ πέλεις ὄντως, ὡς ἐναθλήσας ἐν αὐτῇ, καὶ τῶν ἄθλων ταῖς αὐγαῖς, λαμπρύνας φαιδρῶς· διὸ ὁ ἀγαλλόμενοι, νῦν τὴν μνήμην τελοῦμέν σου.

Θεοτόκιον.

Πανεγία Θεοτόκε, τῶν πιστῶν ἡ ἐλπίς, σθένος τῶν Ἀθλοφόρων, καὶ ἡ ἀήττητος ἰσχύς, σὺ ὑπάρχεις ἀληθῶς, ἡ σῶμα καὶ νοῦν, Μάρκου τοῦ στερρόφρονος, ταῖς εὐχαῖς σου νευρώσασα.

Ἕτερος Κανών, Ὠδὴ ά.
Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Παῖς θείαις ἐλλάμψεσι, τῆς τρισηλίου θεότητος, τὸν νοῦν μου καταύγασον, Μάρκε πανεύφημε, τοῦ ὑμνῆσαί σου, τὴν μνήμην ἐπαξίως, ἱερεῖς ἐν ἄσμασι τὴν θεοδόξαστον.

Ἐμφρόνως κατέλιπες, τὴν γῆν καὶ πάντα ὡς σκύβαλα, ἡγήσω τὰ γήϊνα, καὶ τὰ οὐράνια, ἐπεπόθησας, παμμάκαρ καὶ ἠλλάξω, ῥεόντων τὰ μένοντα καὶ αἰωνίζοντα.

Θρήνοις τε καὶ δάκρυσι, προκαθαρθεὶς Μάρκε ἔνδοξε, κηλίδας ἀπέπλυνας τὰς τῆς ἀρνήσεως, εἶτα ἔρωτα συνέλαβες ἐνθέως, τοῦ καὶ διὰ αἵματος γενέσθαι τέλειος.

Θεοτοκίον,

Νεκρώσεως σύμβολον, καὶ πρὸ θανάτου ἐνδέδυσαι, καὶ Παύλῳ συνέκραζες, Χριστοῦ τὴν νέκρωσιν, ἐν τῷ σώματί, βαστάζω Θεοτόκε, τοῦ ἐνανθρωπήσαντος ἐκ σοῦ Θεόνυμφε.

Ὠδὴ γ΄. Δεῦτε πόμα πίωμεν καινόν.

Δεῦτε παντες ἄσωμεν Χριστῷ, ἐπινίκιον ὕμνον τῷ ἐνισχύσαντι, τὸν ἑαυτοῦ Ἀθλητήν, νικῆσαι τὰς φαλαγγας ἐχθρῶν, Μάρκον τὸν θεόφρονα.

Ῥωμαλαίως ὥρμησας στερρέ, πρὸς ἐνθέους ἀγῶνας καὶ ηὐτομόλησας, καὶ ἐναθλήσας λαμπρῶς, λαμπρὰ τὰ βραβεῖα πρὸς Χριστοῦ, τῶν ἄθλων ἀπείληφας.

Τῷ ὅπλῳ φραξάμενος Σταυροῦ, πρὸ βημάτων ἀθέων παρέστης ἔνδοξε καὶ διατόρῳ φωνῇ, Χριστὸν μὲν ἐκήρυξας Θεόν, τὴν δὲ πλάνην ἤσχυνας.

Θεοτοκίον.

Εἱρκτῆς ἐντρυφῶν τοῖς ἀλγεινοῖς, ἐν κατανύξει θείᾳ σου, ὦ Θεόνυμφε, τὰ μεγαλεῖα ὑμνῶν, ὁ φίλος σου Μάρκος ἐν ᾠδαῖς θείαις οὐ διέλειπεν.

Ἕτερον. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Πᾶ εἶδη προλέγων τῶν βασάνων, ἃ Μάρκε ἐπόθεις ἐνεγκεῖν, φαιδρῶς ὅλως ἐδείκνυσο, πυρὶ τοῦ θείου ἔρωτος, πυρούμενος μακάριε, καὶ ἔνθους ὅλος γινόμενος.

Τῷ ὅπλῳ Σταυροῦ καθωπλισμένος, εἰσῆλθες καὶ ἔστης σταθερῶς, πρὸ δικαστῶν πανθαύμαστε, τυράννων καί ἐκήρυξας, ὃν ἐξηρνήσω πρότερον, Χριστὸν Θεόν τε καὶ ἄνθρωπον.

Τυράννους ἐξεπλήξας κηρύξας, Θεὸν εἶναι μόνον τῶν Χριστόν, καὶ τὴν αὐτῶν ἀσέβειαν, ἐλέγξας ἀξιάγαστε· ὅθεν εἱρκτῇ παρεδώκαν, καὶ ταῖς ἐκεῖσε κολάσεσι.

Θεοτοκίον.

Τοὺς πόδας δεινῶς ἐν ποδοκάκῃ, τυράννων ὠμότης δυσσεβῶν, τὸν Μάρκον ἐγκατέκλεισεν· ὁ δὲ χαίρων, πανύμνητε, τοῖς ἱεροῖς σου ἄσμασι, σὲ Θεομῆτορ ἐδόξαζε.

Κάθισμα, Ἦχος γ΄. Θείας πίστεως.

Χαίρων ἔφερες, ξύλου τὴν ὄλεθρον, καὶ τὴν κάκωσιν, Μάρκε στερρόφρων, καὶ τὰς ὀδύνας τρυφὰς λογιζόμενος, τὸ ἐν καμίνῳ τῶν παίδων ἀνέμελπες, μέγιστον θαῦμα καὶ ὕμνον ἐπάξιον, ἀγαλλόμενος, Θεῷ ἀναπέμπων ἔνδοξε, ἐτέλεις ἐν εἱρκτῇ καρτερώτατε.

Δόξα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Πριττῶς ἐρωτηθείς, πρὸς κριτὸν παρανόμων, ἐκήρυξας τρανῶς, τῆς Τριάδος τὴν δόξαν Πατρός, Υἱοῦ καὶ Πνεύματος, καὶ τὴν πλάνην ἐξήλεγξας, Μάρκε ἔνδοξε, καὶ αἵματί σου τῷ θείῳ ἐπεκύρωσας, τὸ ἱερώτατον σέβας, τοῦ μόνου Θεοῦ ἡμῶν.

ΕΘΝΙΚΟΝ ΜΕΣΟΒΙΟΝ ΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΜΙΧΑΗΛ ΤΣΟΡΗΣ ΠΑΠΑΓΙΑΝΝΗΣ

Καὶ νῦν, Θεοτοκίον.

Λυχνία χρυσαυγὴς τοῦ ἡλίου τῆς δόξης, λαμπὰς λευκοφανὴς τοῦ φωτὸς τοῦ ἀδύτου νεφέλη πυρσεύουσα, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τῆς καρδίας μου ἀμβλυωπούσας τὰς κόρας, φωταγώγησον, μαρμαρυγαῖς ἀκηράτοις, καὶ θείοις πυρσεύμασιν.

Ἀδὴ δ'. Ἐπὶ τῆς θείας φυλακῆς.

Πῆξε σῆς ἀνδρείας τὸ στερρὸν, πάντας ἐξέπληξεν ἡμᾶς, ὅτε σε τυπτόμενον Μάρτυς, ἐωρῶμεν ἔνδοξε, εἰς βῆμά τε ἀγόμενον καὶ τρέχοντα, φαιδρῷ τῷ προσώπῳ, καὶ ρωμαλαίως εἰς εἰρκτὴν ἐπιστρέφοντα.

Ἐν ὀπτασίᾳ θαυμαστῇ, σοὶ προεδήλωσε Χριστός, ὅτι ἐν τῇ θείᾳ τραπέζῃ, ἡ τιμία κάρα σου, τεθήσεται πανθαύμαστε, ἧς δὴ τὴν ἔκβασιν νῦν ὁρῶντες, μετ' εὐλαβείας αὐτὴν κατασπαζόμεθα.

Μετὰ τῶν παίδων ἀνυμνῶν, τὸν Παντοκράτορα Θεόν, τῶν ἐν τῇ καμίνῳ βληθέντων, ἔφερες γηθόμενος, ποδῶν τὴν θλῖψιν ἔνδοξε, καὶ πάντων τῶν μελλόντων τὴν ὀδύνην, καὶ τῶν σκελῶν τὴν ὑπερβάλλουσαν ἔκτασιν.

Θεοτοκίον.

Ἀλλεπαλλήλοις ἀλγεινοῖς, παλαίων Μάρτυς ἀνδρικῶς ἔφερες Χριστόν με γαλύνων, εὐχαρίστοις ᾄσμασι, καὶ ἐκτενῶς ἐκραύγαζες, δέξαι με, πολυέλεε Σῶτερ, τὸν ἀρνητήν σου λιταῖς τῆς κυησάσης σε.

Ἕτερον, Ὁ καθήμενος ἐν δόξῃ.

Ὡς τρυφῶν ἐν Παραδείσῳ, ἐμελῴδεις γηθόμενος, Μάρκε θείους ὕμνους, τῷ Θεῷ τῶν ὅλων καὶ κτίστῃ σου, ἐν τῇ εἱρκτῇ δεδλημένος καὶ τεινόμενος, τοὺς πανσέπτους σου πόδας ἐν ξύλῳ τρισόλβιε.

Πᾶ λακτίσματα ἐν ὅλῳ, δεδεγμένος τῷ σώματι, τοῦ δεινοῦ τυράννου, εἵληφας ἰσχὺν τὴν ἀήττητον, ἐξ ὑψωμάτων ἁγίων, Μάρκε ἔνδοξε· δι' ὃ ψάλλων ἧς, δόξα Χριστὲ τῇ δυνάμει σου.

Πρὸς προσήχθης καὶ παρέστης, ἀνδρικῶς τοῖς δικάζουσι, καὶ γενναίῳ Μάρτυς, καὶ ἀκαταπλήκτῳ φρονήματι, τὴν παναγίαν Τριάδα ἀνεκήρυξας, Μάρκε πάνσοφε, καὶ τὴν ἀπάτην ἐξήλεγξας.

Θεοτοκίον.

Ὁ ἐν κόλποις τοῖς πατρῴοις, ἀχωρίστως καθήμενος, σοῦ ἐν ταῖς ἀγκάλαις κάθηται Παρθένε, ὡς νήπιος, οὗ τὸ μακάριον πάθος ἐξεικόνισεν, ὁ καλλίνικος Μάρκος, χθλήσας στερρότατα.

Ἀδὴ ε'. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὑμνοῦμεν τοὺς θείους ἀγῶνας, καὶ μετὰ δέους καὶ πόθου, κυκλοῦμεν τὴν τῶν λειψάνων, σεβασμίαν λάρνακα, τῶν σῶν Μάρκε ἔνδοξε, θείαν χάριν κομιζόμενοι.

Συνέλθωμεν ζέοντι πόθῳ, τῶν νεοαθλων, ὕμνοις εὐφημῆσαι τὸ μέγα κλέος Μάρκου τὸν ἀήττητον, τῆς εὐσεβείας πρόμαχον, καὶ τῶν πιστῶν ἀντιλήπτορα.

Ἐξ οἰκείων Μάρκε αἱμάτων, τὴν σαυτοῦ ἐφοίνιξας Ἀθλοφόρε, καὶ Χριστῷ παρίστασαι, μετὰ Μαρτύρων ἔνδοξε, στέφει ἀφθάρτῳ κοσμούμενος.

Θεοτοκίον.

Πανύμνητε Θεογεννῆτορ, ὑπὲρ τοῦ κόσμου δυσώπει, τὸν Κύριον καὶ Θεόν σου, καὶ εἰρήνην αἴτησαι, καὶ τῶν δεινῶν τὴν λύτρωσιν, τοῖς εὐλαβῶς σοι προσφεύγουσιν.

Ἕτερον, Ἐξέστη τὰ σύμπαντα.

Ἐξέστησαν ἅπαντες· ὅτε τὴν ἐπὶ θανατον· ἑώρων ἀγόμενόν σε Μάρκε·

φαιδρὸς γὰρ ὅλος, πρὸς τὴν τομὴν Ἀθλητά, ὡς εὔελπις ἔδραμες στερρέ, πρὸς Χριστὸν ἡγούμενος, ἐκδημίαν τὸν θάνατον.

Πορφύραν ἐξ αἵματος, οἰκείου Μάρκε ἔνδοξε, ἔβαψεσαν ἐνδέδυσαι ἀξίως, καὶ τῷ Δεσπότῃ συμβασιλεύεις Χριστῷ, καὶ ζῇς ἐν αὐτῷ κάλλους τὸ διάδημα, περικείμενος ἄφθαρτον.

Ἠγίασται ἅπασα, ταῖς ῥείθροις τῶν αἱμάτων σου, ἡ Χίος ἡ Νῆσος Μάρκε θεῖε, καὶ ταῖς ἀκτῖσι τῶν σῶν ἀγώνων λαμπρά, καὶ ἄθλων φαιδρότητι φαιδρά, γέγονε καὶ ἔνδοξος, καὶ ἐν πάσαις περίβλεπτος.

Θεοτοκίον.

Ὡς κλίμαξ οὐράνιος, ἐφάνης τῷ προπάτορι, πάλαι Ἰακώβ, δι' ἧς οἱ νόες, πρὸς θεωρίαν Θεοῦ ἀνέρχονται εἰς γῆν, πόθῳ προσκυνοῦντές σου, τὴν ἀπόρρητον γέννησιν.

Ἀδὴ στ'. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ θανάτου τὴν ἰσχύν, ὡς δεσπότης καθεῖλε, τὴν πρὶν κρατοῦσαν Χριστός· ὅθεν σήμερον, σοῦ θανόντος Ἀθλητά, ἀγαλλόμεθα Μάρκε.

Ἀνῆλθες ἐν ταῖς ἀνωτάταις τιμαῖς, καὶ παρέστηκας νυνί, τῷ Δεσπότῃ ἐν δόξῃ, ἀνεκλαλήτῳ Χριστῷ, ταῖς σαῖς αἵμασι, φοινιχθείσης σου λαμπρῶς, τῆς στολῆς Ἀθλοφόρε.

Ἀγάλλου ἐν ταῖς οὐρανίαις τρυφαῖς, καὶ μνημόνευε ἡμῶν, τῶν σῶν δούλων ἐκ πόθου, ἀνευφημούντων τὴν σήν, θείαν Ἀθλησιν, Ἀθλοφόρων καλλονή, καὶ τῆς Χίου προστάτα.

Θεοτοκίον.

Κηρύξας ἐν δικαστηρίοις τρανῶς, σαρκωθῆναι τὸν Χριστόν, ἀνεκφράστως ὡς οἶδεν, ἐκ παναμώμου Μητρὸς χαίρων ἠθέλησας, καὶ θανὼν ὑπὲρ Χριστοῦ, νῦν συζῇς αἰωνίως.

Ἕτερος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ὁ πρὶν δολίως πτερνίσας, ἐπτέρνισται, ἐχθρός τῇ ἀθλήσει σου, καὶ καταπέπτωκε, καὶ ὅλως Μάρκε νενίκηται, τῷ ξίφει τετρωμένος τῆς καρτερίας σου.

Καλῶς τὸν δρόμον τετέλεκας, σὺν Παύλῳ καὶ τὴν πίστιν τετήρηκας, Μάρκε πανθαύμαστε, δι' ὃ ἀπόκειταί ἤδη σοι, ὁ τῆς δικαιοσύνης ἄφθαρτος στέφανος.

Πηγὴν ἰάσεων ἔγνωμεν, τὴν θήκην τῶν πανσέπτων λειψάνων σου, Μάρκε πανίερε, ἐξ ἧς πιστῶς ἀρυόμενοι, ἀπαλλαγὴν τῶν νόσων, ἀνευφημοῦμέν σε.

Θεοτόκιον.

Λαόν σου, ἄχραντε Δέσποινα, ἀνόρθωσον πεσόντα εἰς βάραθρον, καταδουλώσεως, ἐχθρῶν ἥπιστων καὶ οἰκτιρον, σύ γὰρ ἐλπὶς ἁπάντων καὶ ἡ βοήθεια

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Προῖξ παρεστῶσι τῇ σορῷ σου Μάρκε ἔνδοξε καὶ προσκυνοῦσί σου πιστῶς τὰ θεῖα λείψανα, τὴν τοῦ Πνεύματος πρεσβείαις σου δίδου χάριν, τὴν σκηνώσασαν ἐν τούτοις καὶ ἐμμένουσαν καὶ ἐκβλύζουσαν τὰ ῥεῖθρα τῶν ἰάσεων, καὶ γὰρ ἔσχηκας παρρησίαν πρὸς Κύριον.

Ἕτερον, ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Εὐφημεῖ σε ᾄσμασιν, ἀγαλλομένη ἡ Χίος, καὶ λαμπρῶς γεραίρει νῦν, τοὺς

ΕΚΠΑΙΔΕΥΤΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΗΡΗΤΟΡΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

θαυμαστούς σου ἀγῶνας, ἔσπευσας εἰς τὸ τεθνάναι, ὦ ξένον θαῦμα! ἔσπευσας τῷ σῷ Δεσπότῃ ἱερουργήσας, τὸ σὸν αἷμα, ὡς ἐπόθεις, Μαρτύρων κλέος, Μᾶρκε Χριστοῦ Ἀθλητά.

Ὁ Οἶκος.

Τὸν λαμπρὸν ἀριστέα τοῦ Χριστοῦ καὶ ἀήττητον Ἀθλοφόρον, τὴν τῶν Μαρτύρων καλλονὴν καὶ Ἱερὰν προσθήκην, Μᾶρκον πάντες συμφώνως, τῆς τῶν ἐγκωσμίων ἀκηράτοις ἄνθεσι καταστέψωμεν πιστοί, ὃν ἔφυσε μὲν ὡς ῥόδον τερπνὸν ἡ ἐν πόλεσι περίπιστος Σμύρνη, ἐδρέψατο δὲ καλῶς ἡ περιφανὴς Χίος, ὡς ἐνθέως ταῖς ὁδμαῖς τῶν αὐτοῦ μαρτυρικῶν ἄθλων καὶ ἀνδραγαθημάτων, εὐφροσύνως πληρωθεῖσα· δι' ὃ καὶ ἀγαλλομένη, εὐφημεῖ τὴν μνήμην αὐτοῦ, καὶ τοὺς θαυμαστοὺς αὐτοῦ ἀγῶνας γεραίρουσα, ὁ ἁγιάσας με, βοᾷ πρός αὐτὸν, τῇ ἐκχύσει τῶν σαυτοῦ χαριτοβρύτων αἱμάτων, μὴ μου ποτὲ ἐπιλάθου, Μαρτύρων κλέος, Μᾶρκε Χριστοῦ Ἀθλητά.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ Ε'. ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΜΑΡΚΟΥ ΤΟΥ ΕΝ ΧΙΩ

«Μᾶρκον ἔχεις καύχημα Χίος μέγα, ἠδέ τε σεπτόν,
»Λαμπρὰν τεύξαντα, αἵματι μαρτυρίου·
»Οὕνεκα Κύριον αἶνει, ὅλβια, ὅς τά σοι δῶκε (1)

Εἴη δὲ δοξασμένον καὶ ὑπερίμνητον τὸ ὄνομα τοῦ Κυήμων Ἰησοῦ Χριστοῦ, ὅτι ὅσον ἡ Εὐρώπη ἀφρίζει καὶ μαίνεται ἐναντίον τῆς θείκης του μεγαλειότητος, ἄλλο τόσον τὰ Ἀνατολικὰ ταῦτα μέρη δὲν λείπουσι νὰ προβάλλουν ἀκατάπαυστα, κατὰ διαφόρους πόλεις καὶ χώρας κήρυκας, καὶ μὲ λόγους καὶ μὲ χύσεις τῶν ἰδίων των αἱμάτων, τῆς προσκυνητῆς αὐτοῦ Θεότητος· ἐκεῖνοι λέγουσι πῶς ἦτον πλάνος, καὶ ἀθεοῦσι καὶ Εὐαγγέλια καὶ Ἀποστόλους καὶ ἁπλῶς ὅλον τὸν Χριστιανισμὸν καὶ τὴν ἐλπίδα τῶν χριστιανῶν οὗτοι παρουσιαζόμενοι ἐνώπιον τῶν τυράννων, κηρύττουσι μὲ ὅλην τὴν ἐλευθεροστομίαν πῶς ἦτον καὶ εἶναι Θεὸς, Βασιλεὺς τῶν αἰώνων, Δημιουργὸς πάσης τῆς κτίσεως, Κριτὴς ζώντων καὶ νεκρῶν· καὶ ὁ οὐρανὸς ἄνωθεν Κριτὴς ἀδέκαστος, δέχεται τὴν ὁμολογίαν ὡς θυσίαν αἰνέσεως καὶ σφραγίζει τὴν δι' αἵματος αὐτῶν μαρτυρίαν, μὲ τὰ φρικτὰ καὶ ἐξαίσια βαύματα, τὰ ὁποῖα οἱ μὲν υἱοὶ τῆς ἀπωλείας ἀκούοντες γελῶσιν, οἱ δὲ χριστιανοὶ κατανυγόμενοι καὶ ὠφελούμενοι ψυχικῶς ἀπὸ τὰ παράδοξα ἔργα τῆς μαρτυρικῆς χάριτος, δοξάζουσι τὸν φιλάνθρωπον Κύριον, ὅπου ἐνισχύει τὴν ἀνθρωπίνην ἀσθένειαν, νὰ καταφρονοῦν πᾶσαν βάσανον, καὶ αὐτὸν τὸν ἴδιον θάνατον διὰ τὸ ὄνομά του τὸ ἅγιον.

Ἀναρίθμητα εἶναι, ἀδελφοί, τὰ τελούμενα παράδοξα ἀπὸ τὴν μαρτυρικὴν χάριν τοῦ καλλινίκου Μάρτυρος Μάρκου. Εἰς τὸ καστέρι τῆς πόλεως, ὁποῦ ὀνομάζεται Ἐγκρεμός, εἰς τὴν ἐνορίαν ὁποῦ λέγεται Θερμουγιότισσα, κατοικεῖ μία πτωχὴ γυνή· αὕτη εἶχε (καὶ τὸ ἔχει)(1) παιδίον μικρὸν ἀρσενικόν, δύο χρόνων· αὐτὸ συνέβη νὰ πέσῃ ἀπὸ τὸν σοφὰν κάτω· ἔπεσεν ἐπάνω εἰς ἓν πήλινον ἀγγεῖον, καὶ ὅν τρυφερόν, ἐκόπη εἰς τὴν μέσην, καὶ πλέον εἰς τὸ ἑξῆς οὔτε νὰ σηκωθῇ ἠδύνατο, οὔτε νὰ σταθῇ ὄρθιον, ἀλλὰ μηδὲ νὰ καθήσῃ ἠδύνατο· καὶ ἐκεῖνο ὁποῦ ἔως τότε περιεπάτει καὶ ἔτρεχε μὲ γέλοια καὶ χαράν τότε ἔμενε πάντοτε κατάκειτον, μὲ πόνους καὶ δάκρυα καὶ ἰδικά του καὶ τῶν γονέων του· καὶ κάθε φορὰν ὁποῦ ἤθελε νὰ τὸ σηκώσῃ ἡ μήτηρ του, νὰ τὸ μεταθέσῃ, ἐφώναζε κλαῖον, ὁποῦ ἐπροξένει μεγαλωτάτην λύπην εἰς τοὺς ὁρῶντας καὶ ἀκούοντας. Ἐπέρασεν εἰς ταύτην τὴν ἐλεεινὴν κατάστασιν δυὸ χρόνους, ὥστε ὁποῦ ἔγινε τεσσάρων χρόνων, ἀλλὰ πάντη ἄρρητον καὶ πανάθλιον. Λοιπὸν ἡ δυστυχὴς αὐτοῦ μήτηρ, ἀκούουσα τὰ θαύματα καὶ τὰς εὐεργεσίας, ὁποῦ κοινῶς εἰς ὅλους κάμνει ὁ θεῖος Μάρκος, ἔκαμε καὶ τῆς ἔφεραν ὀλίγον αἷμα, τὸ ἔβαλεν εἰς τὸ νερόν, καὶ μέρος τὸ ἐπότισε, καὶ μὲ τὸ ἐπίλοιπον ἤλειψε τὸ σωμάτιον, καὶ μάλιστα τὰ νῶτα τοῦ παιδίου, ἐπικαλουμένη θερμῶς τὴν ταχεῖάν του ἀντίληψιν, καὶ ὑποσχομένη νὰ τὸ νηστεύσῃ δέκα ἡμέρας κάθε χρόνον πρὸ τῆς μνήμης του, διότι πτωχὴ οὖσα δὲν τῷ ἔταξε χρήματα. Ταῦτα ποιήσασα, τὸ μὲν παιδίον ἄφησε κείμενον εἰς ἓν μέρος, αὐτὴ δὲ ἐκάθησεν εἰς τὸ ἐργόχειρόν της· καὶ ὁ νοῦς της καὶ ἡ πίστις της ἐδούλευεν εἰς τὴν τοῦ Ἁγίου ἐνέργειαν. Ὀλίγον ἐπέρασε, καὶ λέγει, «μπρὲ Νικολὴ (τοῦτο εἶναι τὸ ὄνομα τοῦ παιδίου) σήκω ἔλα νὰ σοῦ δώσω ἕνα παρᾶν», καὶ (ὦ τοῦ θαύματος!) τὸ πρώην καὶ μέχρι τότε, παντάπασιν ἀκίνητον, ἐν τῷ ἅμα ὁποῦ τὸ ἔκραξεν, ἐσηκώθη ὀρθώθη, ἐπῆγε μόνον του εἰς τὴν μητέρα, καὶ ἐκείνη ἐναγκαλισαμένη καὶ καταφιλήσασα μετὰ δακρύων αὐτό, τῷ ἔδωκε τὸ παρᾶν· καὶ ἐκτοτε ἔμεινεν ὑγιαῖνον καὶ ἀλλόμενον, τὸπρώην παράλυτον. Ἡ παπεινὴ χεὶρ ἡ ταῦτα γράφουσα, ἐψηλάφησεν αὐτὸ περιεχώτερον, καὶ τοῦ εὗρεν ἕνα ζόμπον μικρόν, ὡσὰν ἕνα μικρὸν γρόνθον, πρὸς δήλωσιν ἴσως τοῦ προτέρου του πάθους, καὶ τῆς παρὰ τοῦ μάρτυρος ἰάσεως.

Ἀπὸ τὰ ἀναρίθμητα, ὁποῦ καθ' ἑκάστην ἐπιτελεῖ, ὡς εἴπομεν, ὁ θεῖος Μάρκος, τοῦτο μόνον τὸ ἀκόλουθον βούλομαι ἀκόμη νὰ διηγηθῶ, διότι κατὰ τὴν ἐμὴν γνώμην, καὶ μέγιστον εἶναι καὶ τερπνότατον, καὶ οὕτω νὰ κάμω τέλος τῆς διηγήσεως. Σαββάτῳ ἡμέρᾳ ἦτον, ἡ εἰκοστὴ ὀγδόη τοῦ Δεκεμβρίου, καὶ τὴν ἐρχομένην νύκτα, ὁποῦ ἐξημέρωνεν ἡ Κυριακή, ἐξερχόμενοι οἱ Τοῦρκοι ἀπὸ τὸ τσαμί, κατὰ τὴν συνήθειάν των, ἐπειδὴ ἦτο ῥαμαζάνι, ἐπῆγον εἰς τὰ καφενεῖα, καὶ ἄλλοι εἰς ἄλλα μέρη κάποιοι ὁποῦ ἐπῆγον εἰς ἓν καφενεῖον, ὅπερ ἦτον καὶ ἀντικρυ καὶ πλησίον, ὡσεὶ λίθου βολήν εἰς τόπον, ὁπου ἔκοψαν τὸν Μάρτυρα, ἀνέφερον περὶ τούτου, καὶ εἶπον, πῶς τὸν ἔχουν οἱ Χριστιανοὶ διὰ Ἅγιον, καὶ ὅτι πέρνουν ἀπὸ τὸ χῶμα, ὁποῦ ἐχύθησαν τὰ αἱματά του, καὶ τοὺς κάμνει θαύματα.

Ἦτον ἐν μέσῳ τῶν ἄλλων καὶ εἷς κάποιος Χατζῆ Κάρτος τὸ ἐπώνυμον, χασάπης τὴν τέχνην, ξένος μέν, ὑπανδρευμένος δὲ μὲ γυναῖκα Χριστιανήν, τὴν οἰκησιν ἔχων εἰς τὴν ἐνορίαν τῆς Ἁγίας Ματρώνης. Αὐτὸς, ζηλωτὴς τῆς ἀσεβείας, δὲν ὑπέφερε νὰ ἀκούῃ τοιαύτα διηγήματα, καὶ δὲν ἐντρέπεσθε, τοὺς λέγει, ἐσεῖς Τοῦρκοι νὰ λέγητε τοιαύτας φλυαρίας; καὶ ἐκεῖνοι βλέποντες αὐτὸν πῶς θύμωσε, ἐπρόσθετον καὶ ἄλλα παρόμοια, πειράζοντες αὐτὸν διὰ νὰ γελοῦν. τέλος πάντων ἐξαγριωθεὶς ἀπὸ τὰ τοιαῦτα, σηκώνετας μὲ μανίαν, καὶ, «τώρα, λέγει, θὰ ὑπάγω ἐγὼ νὰ κοπρίσω ἐπάνω εἰς ἐκεῖνον τὸν..... λέγων τὰ πλέον δύσφημα ὀνόματα· καὶ ἐξῆλθεν μὲ ὅλον τὸν θυμόν. Ὁ τόπος εἰς τὸν ὁποῖον ἐσφάγη ὁ Μάρτυς, λέγεται Βουνάκι, εἶναι μακρὸς ἐπὶ πολύ. τὸ πλάτος του, εἶναι ἀλλοῦ περισσότερον, ἀλλοῦ ὀλιγώτερον. Οὗτος ὁ τόπος τοῦ Βουνακίου, χωρίζεται μὲ ἕνα τοῖχον ἀπὸ τὴν λεγομένην Σούδαν· εἰς τοῦτον τὸν τοῖχον πολὺ πλησίον ἀπεκεφάλισαν τὸν Ἅγιον· ὁ τοῖχος ἀπὸ τὸ μέρος τοῦτο, ὁποῦ εἶναι τὸ Βουνάκι, εἶναι μόνον ὡς δύο σπιθαμὰς τὸ ὕψος ἀπὸ τὸ ὀπίσω δὲ μέρος, ἤγουν τῆς Σούδας, εἶναι ὑψηλὸς ὡς δύο ὀργυιὰς καὶ περισσότερον. Λοιπὸν ἐπάνω εἰς τὸν τοῖχον τοῦτον ἀκούμβησε τὸ τσιμποῦκι του, ἐπέθηκεν ἔπειτα καὶ τὸ καπότον του· ἀκόμη ὅμως δὲν εἶχε καλοκαθήσῃ καὶ ἴδού δύο λευκοφόροι (καθὼς ὁ ἴδιος ἐμαρτύρησε), τὸν ἥρπασαν καὶ καὶ τὸν ἐσήκωσαν ὑψηλὰ καὶ τὸν ἐτίναξαν ὀπίσω εἰς την Σούδαν· καὶ ἐκεῖ πίπτων ὁ ὄβριστὴς Κάρτος, ἔμεινεν ἄλαλος καὶ ἀναίσθητος, καὶ ὅλην τὴν νύκτα ἐκεῖ ἐμούσκευσεν ἀπὸ τὴν βροχὴν· μόλις πρὸς τὰ ἑξημερώματα ἦλθεν εἰς αἴσθησιν, ἀλλὰ νὰ σηκωθῇ ὄρθιος δὲν ἠδύνατο καὶ ἤναγκάσθη νὰ συρθῇ ὡσὰν τετρίποδον μὲ τὰ τέσσαρα, ἀφήνων καὶ τσιμποῦκι καὶ καπότον καὶ τὸ ἕνα του παπούτσι, καὶ μὲ τέτοιον τρόπον ἐξῆλθεν ἀπὸ ἓν χάλασμα τοῦ τοίχου, καὶ ἐπῆγε κακῶς καὶ παγκάκως ἔχων εἰς τὸ ἐρημόσπητόν του, μὴ δυνάμενος νὰ διηγηθῇ τὸ κακὸν ὅπερ τὸν εὗρε, πάρεξ μετὰ ἡμέρας. Οἱ συντροφοί του μαθόντες τὴν συμφορὰν του, μὴ θέλοντες νὰ ὁμολογήσσουν πῶς ἦτον μαρτυρικῆς ὀργῆς ἀποτέλσμα, ἐθαύμαζον πόθεν νὰ τοῦ ἦλθεν, ὁποῦ εἰς τὸ ῥαμαζάνι, τὰ τζίνια, ἤγουν τὰ δαιμόνια δὲν ἐνεργοῦν. Ἔμεινε κλεισμένος εἰς τὸ σπῆτι του ἡμέρας πολλάς· ὀκτὼ ἡμέρας ἔκαμεν, ὁποῦ δὲν ἠδύνατο νὰ ὁμιλήσῃ καθαρὰ, ἤρχισε δὲ κατόπιν νὰ ἐξέρχεται ἔξω, πλὴν κακὰ γενόμενος. Ἡ γυνή του μανθάνουσα τὰ σύμβαντα, πόθεν καὶ πῶς, ἐπῆγε καὶ ἔκραξε ἕνα ἱερέα νὰ τοῦ ψάλλῃ ἁγιασμόν· ὁ ἱερεὺς τῇ ἀπεκρίθη πῶς δὲν ἠμπορεῖ νὰ τὸ κάμῃ.

«Λοιπὸν, λέγει, δός μοι ὀλίγον ἁγίασμα». Τῆς ἔδωκεν ὁ ἱερεὺς νερὸν κοινὸν μέσα εἰς ἓν ἀγγεῖον· ἐκείνη λαβοῦσα αὐτὸ ὡς ἁγίασμα, πρῶτον μὲν ἐκείνον ἐπότισε μέρος, ἔπειτα ἐπῆγε καὶ ἐσκούπισε τὸν τόπον ἐκεῖνον καὶ ἔχυσεν ἐκεῖ τὸ ἐπίλοιπον νερόν. Εἰς τὸ πέσιμον ἐκεῖνο ἐσυνθλάσθη ἡ δεξιά του χεὶρ καὶ πολὺν καιρὸν ἐπεριπάτει ἔχων αὐτὴν μὲ τὸ μανδήλιον κρεμαμένην, δὲν ἠδυνήθη ὅμως νὰ τὴν ἰατρεύσῃ καὶ τοῦ ἔμεινε σακατεμένη καὶ παρ' ὀλίγον ἄχρηστος· ἀλλὰ καὶ ὅλος ἐκεῖνος ὁ Χατζῆ Κάρτος, ὁ ἀνδρειωμένος, ὁ φοβερός, κατεστάθη ὅλον τὸ ἐναντίον, μὲ σημεῖα ἱκανά, ὡσὰν ὁ Κάϊν, τῆς θεϊκῆς ὀργῆς. Τοῦτο τὸ θαῦμα πόσον ηὔφρανε τοὺς εὐσεβεῖς, εἶναι ἀδύνατον μὲ λόγον νὰ παραστήσῃ τις. Ἴσως θέλει ἀπορήσει τις, ποῖος νὰ ἦτον ὁ ἄλλος λευκοφόρος, ὁποῦ τὸν ἥρπασαν ὁμοῦ· καὶ ἐβεβαιώθη πῶς ἦτον ὁ Μάρτυς. Νικόλαος ὁ Χῖος. τὸν ὁποῖον πρὸ πολλῶν χρόνων, ἐκεῖ πλησίον ἀπεκεφάλισαν, καὶ, ὡς φαίνεται, βοηθοῦνται ὡς φίλοι οἱ θεῖοι Μάρτυρες ἐναντίον τῶν κοινῶν τῆς Πίστεως ἐχθρῶν.

Μὲ τὴν τελείωσιν τοῦ ἐξαισίου καὶ χαριεστάτου τούτου θαύματος, κάμνω καὶ ἐδῶ τέλος ὅλης τῆς διηγήσεως, δεὸμενος τοῦ Ἁγίου Θεοῦ, νὰ ἀξιώσῃ καὶ ὑμᾶς τοὺς ἁμαρτωλούς, νὰ ζήσωμεν ἀξίως τῆς Ἁγίας του Πίστεως, μιμούμενοι τὸν ζῆλον τῶν Ἁγίων Του Μαρτύρων. ἐναντίον τοῦ κοινοῦ ἐχθροῦ, τοῦ διαβόλου, διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Τὸ εἶχε τότε ἀκόμη τὸ παιδίον, ὅταν ὁ Πάριος ἔγραφε τὸν βίον, τὸ μαρτύριον, καὶ τὰ θαύματα τοῦ Ἁγίου. Κ.Π.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΗΣ ΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΑΣ ΙΔΡΥΜΑ ΑΝΤΩΝΙΟΥ ΚΑΙ ΕΛΕΝΗΣ ΓΕΩΡΓΟΠΟΥΛΟΥ ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΝΙΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ ΕΠΙΜΕΛΗΤΗΣ

ᾠδὴ ζ'. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἡ χάρις τῶν θαυμάτων λαλεῖταί σου, Μάρτυς παναοίδιμε Μᾶρκε τὸ σεπτόν. τῆς ἡμετέρας γενεᾶς, καὶ πατρίδος ἀπάσης ἀγλάϊσμα, ἐν ᾗ σε θαυμαστὸν ἐπαξίως, Θεὸς πᾶσιν ἀνέδειξεν.

Ἀγγέλων σε δυνάμεις ἐκρότησαν, τὸν δρόμον τελέσαντα, βλέπουσαι στερρῶς, τοῦ μαρτυρίου Ἀθλητά, καὶ τὴν πίστιν ἐνδόξως τηρήσαντα, καὶ στέφει ἀφθαρσίας εἰς αἰῶνας, Θεὸς σε ἐστεφάνωσε.

Σκιρτῶσα ἐκτελεῖ σου τὴν ἄθλησιν, ὕμνοις τε καὶ ἄσμασι, πᾶσα ἡ πληθύς, τῶν εὐσεβούντων ἐν χαρᾷ, καὶ Ἀγγέλων οἱ δῆμοι γηθόμενοι, κροτοῦσιν εἰς αἰῶνας τοὺς σοὺς ἄθλους, καὶ Μαρτύρων ὁ σύλλογος.

Θεοτοκίον.

Ἐτύπου σε τὸ θαῦμα Πανάμωμε, τῶν παίδων ἡ κάμινος, ὡς γὰρ ἐν αὐτῇ οὐ κατεφλέχθησαν οἱ τρεῖς, ἡ νηδύς σου πυρὶ τῆς Θεότητος, οὐδ' ὅλως κατεφλέχθη Παρθένε, δι' ὃ σε μεγαλύνομεν.

Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Ὑμνοῦμέν σε, τρισμάκαρ καὶ δοξάζομεν, ἐν θείοις ἄσμασι, Μᾶρκε Χριστοῦ Ἀθλητά, ὡς ἀκαταγώνιστον τῆς θείας πίστεως, ὄντα πρόμαχον, καὶ πολιοῦχον ἄριστον, καὶ προστάτην ἡμῶν θεῖον.

Πῶν θαυμάτων σου, τῇ αἴγλῃ κατελάμπρυνας, Μᾶρκε ἀοίδιμε, τὴν νῆσον Χίον φαιδρῶς, παθὼν γὰρ τὴν ζόφωσιν ταῖς πρὸς τὸν Κύριον, ἱκεσίαις σου, ἀπήλασας καὶ ἤστραψας, φῶς νοσοῦσιν ὑγιείας.

Τερείον Μᾶρκε ἔνδοξε προσήνεξαι, καὶ ὁλοκαύτωμα, ἔμψυχον ὄντως Θεῷ, καὶ θῦμα εὐπρόσδεκτον, καὶ τελειότατον, ὃν ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν δούλων σου, τῶν ἐν ὕμνοις σε τιμώντων.

Θεοτοκίον.

Ἀκτιζόμενος, εἰρκτῇ τε ἐγκλειόμενος, καὶ κακουχούμενος, Παρθενομῆτορ ἁγνή, Μᾶρκος ὁ πανεύφημος καὶ σπαθιζόμενος, ἀνεκήρυττε, τὸν σὸν Υἱὸν θεάνθρωπον, καὶ σὲ ὄντως Θεοτόκον.

ᾨδὴ η'. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.

Ἄγει σου πιστῶς εὐσεβούντων τὰ πλήθη, τὴν μνήμην Ἀθλοφόρε, ἐν ἱεραῖς ὑμνῳδίαις, πρὸς Χριστὸν εὐκλεῆ σε προβάλλοντα, μεσίτην πανεύφημε, αἰτοῦντα τὴν λύσιν, εὐχαῖς σου τῶν πταισμάτων.

Ὑπὲρ πρὸς Θεὸν τὰς ἁγίας σου χεῖρας, προσάγων ἱκεσίαν, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην σου, κινδύνων ῥυόμενος, ἔχων παρρησίαν ἀθλητικὴν παμμάκαρ.

Ἄξιαι προσηνῶς οἰκετῶν σου τὸν πόθον, Μᾶρκε Μαρτύρων δόξα, τῶν εὐλαβῶς συνελθόντων τὴν σορὸν, τῶν πανσέπτων Λειψάνων σου, ἰδεῖν καὶ ἀσπάσασθαι, τὴν τῶν ἰαμάτων ἐκβλύζουσαν τὴν χάριν.

Θεοτοκίον.

Μόνην γυναικῶν ἀπειρανδρως τεκοῦσαν, ὁ Μάρκος πρὸ βημάτων, δικαστικῶν ὁμολόγει, ὁ λαμπρὸς ἀριστεὺς καὶ ἀήττητος, τοῦ σοῦ παναμώμητε, Υἱοῦ τῇ ἰσχύϊ, ῥωννύμενος εὐσθένως.

Ἕτερος. Παῖδες εὐαγεῖς ἐν τῇ καμίνῳ.

Φαιδρύνεται σήμερον ἐνδόξως, ἀκτῖσι τῶν σῶν ἀγώνων Μᾶρκε πάνσεπτε, τῶν πιστῶν ἡ σύναξις ἐν τῇ θείᾳ μνήμῃ

σου, καὶ γηθομένη ᾄδει σου τὰ θεῖα τρόπαια, καὶ νίκην τὴν λαμπρὰν εὐφημεῖ σου, δι' ὧν ἐδοξάσθη Χριστὸς εἰς τοὺς αἰῶνας.

Νομίμως διήνυσας τὸν δρόμον, παμμάκαρ τοῦ Μαρτυρίου καὶ ἐνήθλησας· ὅθεν εἰσελήλυθας, εἰς τὰ ὑπερκόσμια, τοῦ οὐρανοῦ σκηνώματα, Μᾶρκε γηθόμενος, σὺν πᾶσι τῶν Ἁγίων τοῖς δήμοις, καὶ τῆς ἀνεκφράστου τρυφῆς ἐπαπολαύεις.

Ὅλος παμφαὴς Θεῷ παρέστης, τῶν ἄθλων μαρμαρυγαῖς καταλαμπόμενος, Μᾶρκε παναοίδιμε, σὺν Ἀγγέλων τάξεσι, καὶ τῶν μαρτύρων τάγμασι μέλπων γηθόμενος, τὸν Κύριον ἐν ὕμνοις ἀλήκτοις, καὶ αἰωνιζούσης χαρᾶς ἐπαπολαύων.

Θεοτοκίον.

Ἄγγελος τῆς σεπτῆς καὶ τρισηλίου, λαμπρότατον σκήνωμα ὑπάρχουσα, θεῖον καὶ σωτήριον, πᾶσιν ἀνατέταλκας, τὴν φωταυγίαν ἄχραντε τοῖς πίστει κράζουσι, τὸ χαῖρέ σοι, δι' ἧς κατηυγάσθη, καὶ ἀνεκαινίσθη τὸ γένος τῶν ἀνθρώπων.

ᾨδὴ θ'. Φωτίζου φωτίζου.

Εὐφραίνου, ἀγάλλου, μετὰ μαρτύρων παρεστώς, τῷ ἀστέκτῳ νῦν θρόνῳ, τῆς Τριάδος ἔνδοξε, θείας τρυφῆς, ἀκορέστως τρυφῶν, καὶ τῆς τερπνῆς, τῶν ἀπαυγασμάτων, θέας ἀεὶ ἐμπιπλώμενος.

Ὦ θέας ἀρρήτου, καὶ ἀνεκφράστου χαρμονῆς! ἧς ἠξιώθης ἐνθέως, αἰωνίως ἔνδοξε ἐν οὐρανῷ, μετέχειν κλεινέ, καὶ τερπωλεῖν, Μᾶρκε νικηφόρε, ἐν ταῖς Ἁγίων λαμπρότησιν.

Ὡς θῦμα προσήχθης, καὶ ὁλοκαύτωμα Χριστῷ, ὃν ἐπόθησας Μᾶρκε, καὶ αὐτοῦ τῷ ἔρωτι πυροπληθείς, τὴν ψυχὴν ἱερῶς, τὰ ἀλγεινὰ ἤνεγκας προθύμως τοῦ Μαρτυρίου πολύαθλε.

Θεοτοκίον.

Ἰσχύς τε καὶ κράτος, ὑπάρχεις Δέσποινα Ἁγνή, καὶ ἀνδρεία καὶ ῥώμη, Ἀθλητῶν ἀήττητος, τὸν ἰσχυρὸν, τεκοῦσα Θεὸν, καὶ τῶν γερῶν, τῶν ἀνεκλαλήτων, καὶ ἀῒδίων ἡ πρόξενος.

Ἕτερος. Ἅπας γηγενής.

Δεῦτε εὐλαβῶς, πάντες προσκυνήσωμεν τὰ θεῖα λείψανα, τοῦ κλεινοῦ ἐν μάρτυσι, Μάρκου τοῦ θείου τὰ χαριτόβρυτα, καὶ πίστει ἀσπασώμεθα, ἀπαρυόμενοι, θείαν χάριν, τὴν ἐκ τούτων βρύουσαν, ὡς πηγῆς ἀκενώτου ῥεῖθρον τοι.

Ἄξαι Ἀθλητά, τὸν πόθον τῶν ἐνθέων ὡς χριστομίμητος, τῶν ἀνευφημούντων σου, τοὺς θείους ἄθλους, καὶ προσκυνούντων σου, τὴν τῶν Λειψάνων λάρνακα, τὴν χαριτόβρυτον, καὶ τὸν τύπον, σχετικῶς τιμώντων σου, καὶ παράσχου ἑκάστῳ τὰ πρόσφορα.

Πῶ ἐν ἱεροῖς, ἱερῶς δοξάσαντι ὕμνοις τὴν μνήμην σου, Μᾶρκε ἱερώτατε, ταῖς πανιέροις εὐχαῖς σου αἴτησαι, ἁμαρτιῶν τὴν ἄφεσιν, καὶ τὴν συγχώρησιν, καὶ τῆς θείας δόξης τὸν ἀνάξιον, ἀξιώσει τῇ σῇ καταξίωσον.

Θεοτοκίον.

Θέγματι λαμπρῷ, γλώσσῃ διαφόρῳ τε τρανῶς ἐκήρυξεν, ὄντως Θεοτόκον σε, ἐν τῷ σταδίῳ Παρθένε ἄχραντε, Μᾶρκος ὁ ἀξιάγαστος, καὶ τὴν ἀντίχριστον τῶν ἀνόμων, πλάνην ἐστηλίτευσε, καὶ τὸ στέφος τῆς νίκης ἀπείληφεν.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Πῶν ἰαμάτων ἐκ Θεοῦ, εἰληφότα τὴν χάριν, εἰδότες σε καλλίνικε, Μᾶρκε κλεὸς Μαρτύρων, προστρέχοντές σοι

ΠΑΝΑΓΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΡΕΙΤΩΝ ΠΑΤΕΡΩΝ

βοῶμεν, τῆς σαρκὸς ἀπέλασον, τὰ πάθη ταῖς σαῖς πρεσβείαις, πάντων τῶν εἰλικρινῶς, εὐφημούντων ἐν ᾠδαῖς, τοὺς ἱεροὺς σου ἀγῶνας.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Π᾽ Χίος ἐν τῇ μνήμῃ σου, σκιρτῶσα νῦν ἀγάλλεται, καὶ τοὺς πιστοὺς συγκαλεῖται, εἰς τὴν αὐτῆς εὐφροσύνην· εἰ γὰρ καὶ Σμύρνης πέφυκας, ὦ Μᾶρκε γόνος πάνσεπτος, ἀλλὰ καὶ ταύτης σέμνωμα, χαρὰ καὶ δόξα ὑπάρχεις, ἐν ᾗ ἀθλήσας ἐστέφθης.

Θεοτοκίον.

Προφῆται προεκήρυξαν. Ἀπόστολοι ἐδίδαξαν, καὶ Μάρτυρες θεοφρόνως, τὸν σὸν Υἱὸν Θεοτόκε, τρανῶς καθωμολόγησαν, Θεὸν τῶν ὅλων Πάναγνε, μεθ᾽ ὧν καὶ Μᾶρκος ἦδη σου, τὰ ὑπὲρ νοῦν μεγαλεῖα, ἐδόξασεν ἐναθλήσας.

Εἰς τοὺς Αἴνους.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Στρατιώτης ἀήττητος, ἀριστεὺς γενναιότατος, θείας παρατάξεως, Μᾶρκε ἐνδυθείς, καὶ τροπαιοῦχος λαμπρότατος, τοῦ πάντων δεσπόζοντος, ἀναδέδειξαι Χριστοῦ, κατ᾽ ἐχθρῶν στήσας τρόπαια, τῶν τῆς πίστεως, τῇ τοῦ Πνεύματος θείᾳ πανοπλίᾳ. Ἀθλητὰ καθωπλισμένος, καὶ τῇ ἰσχύϊ ῥωννύμενος.

Ὑπὲρ ἥλιον ἔλαμψας, ταῖς τῶν ἄθλων λαμπρότησι, Μᾶρκε παναοίδιμε, καὶ κατηύγασας, τῆς Ἐκκλησίας τὸ πλήρωμα, καὶ πάντων ἐθέρμανας, τὰς καρδίας τῶν πιστῶν, πρὸς ἀγάπην τοῦ κτίσαντος, ὃν ἱκέτευε, Ἀθλητῶν ἐγκαλλώπισμα καὶ κλέος, ὑπὲρ τῶν ἐπιτελούντων, τὴν παναγίαν σου ἄθλησιν.

Τῶν Λειψάνων τὴν λάρνακα, νῦν κυκλοῦντες πανεύφημε, προσκυνοῦμεν ἅπαντες μετὰ πίστεως, καὶ εὐλαβῶς ἀσπαζόμεθα, τὸν τύπον τῶν ἀχράντων, τῆς ἁγίας σου μορφῆς, καὶ τὴν χάριν τοῦ Πνεύματος, κομιζόμενοι, τὴν ἐν τούτοις ἀεὶ ἀνεκφοιτήτως, διαμένουσαν ὑμνοῦμεν, τοὺς σοὺς ἀγῶνας πολύαθλε.

Τ᾽αμάτων χαρίσματα, τοῖς πιστοῖς ἡ πανίερος, θήκη τῶν Λειψάνων σου, Μᾶρκε ἐνδῦται, παρέχει πᾶσι καὶ γίνεται, τὰ πάντα τοῖς χρῄζουσι, καὶ προστρέχουσιν αὐτῇ, δι᾽ ὃ πάντες δοξάζομεν, τὸν τοιαύτην σοι, δωρησάμενον χάριν ἐπαξίως, εἰς ἡμῶν εὐεργεσίαν, καὶ σοῦ τοὺς ἄθλους γεραίρομεν.

Δόξα, Ἦχος πλ. δ΄.

Τὴν μνήμην τῆς σῆς ἀθλήσεως, πιστῶς ἄγοντες, ἀνυμνοῦμεν Μᾶρκε, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν σὲ ἐνισχύσαντα παραδόξως καὶ κατ᾽ ἐχθρῶν νικητὴν ἀναδείξαντα καὶ θαυμάτων χάρητι μεγαλύναντα· τυφλοῖς γὰρ τὸ βλέπειν ἐδόθη, τῇ ἁφῇ τοῦ πανιέρου σου αἵματος καὶ παραλυτοῦντι σὺν χειραλγούσῃ ἡ ἴασις· γυναίου δὲ ὁ μαστὸς ἐθεραπεύθη, καὶ ἡ μωραίνουσα ἐχέφρων ἀπεκατέστη· οὐ γὰρ ἦν αἷμα ἁπλῶς τὸ ὁρώμενον, ἀλλ᾽ αἷμα σωτήριον, αἷμα ἅγιον, διὰ Χριστὸν ἐκχεόμενον. ὯΙ πρεσβεύων μὴ διαλείπῃς, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων. Δοξολογία μεγάλη καὶ Ἀπόλυσις. Εἰς τὸν Λειτουργίαν τὰ Τυπικά. Εἰς τοὺς Μακαρισμοὺς τὴν γ΄. ᾠδὴν τοῦ α΄. κανόνος καὶ τὴν στ΄. τοῦ β΄. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ Ἁγίου Δημητρίου. Κοινωνικόν. Εἰς Μνημόσυνον.

Μεγαλυνάρια.

Ἔχων παρρησίαν πρὸς τὸν Θεόν, τῶν σοὶ προστρεχόντων τὰ αἰτήματα συμπαθῶς τὰ πρὸς σωτηρίαν, δίδου ταῖς σαῖς πρεσβείαις, Μᾶρκε Νεομαρτύρων τὸ ἐγκαλλώπισμα.

Χάριν ἰαμάτων παρὰ Θεοῦ, εἰληφὼς παμμάκαρ, θεραπεύεις πάθη δεινά, δι᾽ ὃ τοῖς ἐν πίστει, σὲ ἐπικαλουμένοις, θεράπευσον τὰ πάθη ψυχῆς καὶ σώματος.

ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΔΙΗΓΗΣΙΣ ΕΙΣ ΤΟ ΠΑΡΑ ΤΟΥ

ΑΡΧΑΓΓΕΛΟΥ ΓΑΒΡΙΗΛ

ΘΑΥΜΑ ΕΝ ΤΩ ΑΔΕΙΝ

Τῇ 11ῃ Ἰουνίου μνήμην ἐπιτελοῦμεν τοῦ γεγονότος θαύματος παρὰ τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ «Ἄδειν», τῷ ὄντι πλησίον τῶν Καρυῶν.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Τῆς Θεοτόκου. Προσόμοια δ΄. ἦχος δ΄.
Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν φιλέορτοι, τῶν Μοναστῶν ἅπας σύλλογος, δεῦτε ᾄσμασι μέλψωμεν, οἷς ἡμᾶς Ἀρχάγγελος, ἐδίδαξε μέλπειν, τῇ Ἁγνῇ Παρθένῳ, δεῦτε συμψάλλωμεν θερμῶς, αὐτῆς τὰ θεῖα μεγαλουργήματα, καὶ πόθῳ μακαρίσωμεν, τὴν ὄντως ἀειμακάριστον, ἐν ναῷ αὐτῆς σήμερον τοῦ πρωτάτου γηθόμενοι.

Ὕμνον, ὃν Ἀρχάγγελος, ὁ Γαβριὴλ ὡς προοίμιον, τοῦ Κοσμᾶ μολπῆς ἤσατο, κροτοῦντες θεόφρονες, σήμερον εὐήχως, ὑμνήσωμεν πόθῳ, καὶ εὐλαβείᾳ προσεχῶς, αὐτῆς τὸ μέγα τοῦτο θαυμάσιον, ὃ σήμερον ἐτέλεσεν, ἐν τῷ κελλίῳ τοῦ Ἄδοντος, Μοναχῷ ὑπηκόῳ γάρ, ὕμνον ξένον ἐμύησε.

Νῦν σε μακαρίζομεν, ἀειμακάριστε Δέσποινα, καὶ πιστῶς προσκυνοῦμεν σου, εἰκόνα τὴν πάντιμον, φυλάκισσαν ὅρους, πρὸς ἣν μορφῇ ξένῃ ὁ Γαβριὴλ ἐξ οὐρανοῦ, ἄφνω ἐπέστη καὶ ἐμελῴδησε, τὸ Ἄξιον ἐστὶν ὑμνεῖν, ὡς ἀληθῶς Ἁμιμακάριστε, καὶ μακαρίζειν σε Ἄχραντε, μεθ᾽ οὗ πάντες ὑμνοῦμεν σε.

Δόξα καὶ νῦν, ἦχος α΄.

Εὐφράνθητε σήμερον, πληθὺς τοῦ Ὄρους Μοναστῶν καὶ μιγάδων, καὶ σκιρτήσατε ἀγαλλόμενοι, εὐχαριστήρια τῇ Παρθένῳ προσᾴδοντες. Ἰδοὺ γὰρ τῇ προμηθείᾳ αὐτῆς δι᾽ Ἀγγέλου παρουσίας τὸν Ἀγγελικὸν ἡμῖν ὕμνον ἐμυσταγώγησεν. Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν καὶ γεραίρειν αὐτήν, ὡς Μητέρα ὑπάρχουσαν, τοῦ ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Τὴν ἀνωτέραν τῶν Χερουβίμ, καὶ Σεραφὶμ Ἁγιωτέραν, ἀσυγκρίτως ὑπάρχουσαν, καὶ σώζουσαν ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον, ἦχος δ΄.
Οἶκος τοῦ Εὐφραθᾶ.

Ἄξιόν ἀληθῶς, ὑπάρχει Θεοτόκε, ἀεὶ Σὲ μακαρίζειν, τὴν τοῦ Θεοῦ Μητέρα, σώζουσαν τοὺς τιμῶντάς σε.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Εἰκὼν πανευκλεής, ἔφορε τοῦ Πρωτάτου, Μητρὸς τοῦ Θεοῦ Λόγου, σκέπουσα ἡμᾶς φρουροῦσα, ἀπὸ παντοίων θλίψεων.

ΕΘΝΙΚΟΝ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΚΕΝΤΡΟΝ ΒΥΖΑΝΤΙΝΗΣ ΚΑΙ ΜΕΤΑΒΥΖΑΝΤΙΝΗΣ ΜΕΛΕΤΗΣ ΙΝΣΤΙΤΟΥΤΟΝ ΤΟΥ ΜΕΣΑΙΩΝΟΣ ΕΛΛΗΝΙΚΟΥ ΔΙΚΑΙΟΥ ΚΑΙ ΤΗΣ ΑΝΑΤΟΛΗΣ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ ΤΟΥ ΚΑΡΥΩΤΟΥ ΚΕΝΤΡΟΝ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΤΕΚΜΗΡΙΩΣΕΩΣ ΤΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΑΘΗΝΑΙ ΔΙΕΥΘΥΝΤΗΣ ΣΤΑΥΡΟΣ ΒΑΣΙΛΕΙΟΥ ΠΑΠΑΔΑΚΗΣ

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύουσιν

Ἄγγελος Γαβριήλ, ἐξ οὐρανοῦ φοιτήσας, πρὸ τῆς σεπτῆς εἰκόνος, ὕμνον τὸν τῶν Ἀγγέλων, Ἀγνῇ Σοι ἐμελούργησε.

Δόξα καὶ νῦν ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, χάριτι σῆς εἰκόνος, ἀπὸ παντοίας βλάβης, σοὺς δούλους διαφύλαττε.

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Ἐξ οὗ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος! ὁ Θεὸς ὁ ἐκ σοῦ, σαρκωθεὶς ηὐδόκησε, τὸν ὕμνον σου νῦν Ἀγνὴ προοιμιασασθαι, διόπερ τὸν Γαβριήλ, πρὸς μοναχὸν ἐν ὁμοίῳ τῷ σχήματι, ἀπέστειλεν ὕμνους σοὺς, τοῦ ἐκδιδάξαι, ὃς πρὶν ἀνεβόα σοι. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαθὺ τῶν σῶν θαυμασίων Ἀγνή! τοῦ Ὑψίστου Μήτηρ, ἀνεδείχθης Δέσποινα· καὶ ἤδη ἐξ οὐρανοῦ τῇ προμηθείᾳ σου, ἐστάλη ξένῃ μορφῇ ὕμνον τὸν σὸν τοῦ διδάξαι Παναμωμε. Ἀρχάγγελος Γαβριήλ, τελειωτέρως ὡς πρὶν ἀνεβόα σοι. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος.

Τὴν σὴν δοξάζομεν πρόνοιαν, Θεομῆτορ Κόρη, ἡμᾶς γὰρ ἐδίδαξας, προοίμια θαυμαστά, ὡς ἀληθῶς ὕμνου σοῦ, τοῦ θείου νῦν Γαβριήλ, τῇ παρουσίᾳ τῇ ξένῃ Παναμωμε, προσπίπτοντες οὖν πιστῶς σοι ἐκβοῶμεν σὺν τούτῳ κραυγάζοντες. Κεχαριτωμένη, χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Ὦ τοῦ παραδόξου θαύματος! Γαβριὴλ ὁ λαμπρός, μοναχοῦ ἐν σχήματι, ὡράθη τῷ Μοναχῷ, κέλλῃ ἐμμείναντι, ἀρξάμενος θαυμαστῶς, προοιμιάζειν σὸν ὕμνον Παναμωμε· ἐχάραξε δὲ εὐθύς, ἐπὶ πλακὸς τῇ χειρὶ τὰ ἀδόμενα, ἅμα δ' ἀφανὴς ἐκ τούτου, γεγονὼς εἰς ἔκπληξιν, τὸν μονάζοντα ἦγε, τοῦ δοξάζειν σε Πανύμνητε.

Δόξα καὶ νῦν Ἦχος δ΄.

Ἔπρεπε τῷ Ὄρει τῷδε τοῦ Ἄθωνος, σὲ προστάτιν κυκλοῦντι Θεομῆτορ, ὕμνους τοὺς σοὺς Κόρη Πανύμνητε, τὸν Ἀρχάγγελον πρώτιστα, τούτους ἐν αὐτῷ ἐξυμνήσασθαι, κἀντεῦθεν εἰς τὰ πέρατα τῆς Οἰκουμένης διαθραμεῖν, πρὸς συνασπισμὸν ἀσμάτων Θεομητορικῶν. Διὸ βοῶμέν σοι· Θεοτόκε ὑπερένδοξε, τὸν σὸν Υἱὸν καθικέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα (ζήτει ταῦτα εἰς τὴν ἀκολουθίαν τῆς Μυριδιοτίσσης ἐν τῷ παρόντι, Σεπτεμβρίου ΚΔ΄.

Εἰς τὴν Λιτὴν ἰδιόμελα τοῦ Ἁγίου τῆς Μονῆς. Ἦχος α΄.

Παρθενικὴ πανήγυρις σήμερον ἀδελφοί, σκιρτάτω ὁ Ἄθως, χορευέτω Ἐκκλησία. συνεκάλεσε γὰρ ἡμᾶς ἡ Ἁγία Θεοτόκος, τῇ ἐτησίῳ πανηγύρει, τῶν ξένων ὕμνων αὐτῆς, Γαβριὴλ τοῦ Ἀρχαγγέλου ἡμᾶς ἐκδιδάξαντος, ξενοτρόπως τοῦ θείου ὕμνου αὐτῆς τὰ προοίμια. Οὕτω γὰρ φανεὶς τῷ μοναχῷ ἐν ὁμοίῳ τῷ σχήματι, τὴν Θεοτόκον ἐμεγάλυνεν, ὡς τὸν ἐπὶ τῶν Χερουβὶμ μετὰ σώματος βαστάσαντα. Ταῖς αὐτῆς ἱκεσίαις Χριστὲ ὁ Θεὸς σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Τῶν Οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα, ἡ δι' ὑπερβάλλουσαν καθαρότητα τῆς ἀϋδίου οὐσίας δοχεῖον γεγενημένη, Μονηδρίῳ τῷ αὐτῆς, σήμερον ὑπὸ Ἀγγέλου μεγαλύνεται· ᾠδαῖς· καὶ δι' αὐτοῦ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Τῶν παναμώμου νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός, ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, σήμερον ξενήκουστον ᾠδήν, δι' Ἀρχαγγέλου εἰς ἡμᾶς παραδίδωσιν· ἣν ἀσωμάτων Δυνάμεις, ἀκαταπαύστως δοξάζουσι. Καὶ ἡμεῖς μακαρίζομεν, ὡς Θεοτόκον ἀληθῶς, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Δόξα καὶ νῦν Ἦχος πλ. α΄.

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ἄσατε. Σήμερον γὰρ ὁ Ἀρχάγγελος ᾠδὴν καινὴν, τῆς παναχράντου Παρθένου, εἰς Μοναχὸν μονισθέντα, ξένῃ μορφῇ ἐμελώδησεν, ἣν καὶ γεραίρειν ἀδιαλείπτως, ἐποφειλόμεν πάντες, προστάτιν ἡμῶν ὑπάρχουσαν.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια Ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων Ταγμάτων τὸν πρωτοστάτην ὑπάρχοντα, σοὶ Γαβριὴλ τὸν θεῖον, ὁ Θεὸς πρὸ Παρθένε, ἀπέστειλε κομίσαι Κόρη, τῆς σῆς, ἀνεκφράστου συλλήψεως, τὰ Εὐαγγέλια νῦν δὲ ὕμνου τοῦ σοῦ, ἐκδιδάξαι τὰ προοίμια.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.

Πῶς ἂν ἀξίως Παρθένε ἐκδιηγήσαιτο, τὸ ξένον θαῦμα, τὸ εἰς δόξαν σὴν Κόρη; ὁ προοιμιάσας ὕμνον τὸν σόν, θαυμαστοῖς ἐγκωμίοις σου, ὤφθη ἐν σχήματι Ἄγγελος Μοναχοῦ, οὕτως ἄδειν λέγων ἅπασι.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Σὲ μακαρίζειν, Παρθένε ἐστὶν ἐπάξιον, ὡς ἀληθῶς ὁ θεῖος Γαβριὴλ ἐμελώδει, Ἁγνὴν τὴν Θεοτόκον, τὴν ἐς ἀεί, μακαριστὴν καὶ πανάμωμον, ὄντως Μητέρα ὡς οὖσαν Σε τοῦ Θεοῦ, ἣν ἐν ὕμνοις μεγαλύνομεν.

Δόξα καὶ νῦν. Ἦχος δ΄.

Ὕμνον ὃν οὐκ ἔγνω, ἤκουσε νῦν ὁ μοναζών· ἐλάλει γὰρ πρὸς αὐτὸν ὁ Ἀρχάγγελος, τοῦ ὕμνου σου Κόρη προοίμια. Ὅθεν εἰκότως θαυμάζων ὁ μοναχός, ἠρώτα ταῦτα παραδοῦναι καὶ ἐν γραφῇ. Διὸ ἐν πλακὶ τῇ χειρὶ χαράξας, καὶ ἐξ αὐτοῦ γεγονὼς ἀφανής· εἰς θάμβος αὐτὸν ἐξήγειρε καὶ ἀνυμνεῖν σε, ἀεὶ τὴν Θεοτόκον παρεσκεύασεν.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Πατέρων ἀθροίσθητε, πᾶσα τοῦ Ἄθω πληθύς, πιστῶς ἑορτάζοντες, σήμερον χαίροντες. καὶ φαιδρῶς ἀλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ, τοῦ Θεοῦ γὰρ ἡ Μήτηρ, νῦν παρὰ τοῦ Ἀγγέλου παραδόξως ὑμνεῖται, διὸ ὡς Θεοτόκον ἀεί, ταύτην δοξάζομεν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεὸς Κύριος, καὶ τὸ ἀνωτέρω τροπάριον. Εἰς τὴν α΄. στιχολογίαν κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Πᾶσα πληθύς, τῶν τοῦ Ἄθω Πατέρων, ἠθροίσθη· νῦν φαιδρῶς, τοῦ ὑμνῆσαί σου Κόρη, τὴν ἔνδοξον πανήγυριν. Θεοτόκε Πανύμνητε, καὶ γὰρ σήμερον, ὁ Ἀρχηγὸς τῶν Ἀγγέλων, τὰ προοίμια, ὕμνου τοῦ σοῦ παραδόξως, ἡμῖν διετράνωσε.

ΕΚΔΟΣΕΙΣ ΒΙΒΛΙΟΠΩΛΕΙΟΥ ΤΗΣ ΜΟΝΗΣ ΠΑΤΕΡΩΝ ΙΒΗΡΩΝ

Δόξα καὶ νῦν, τὸ αὐτό. Εἰς τὴν β΄ στιχολογίαν κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Γαβριὴλ ἐξ οὐρανοῦ, πρὸν ἀπεστάλη σοι Ἁγνή, εὐαγγελίσασθαι τὴν σήν, ἄσπορον σύλληψιν φρικτήν, αὐτός καὶ ᾠδὴ ἐν σχήματι προσεφάνη. Μονάζοντος σαφῶς, διδάξαι ὕμνον τὸν σόν, καὶ τοῦτον θαυμαστῶς διεχάραξε, καὶ διὰ τοῦτο ἅπαντες τοῦ Ἄθω, οἱ Μοναστα καὶ μιγάδες, βοῶμεν χαῖρε, ἦν ἀνυμνοῦσι, τῶν Ἀγγέλων τὰ τάγματα.

Δόξα καὶ νῦν τὸ αὐτό. Μετὰ τὸν Πολυέλεον κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

Ἄθω νῦν ἅπασα, πληθὺς ἀγάλλεται, πανηγυρίζουσα λαμπρὰν πανήγυριν, τὴν Θεοτόκον ἀληθῶς, μαθοῦσαν σε μακαρίζειν, τὴν ἀειμακάριστον, καὶ ἁγνὴν Παναμώμητον, ἄχραντον Μητέρα τε τοῦ Θεοῦ ἡμῶν πέλουσαν, διὸ σὺν Γαβριὴλ σοι βοῶμεν· χαῖρε ἡ κεχαριτωμένη.

Δόξα καὶ νῦν ὅμοιον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ δεικνύς ἡμῖν ἐβόα νῦν μελῳδῶν σοι, ὕμνου σου προοίμια, θαυμαστὰ πανεξαίρετα, ταῦτα καὶ ἐχάραξε τῇ πλακὶ παραδόξως τε, εὐθὺς δὲ ἀφανὴς ἐγεγόνει· ὅθεν ὑμᾶς ἄμφω τιμῶμεν.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. Τὸ προκείμενον. Μνησθήσομαι τοῦ ὀνόματός σου. Στίχ. Ἄκουσον θύγατερ .... Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ. Ὁ Ν΄. Δόξα. Ταῖς τῆς Θεοτόκου. Καὶ νῦν τὸ αὐτό. Εἶτα τὸ ἰδιόμελον Ἦχος β΄.

Στίχ. Ἐλεησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Εὐηγγελίσατο ὁ Γαβριὴλ, τῇ κεχαριτωμένῃ πρότερον, χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε. Νῦν δὲ ὁραθείς, ἐν ξένῃ τῇ μορφῇ, Μονάζοντι ᾠδὰς ἐφθέγξατο καινάς, Τότε Εὐαγγέλια ἔφη σοι ἁγνή, νῦν ἐξύμνησέ σε θαυμαστῶς, ὡς παναμώμητον, καὶ τέξασαν, Κόρη, τὸν Κύριον.

Οἱ Κανόνες, εἰ βούλει ὁ β΄. Κανὼν τῆς Κοιμήσεως καὶ ὁ παρών.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ὃ Ἄθως ὃς κέκληται, Ἅγιον Ὄρος πανάχραντε, Ἁγνὴ ὡς προείρηκας, νῦν ἑορτάζει φαιδρῶς σὲ τὸ Ἅγιον, τῷ ὄντι Ὄρος οὖσαν, καὶ θείαν πανήγυριν, ἄγει σοι σήμερον.

Ταῖς θείοις ἀείποτε, ὁ Γαβριὴλ μυστηρίοις τε, τοῖς σοῖς κατ' ἐξαίρετον, ὑπηρετεῖ θαυμαστῶς, ὦ πανάχραντε, διὸ καὶ νῦν Παρθένε, σοῦ ὕμνου γηθόμενος, ᾄδει προοίμια.

Ἐὰν παναμώμητε, οὐ διαλείπεις τοῖς δούλοις σου, τελεῖν πανεξαίσια, θαύματα Μῆτερ Ἁγνή, καὶ ἐν ἅπασι, καιροῖς, εὐεργεσίας, προχέειν πανάχραντε, ὡς εὐεργέτης ἡμῶν. Ἵνα εἴπω τὸ μέγιστον, ἐκτελεσθέν σοι θαυμάσιον, πλησίον Ἀρχάγγελε Σκήτης τῆς τῶν Καρυῶν, ὃς ἐδίδαξας, ἡμᾶς σῇ παρουσίᾳ, ὠδὴν τὴν ἐπάξιον τῇ Θεομήτορι.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.
Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἔπεστη καιρὸς τοῦ ἀθροισθῆναι, Πατέρας τοὺς ἅπαντας Ναῷ, τῷ τοῦ Πρωτάτου πάννυχον, ἐπιτελέσαι ἄεσιν, τότε τοὺς θείους ὕμνους σου, ᾄδει Ἁγνὴ ὁ Ἀρχάγγελος.

Συνῆλθε τοῖς ἄλλοις καὶ ὁ Γέρων τινὸς ὑπηκόου Μοναχοῦ, καὶ τούτῳ μόνῳ μείναντι, ὁ Γαβριὴλ Ἀρχάγγελος, ὤφθη ὁμοίῳ σχήματι, προοιμιάζων τὸν ὕμνον σου.

Προσθήκην ἐποίει σοι τῷ ὕμνῳ, καὶ οἷον προοίμιον Ἁγνή, τοῦ ὑπερ προεξύμνησε. Κοσμᾶς ὁ θεῖος λάτρης σου, λέγων, ὡς οὕτως εἴθισται, αὐτοῖς προλέγειν τοῦ ὕμνου σου.

Ὦ τῶν θαυμασίων σου τῶν ξένων! Ἀρχάγγελε θεῖε Γαβριήλ, πῶς μοναχοῦ τῷ σχήματι, τοὺς ὕμνους ἐμελῴδησας, τῆς Θεοτόκου σήμερον, καὶ ὡς ἐχρῆν ἐμεγάλυνας.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.
Κάθισμα ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη μοναχός, ἐπὶ Ἀγγέλου τῇ ὠδῇ, ξένως ἄδοντος αὐτήν, πρὸ τοῦ σοῦ ὕμνου, ὦ Ἁγνή, φανέντος τούτῳ ἐν σχήματι παρομοίῳ· ἐπεὶ δὲ μοναχός, γραφῆναι ᾔτει αὐτὴν εἰς πλάκα τῇ χειρὶ ξένος ἐχάραξε, καὶ ἀφανὴς ἐγένετο, ἐντεῦθεν διεκηρύχθη τοῖς πᾶσιν, ὁ ὕμνος οὗτος, τοῦ Θεοτόκον σὲ δοξάζειν πανάμωμε.

Δόξα καὶ νῦν τὸ αὐτό.
Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον θείαν.

Ἄξιον προέλεγεν ὡς ἀληθῶς, ἐστὶ μακαρίζειν σε Πάναγνε, τὴν Θεοτόκον, τὴν ἀεὶ μακαριστήν, καὶ ὄντως παναμώμητον, καὶ Θεοῦ Μητέρα πανάχραντον.

Τὴν προοιμιάζουσαν ταύτην ᾠδήν, θείου Γαβριὴλ ξένως ἄδοντος, ἐξεθαμβεῖτο, ὁ ἀκούων μοναχός, ἐπεὶ δὲ ἐπυνθάνετο, οὕτως ἄδειν, ἔφη, εἰώθαμεν.

Λέγειν καὶ προέτρεπεν οὕτως αὐτόν, ταῦτα Γαβριὴλ τὰ προοίμια, εἰθ' οὕτως ἄδειν, ὕμνον θεῖον τοῦ Κοσμᾶ, καὶ πάντας ἐκδιδάξασθαι, ταῦτα θεῖος ἔφη Ἀρχάγγελος.

Ἐπείπερ ἠτήσατο ὁ μοναχός, Θεῖε Γαβριὴλ ὑπερ ἤκουσεν, ὕμνου γραφῆναι, σὺ ἐχάραξας εὐθύς, ἐπὶ πλακὸς Ἀρχάγγελε, δόξα τῇ ἀῤῥήτῳ δυνάμει σου.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.
Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἐξέστη ὁ ἄνθρωπος, τοῖς ξένοις θαυμασίοις τε, ὅτε ξένως εἶδε χαραχθῆναι, πλάκα καὶ αὖφνης, τὸν προσκαλοῦντα αὐτῷ, ἅμα γεγονότα ἀφανῆ. Γαβριὴλ τὸν ἔνδοξον, καὶ σεπτὸν Ἀρχιστράτηγον.

Ὁ Γέρων ὡς εἴωθεν, κέλλῃ αὐτοῦ ὑπέστρεψε, καὶ ταῦτα ὡς ἤκουσε τὰ ξένα, πλάκα τε εἶδε, κεχαραγμένην χειρί, ἅραντες εὐθὺς σὺν μαθητῇ, ταύτην προσεκόμισαν, τοῖς τοῦ Ὄρους ἐξάρχουσι.

Διέκπυστα γέγονεν, καὶ πᾶσι διαβόητα, ταῦτα τὰ θαυμάσια Παρθένε, πλάκα ἐπείπερ, τῇ Βασιλίδι εὐθύς, Πόλεων ἀπέστειλαν φαιδρῶς, οἱ τοῦ Ὄρους πρόκριτοι, τοῦ δοξάζειν σε ἅπαντας.

Συνέδραμον ἅπαντες, εἰς πενιχρὸν Μονύδριον, ᾧ τὸ ξένον θαῦμα ἐγεγόνει, καὶ σὴν εἰκόνα ἐφ' ἧς ἐψάλη ᾠδή, Ἁγνὴ προσκυνοῦντες εὐλαβῶς, παμψηφεὶ συνέθεντο, τῷ Πρωτάτῳ φυλάττεσθαι.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Ἀῤῥήτῳ πάντες συνέῤῥευσαν, χαρᾷ καὶ εὐφροσύνῃ κομίσασθαι, σεπτὴν εἰκόνα σου, οἱ ἱερεῖς καὶ μονάζοντες, καὶ πᾶσα ἡ τοῦ Ὄρους πληθὺς Πανάχραντε.

Τὴν θείαν ταύτην εἰκόνα σου, σὺν πάσῃ εὐλαβείᾳ κατέχοντες Πατέρες ἁ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΕΛΛΗΝΙΚΟΝ ΚΟΙΝΟΒΙΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

παντες,ὕμνοις κροτοῦντες καὶ ἄσμασιν, εἰσήγαγον τῷ Θείῳ Ναῷ σου Πάναγνε.

Παρθένε στάσιν παννύχιον, ἐτέλεσαν Σὲ πόθῳ γεραίροντες,καὶ τὸν Ἀρχάγγελον, ὕμνον τὸν σὸν ἀπαγγείλαντα, καὶ νῦν ἡμεῖς ὡσαύτως ἄμφω γεραίρομεν.

Πατέρες θεῖοι ἐν ἄσμασι,μετὰ μυσταγωγίαν ἐπάραντες, θείαν εἰκόνα σου, ἔνδον Ναοῦ εἰς τὰ ἄδυτα,σὺν πλείστῃ εὐλαβείᾳ ἀφωσιώσαντο.

Κοντάκιον ἦχος δ'. Ἐπιφάνης σήμερον

Ἑορτάζει σήμερον, ἅπας ὁ Ἄθως,ὅτι ὕμνους δέδεκται, ὑπὸ Ἀγγέλου θαυμαστῶς, Σοῦ τῆς Ἀγνῆς Θεομήτορος, ἣν πᾶσα κτίσις γεραίρει δοξάζουσα.

Ὁ Οἶκος.

Μὴν εὐφραινέσθω ἡ πληθὺς Πατέρων τῶν τοῦ Ἄθω· ἰδοὺ γὰρ τῆς Παρθένου, ὁ Γαβριὴλ νῦν ᾄδει ὕμνου προοίμια τοῦ πρὶν, ὃν περ θαυμασίως ἐμελῴδησεν αὐτῇ Κοσμᾶς ὁ θεῖος ὑμνῳδός,ὃς, ἄξιον ἐστὶν ὡς ἀληθῶς ἔλεγε, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Καὶ τούτῳ ἐπέταττεν, οὕτω προοιμιάζειν τοὺς πάντας τοὺς ὕμνους σου. Καὶ ταῦτα χαρᾴξας τῇ χειρὶ ἐπὶ πλακός,γέγονεν αἴφνης ἀφανής· ὁ δὲ μοναχὸς ἐκπληττόμενος ἀνύμνει, ὡς ἐδιδάχθη Ἀγνὴν Θεομήτορα. Ἣν πᾶσα κτίσις γεραίρει δοξάζουσα.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ ΕΝΔΕΚΑΤΗ Η ΣΥΝΑΞΙΣ ΤΟΥ

ΑΡΧΑΓΓΕΛΟΥ ΓΑΒΡΙΗΛ

ΘΑΥΜΑ ΕΝ ΤΩ ΑΔΕΙΝ

Ὑπόμνημα περὶ τοῦ θαύματος τοῦ γενομένου ὑπὸ τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθω, ἤτοι περὶ τοῦ Ἀρχαγγελικοῦ ὕμνου τοῦ

ΑΞΙΟΝ ΕΣΤΙΝ

Κατὰ τὴν Σκήτην τοῦ Πρωτάτου, τὴν εὑρισκομένην εἰς τὰς Καρυάς. ἐκεῖ πλησίον, ἐν τῇ τοποθεσίᾳ τῆς Ἱερᾶς Μονῆς τοῦ Παντοκράτορος, εἶναι λάκκος μεγάλος, ὅστις ἔχει κελλία διάφορα. Εἷς ἕνα γοῦν τῶν κελλίων τούτων, ἐπ' ὀνόματι τιμώμενον τῆς Κυρίας Θεοτόκου τῆς Κοιμήσεως, ἑκατοίκει ἕνας Ἱερομόναχος, Γέρων καὶ ἐνάρετος, μετ' ἄλλου ὑποτακτικοῦ. Ἐπειδὴ δὲ ἦτο συνήθεια νὰ γίνεται ἀγρυπνία κάθε Κυριακὴν εἰς τὴν ρηθεῖσαν τοῦ Πρωτάτου Σκήτην, κατὰ τὸ ἑσπέρας ἑνὸς Σαββάτου, θέλων νὰ ὑπάγῃ ὁ προρρηθεὶς Γέρων εἰς τὴν ἀγρυπνίαν λέγει τῷ μαθητῇ αὐτοῦ. «Τέκνον, ἐγὼ μὲν ὑπάγω διὰ νὰ ἀκούσῳ τὴν ἀγρυπνίαν, ὡς σύνηθες. σὺ δὲ μεῖνον εἰς τὸ κελλίον, καὶ ὡς δύνασαι, ἀνάγνωθι τὴν ἀκολουθίαν σου,» καὶ οὕτως ἀπῆλθεν. Ἀφοῦ δὲ ἡ ἑσπέρα παρῆλθεν, ἰδοὺ κρούει τις τὴν θύραν τοῦ κελλίου, ὁ δὲ ἀδελφὸς ἔδραμε καὶ τὴν ἤνοιξε, καὶ βλέπει, ὅτι ἦτο ξένος μοναχός, ἀγνώριστος εἰς αὐτὸν, ὅστις εἰσελθών, ἔμεινεν εἰς τὸ κελλίον τὴν νύκτα ἐκείνην. Ἐν τῇ ὥρᾳ δὲ τοῦ Ὄρθρου, ἀναστάντες ἔψαλλον καὶ οἱ δύο τὴν ἀκολουθίαν. Ὅταν δὲ ἦλθον εἰς τὴν «Τιμιωτέραν τῶν Χερουβίμ», ὁ μὲν ἐντόπιος μοναχὸς ἔψαλλε μόνον, «τὴν τιμιωτέραν τῶν Χερουβίμ» καὶ καθ' ἑξῆς ὡς τέλους, τὸν συνήθη δηλ καὶ παλαιὸν ὕμνον τοῦ Ἁγίου Κοσμᾶ τοῦ ποιητοῦ, ὁ δὲ ξένος ἐκεῖνος μοναχός, κάμνων ἄλλην ἀρχὴν τοῦ ὕμνου, ἔψαλλεν οὕτως. «Ἄξιον ἐστὶν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν». εἶτα ἐσύναψε καὶ τὴν τιμιωτέραν μέχρι τέλους· Ἀκούσας δὲ ταῦτα ὁ ἐντόπιος Μοναχός, ἐθαύμασε, καὶ λέγει πρὸς τὸν φαινόμενον ξένον. Ἡμεῖς μόνον ψάλλομεν. «Τὴν τιμιωτέραν», τὸ δὲ «Ἄξιον ἐστὶν» οὐδέ ποτε ἠκούσαμεν, οὔτε ἡμεῖς,

οὔτε οἱ πρὸ ἡμῶν. Ἀλλὰ παρακαλῶσε, ποίησον ἀγάπην, καὶ γράψον καὶ εἰς ἐμένα, τὸν ὕμνον τοῦτον, διὰ νὰ ψάλλω καὶ ἐγὼ εἰς τὴν Θεοτόκον». ὁ δὲ ἀποκριθεὶς, «Φέρε μοι, τοῦ λέγει, μελάνι καὶ χαρτὶ διὰ νὰ τὸ γράψω». Ὁ ἐντόπιος, «δὲν ἔχω, τοῦ λέγει, οὔτε μελάνι οὔτε χαρτί». Καὶ ὁ φαινόμενος ξένος, «φέρεμοι τοῦ εἶπε, μίαν πλάκα». Ὁ δὲ Μοναχὸς δραμών, εὗρε πλάκα, καὶ τοῦ τὴν ἔφερε. Λαβὼν δὲ ταύτην ὁ ξένος ἔγραψεν ἐπάνω εἰς αὐτὴν μὲ τὸν ἑαυτοῦ δάκτυλον τὸν ρηθέντα ὕμνον, τὸ «Ἄξιον ἐστίν». Καὶ ὢ τοῦ θαύματος! τόσον,βαθέως ἐχαράχθησαν τὰ γράμματα ἐπάνω εἰς τὴν σκληρὰν πλάκα, ὥσὰν νὰ ἐγράφησαν ἐπάνω εἰς πηλὸν ἁπαλώτατον. Εἶτα λέγει τῷ ἀδελφῷ· «ἀπὸ τῆς σήμερον καὶ εἰς τὸ ἑξῆς, οὕτω νὰ ψάλλετε καὶ σεῖς, καὶ ὅλοι οἱ ὀρθόδοξοι». Καὶ ταῦτα εἰπὼν ἔγεινεν ἄφαντος. ἦτο γὰρ Ἅγιος Ἄγγελος, ἀπεσταλμένος ὑπὸ Θεοῦ, διὰ νὰ ἀποκαλύψῃ τὸν Ἀγγελικὸν ὕμνον τοῦτον, καὶ τῇ Μητρὶ τοῦ Θεοῦ πρεπωδέστατον· μᾶλλον δὲ ἦτον ὁ Ἀρχάγγελος Γαβριήλ, ὡς ρηθήσεται ὕστερον. Ἀφοῦ δὲ ἦλθεν ἀπὸ τὴν ἀγρυπνίαν ὁ Γέρων, καὶ εἰσῆλθεν εἰς τὸ Κελλίον, ἀρχίζει ὁ ὑπστακτικὸς αὐτοῦ νὰ ψάλλῃ τὸ «Ἄξιον ἐστίν», καθὼς ὁ Ἄγγελος αὐτοῦ παρήγγειλε· καὶ ἀκολούθως δεικνύει εἰς τὸν Γέροντά του καὶ τὴν ρηθεῖσαν πλάκα μὲ τὰ ἀγγελοχάρακτα γράμματα· ὁ δὲ ταῦτα ἀκούσας, καὶ ἰδών, ἔμεινεν ἐκστατικὸς διὰ τοιοῦτον θαυμάσιον. Καὶ λοιπὸν λαβόντες καὶ οἱ δύο τὴν ἀγγελοχάρακτον ἐκείνην πλάκα ἀπῆλθον εἰς τὸ Πρωτᾶτον· καὶ δείξαντες αὐτὴν εἴς τε τὸν πρῶτον τοῦ Ἁγίου Ὄρους καὶ εἰς τοὺς λοιποὺς Γέροντας τῆς Κοινῆς Συνάξεως, διηγήθησαν εἰς αὐτοὺς ἅπαντα τὰ γενόμενα· οἱ δέ, δοξάσαντες ὁμοφώνως τὸν Θεὸν καὶ εὐχαριστήσαντες τῇν Κυρίαν ἡμῶν Θεοτόκον διὰ τὸ παράδοξον τοῦτο, εὐθὺς ἀπέστειλαν τὴν πλάκα εἰς τὴν Κωνσταντινούπολιν, πρὸς τε τὸν Πατριάρχην, καὶ τὸν Βασιλέα, σημειώσαντες εἰς αὐτοὺς διὰ γραμμάτων ἅπασαν τὴν ὑπόθεσιν τοῦ τοιούτου τερατουργήματος. Ἀπὸ τότε δὲ καὶ ὕστερα, ὁ μὲν Ἀγγελικὸς αὐτὸς ὕμνος διεδόθη εἰς ὅλην τὴν οἰκουμένην, διὰ νὰ ψάλληται εἰς τὴν Θεομήτορα ἀπὸ ὅλους τοὺς ὀρθοδόξους, ἡ δὲ Ἁγία εἰκὼν τῆς Θεοτόκου, ἡ εὑρισκομένη εἰς τὴν Ἐκκλησίαν τοῦ Κελλίου ἐκείνου ἐν ᾧ τὸ τοιοῦτον γέγονε θαῦμα, μετεφέρθη ἀπὸ τοὺς Πατέρας τοῦ Ἁγίου Ὄρους εἰς τὴν Ἐκκλησίαν τοῦ Πρωτάτου. καὶ εἰς αὐτὴν εὑρίσκεται. ἕως τὴν σήμερον, ἐνθρονισμένη ἐπάνω τοῦ Ἱεροῦ Συνθρόνου, ἐντὸς τοῦ Ἁγίου Βήματος, ἐπειδὴ καὶ ἔμπροσθεν τῆς εἰκόνος ταύτης ἐψάλλη πρῶτον ὑπὸ τοῦ Ἀγγέλου ὁ ὕμνος οὗτος. Τὸ δὲ Κελλίον ἐκεῖνο ἔλαβε τὴν ἐπωνυμίαν νὰ ὀνομάζεται «Ἄξιον ἐστίν». Καὶ Καὶ ὁ λάκκος ἐκεῖνος, εἰς τὸν ὁποῖον τὸ Κελλίον εὑρίσκεται, ὀνομάζεται ἀπὸ ὅλους ἕως τὴν σήμερον «Ἄδειν»· ὅ ἐστὶ ψάλλειν, διότι ἔψάλη τὸ πρῶτον εἰς αὐτὸν ὁ Ἀγγελικὸς καὶ ὁ Θεοπρεπὴς οὗτος ὕμνος.

Ὅτι τὸ θαῦμα τοῦτο εἶναι πολλὰ παλαιόν, καὶ ὅτι ὁ Ἄγγελος ὁποῦ ἐφάνη ἦτον ὁ Ἀρχάγγελος Γαβριήλ, Μαρτυρεῖ καὶ τὸ ἐν τοῖς τετυπωμένοις Μηναίοις γεγραμμένον, κατὰ τὴν ἑβδεκάτην τοῦ Ἰουνίου μηνὸς, οὕτω. «Τῇ αὐτῇ ἡμέρα ἡ σύναξις τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ "Ἄδειν»· Ἐπειδὴ γὰρ, ὡς φαίνεται, ἐν τῇ ἑνδεκάτῃ τοῦ Ἰουνίου ἠκολούθησε τὸ τοιοῦτον θαυμάσιον τούτου χάριν οἱ τότε Πατέρες ἐτέλουν σύναξιν καὶ λειτουργίαν κατ' ἐναυτὸν εἰς τὸν ρηθέντα λάκκον, τὸν ἐπονομαζόμενον «Ἄδειν»,εἰς μνήμην τοῦ θαυματος, τιμῶντες καὶ δοξάζοντες τὸν Ἀρχάγγελον Γαβριὴλ, ὅστις καθὼς ἀπ' ἀρχῆς ἕως τέλους ἐστάθη ὁ ἔνθεος ὑμνολόγος τῆς Θεοτόκου καὶ τροφεὺς καὶ διακονητὴς καὶ χαροποιὸς αὐτῆς Εὐαγελιστής, οὕτως ὑπηρέτησε καὶ εἰς τὸ νὰ ἀποκαλύψῃ τὸν ὄντως Θεομητορικὸν τοῦτον ὕμνον, ὡς αὐτῷ μόνῳ κατὰ πάντα πρεπόοσης τῆς τοιαύτης διακονίας.

Καὶ πάλαι μὲν ὁ Δεσπότης τῶν ὅλων Θεός, ἔδωκε τὰς δέκα ἐντολὰς εἰς τοὺς Ἑβραίους, γεγραμμένας μὲ τὸν ἑαυτοῦ δάκτυλον ἐπάνω εἰς τὰς δύο λιθίνας πλάκας. Τώρα δὲ ὁ Ἄρχων τῶν τοῦ Θεοῦ Ἀγγέλων, ἔδωκεν εἰς ὅλους τοὺς ὀρθοδόξους τὸν πλέον γλυκύτερον καὶ ἐρασμιώτερον ὕμνον τῆς Μητρὸς τοῦ Θεοῦ, γεγραμμένον εἰς λιθίνην πλάκα, μὲ τὸν Ἀρχαγγελικὸν αὐτοῦ δάκτυλον.

Βλέπε δὲ καὶ πῶς ἐπληρώθη ἡ προφητεία τοῦ θείου Γαβριήλ, ὅπου εἶπεν, ὅτι νὰ ψάλλωσι τὸν ὕμνον τοῦτον ὅλοι οἱ ὀρθόδοξοι· διατὶ τόσον κοινὸς, καὶ τόσον ποθεινὸς ἐγένετο ὁ ἀγγελοσύνθετος οὗτος ὕμνος εἰς ὅλους τοὺς ὀρθοδόξους, ὥστε ὁποῦ καὶ αὐτὰ τὰ μικρὰ παιδάρια τῶν Χριστιανῶν ἠξεύρουν καὶ τὸν ψάλλουν μεγαλοφώνως τὴν σήμερον, μὲ μεγάλην χαρὰν τῆς καρδίας των, εἰς δόξαν τῆς Θεοτόκου. Ἧς ταῖς ἁγίαις πρεσβείαις ἀξιωθείημεν τῆς Βασιλείας τῶν οὐρανῶν . Ἀμήν. (1)

(1) Τὸ παρὸν θαῦμα ἐγένετο ἐπὶ τῆς βασιλείας Βασιλείου καὶ Κωνσταντίνου τῶν αὐταδέλφων, τῶν καὶ Πορφυρογεννήτων καλουμένων, υἱῶν Ρωμανοῦ τοῦ Νέου, ἐν ἔτει σωτηρίῳ, 980. Νικολάου δὲ τοῦ Χρυσοβέργου Πατριαρχοῦντος ἐν ἔτει ἀπὸ κτίσεως Κόσμου στυή.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Πανεξαίρετον, τιμὴν προσαπενείμαντο, Πατέρες ἅπαντες, οἱ πρὶν καθὰ καὶ οἱ νῦν, εἰκόνι τῇ θείᾳ σου, ταύτῃ πανάμωμε, δικαιότατα· τιμῆς καὶ γὰρ ἠξίωται, ὅτι πλείστης παραδόξως.

Πλείστης χάριτος, ἠξίωται ἡ θεία σου εἰκὼν Πανάμωμε, κἂν γὰρ σαφῶς πρὸς αὐτήν, σοῦ ὕμνου προοίμια πρῶτον ἐλέλεκτο, τῇ παρουσίᾳ σου. Διὸ κατὰ χρέος νῦν, ταύτην πόθῳ προσκυνοῦμεν.

ΣΥΛΛΟΓΗ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΡΗΣ ΠΑΠΑΣ

Οὐ λατρεύομεν, εἰκόνι σου Πανάχραντε, ταύτην χαίροντες, ἀσπαζόμεθα, τιμητικῶς οἱ δοῦλοί σου νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

Σὺν σοὶ Πάναγνε, οὐ λείπομεν γεραίροντες, καὶ τὸν λαμπρόν, Γαβριήλ, ἡμᾶς ἐκδιδάξαντα, ἤδη τοὺς ὕμνους σου, ὡς καὶ πρότερον, σοὶ προσφωνῶν ἐκραύγαζε, χαῖρε Κεχαριτωμένη.

Καταβασία. Οὐκ ἐλάτρευσαν.
Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Παῖδας εὐαγεῖς ἐν τῷ σεπτῷ σου, ναῷ τῷδε Θεοτόκε ἐκμιμούμενοι, ἐν τοῖς θαυμασίοις σου, οἷς τελεῖ ὁ Κύριος, εἰς δόξαν σου Πανάχραντε, ἄδοντες ψάλλομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὄντως εὐκλεής, ὃς ἠξιώθη τῶν θείων ἀκηκοέναι ἐγκωμίων σου, δι' Ἀγγέλου Πάναγνε, Κόρη Παναμώμητε, ὡς σός Υἱὸς ηὐδόκησε, δι' οὗ τοὺς ἅπαντας, ἐδίδαξεν ὑμνεῖν σε ἀξίως, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄξιον κατ' ἀξίαν ἐκληρώθη, ὁ τόπος οὗτος καλεῖσθαι ἐφ' ὃν γέγονεν, τοῦτο τὸ θαυμάσιον, ὃ καὶ ἐπεκράτησε, μέχρις ἡμῶν ἄθλιον, εἰς μνήμην Ἄχραντε τοῦ θαύματος· ὡς ἂν σε ὑμνῶμεν, καὶ ὑπερυψῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄξιόν ἐστιν ἄχρι τῆς δεῦρο, καλεῖται τρανῶς, καὶ τοῦτο τὸ Μονύδριον, καὶ εἰκὼν ἡ θεία σου οἷς περ πρῶτον ἔψαλτο, σοῦ ὕμνου τὰ προοίμια Παρθένε Ἄχραντε, ὡς ἅπαντας ὑμνεῖν σε ἀξίως, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία παῖδας εὐαγεῖς
Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἅπαντες οἱ σοί, οἰκέται συντρέχομεν ναῷ τῷ θείῳ σου, καὶ πανηγυρίζομεν, λαμπρὰν τελοῦντες ἤδη πανήγυριν, τῇ ἐτησίῳ σήμερον μνήμῃ τοῦ θαύματος τοῦ σοῦ ὕμνου τῆς ἀναπληρώσεως, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Ἄξιον, ὑπὲρ οὗ παύομεν λέγοντες τὸ μακαρίζειν σε, τὴν ἀειμακάριστον, ὡς ἀληθῶς τε καὶ παναμώμητον, καὶ τοῦ Θεοῦ Μητέρα σε, ἡμῶν γηθόμενοι, ὑπ' ἀγγέλου, ταῦτα μυηθέντες νῦν, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Ἅμα τὸν λαμπρόν, καὶ Θεῖον Ἀρχάγγελον Γαβριὴλ σήμερον χαίροντες δοξάζομεν, χαριστηρίους ὠδὰς προσφέροντες, δι' ἐξαισίου θαύματος, πάντας διδάξαντος, θεῖον, Ἀγνῆς Θεομήτορος, χαίροις μύστα ἀῤῥήτων κραυγάζοντες.

Χαῖρε, ὦ Ναέ, πρωτάτου πανένδοξε, ἐναβρυνόμενος τῷ πλουτεῖν τὴν πάντιμον εἰκόνα θείαν καὶ χαριτόβρυτον, τῆς μόνης Θεομήτορος καὶ τῆς προστάτιδος, χώρου τοῦδε Ὄρους γὰρ ἀπόλεκτος, τοῦτο κλῆρος αὐτῇ προσεκλήρωσε.

Καταβασία. Ἅπας γηγενής.
Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε

Ὀρθίσθητε, σκιρτήσατε, φαιδρῶς πανηγυρίσατε, ὁ Γαβριὴλ γὰρ ὁ θεῖος, μονάζοντι νῦν ἐπέστη, μοναδικῷ ἐν σχήματι, ὕμνους τῆς Θεομήτορος, πρῶτος φθεγξάμενος, ἐν Ὄρει τούτῳ λαχόντι, αὐτὴν προστάτιν ἐξόχως Δίς.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ'.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων

Τῶν οὐρανίων ἀψίδων, ὁ Γαβριὴλ κατελθών, ξένῃ μορφῇ ὡράθη, μοναχῷ ὑπηκόῳ, σοὺς ὕμνους. ὦ παρθένε, ἀληθεῖς αὐτῷ, ἄδων νῦν ὁ Ἀρχάγγελος,

προοιμιάζων τὸν ὕμνον ὃν περ ποτέ, ὁ Κοσμᾶς σοὶ ἐμελῴδησεν. (Δίς.)

Ὁ Γαβριὴλ τῇ Παρθένῳ πρὶν Εὐαγγέλια, ἐξ οὐρανοῦ κομίσας, ἀνεβόα, τὸ χαῖρε, νῦν δὲ τοὺς ξένους ὕμνους αὐτῆς θαυμαστῶς, Ὄρει τῷδε ἐδίδαξε· τὸ μακαρίζειν προσάδων ὡς ἀληθῶς, ἐστιν ἄξιον τὴν πάναγνον.

Πρόθω τὴν θείαν εἰκόνα σοῦ προσκυνοῦμεν Ἁγνή, ἐφ' ἧς ἐψάλθη πρῶτον, τὰ προοίμια ὕμνου, τοῦ σοῦ ὑπὸ Ἀγγέλου, ὅθεν πιστῶς, ταύτην νῦν ἀσπαζόμεθα καὶ Γαβριὴλ δὲ τὸν θεῖον ἅμα φαιδρῶς, ἑορτάζομεν ὡς πρόξενον.

Δόξα καὶ νῦν ἦχος πλ. δ'.

Τίς λαλήσει τὰς δυναστείας σου Ἁγνή; ἢ τὶς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη. Πολλὰ γὰρ καὶὑπὲρ φύσιν ἐνεργεῖς τὰ σὰ τεραστα. Καβαὶ τῶν μεγαλείων, ὧν, καὶ ἤδη ἐξειργάσω! Σοῦ ὕμνου γὰρ προοίμια δι' Ἀγγέλου Πάναγνε ἡμῖν παρέδωκας, παρθένε, καὶ ξένως ἐπὶ πλακὸς ταῦτα γραφῆναι, Σὺ ηὐδόκησας προνοίᾳ σου, ἐν ὕμνοις γεραίρειν σε τὴν Παναμώμητον.

Δοξολογία Μεγάλη καὶ ἀπόλυσις.

Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῆς Κοιμήσεως.

Μεγαλυνάρια.

Χαίροις ἡ Προστάτις τῶν Καρυῶν καὶ τῶν ἐν τῷ Ἄδειν ἐνοικούντων ἡ βοηθός, ἡ ὑπὸ Ἀγγέλου τὸν ὕμνον δεξαμένη, ἡμῶν δὲ ἡ προστάτις καὶ ὁδηγήτρια.

Χαίροις τοῦ Πρωτάτου θεῖος Ναός, ἔχεις γὰρ ἐν θρόνῳ ἱδρυμένην ἀεὶ ἐν σοί, τὴν ὑπὸ Ἀγγέλου τὸν ὕμνον δεξαμένην, τὴν πρύτανιν τοῦ Ὄρους καὶ τὴν ὑπέρμαχον.

Χαίροις τοῦ πρωτάτου θεία Μονή, ἡ τῆς Βασιλίδος τὴν εἰκόνα ὡς θησαυρόν, ἔνδοθεν πλουτοῦσα, τὴν ἔφορον τοῦ Ἄθω, τὴν Ἀγγελώνυμον.

Χαίροις ἡ τοῦ Ἄθω θεῖος φρουρός, πρόμαχος καὶ φύλαξ καὶ ἀντίληψις κραταιά· χαῖρε τοῦ σοῦ κλήρου ἡ πρύτανις καὶ σκέπη Θεοχαρίτωτε.

Δέξαι μου τὴν δέησιν, Μαριάμ. καὶ τοὺς δακρυρρόους στεναγμούς μου, Μῆτερ Ἁγνή, καὶ ἐκ τῶν παγίδων ἐχθροῦ μὲ σῶσον Κόρη, ἐν σοὶ γὰρ τὴν ἐλπίδα τίθημι Δέσποινα.

ΙΕΡΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΜΟΝΗΣ ΒΑΤΟΠΑΙΔΙΟΥ ΑΓΙΟΝΟΡΙΤΗΣ ΠΑΠΑΣΤΟΡΗΣ

ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

ΝΙΚΗΤΑ ΤΟΥ ΝΙΣΥΡΙΟΥ

ΑΘΛΗΣΑΝΤΟΣ ΕΝ ΧΙΩ ΤΗ 21 ΙΟΥΝΙΟΥ 1732

ΠΟΝΗΘΕΙΣΑ ΠΑΡΑ ΑΘΑΝΑΣΙΟΥ ΙΒΗΡΙΤΟΥ

Τῇ κα΄. τοῦ Ἰουνίου, μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου Ἐνδόξου Μεγαλομάρτυρος Νικήτα τοῦ Νέου, τοῦ Νισυρίου.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ϛ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια.

Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Νέος ὢν τὸ σῶμα κομιδῇ, μέγας δὲ ψυχὴν τὸν ἀρχαῖον, Σατὰν κατέβαλες, καὶ τοὺς τῶν αἱμάτων σου, κρουνοὺς ἀπέπνιξας, οἷς Θεὸς ἐπορφύρωσε, τὴν τῶν πρωτοτόκων, Ἐκκλησίαν ἔνδοξε, Νικήτα Μάρτυς Χριστοῦ, ᾧ ὑπὲρ ἡμῶν μὴ ἐλλείπῃς, πάντοτε πρεσβείας προσφέρειν, τῶν τελούντων πόθῳ σου τὴν ἄθλησιν. (Δίς)

Ἄγει ἑτησίαν ἑορτήν, ἡ τερπνὴ Χριστοῦ Ἐκκλησία, Νικήτα ἔνδοξε, μνήμην ἑορτάζουσα, τῆς σῆς ἀθλήσεως, καὶ γεραίρει τοὺς ἄθλους σου, οὓς Μάρτυς ὡς ῥόδα, ταῖς χερσὶ κατέχουσα, τὰ ἑαυτοῖς στεφανοῦ, τέκνα, συνελθόντα ἐν πίστει, ἐν αὐτῇ αὐτοὺς καταστέψαι, τοῖς ἐκ λόγων ἄνθεσι πανεύφημε. (Δίς)

Ὄντως ὡς κηρίον ἐκλεκτόν, τῆς Χριστοῦ τραπέζης Νικήτα, μέλισσαι ἄγριαι, σὲ περικυκλώσαντες, ἔτυπτον ξίφεσι, καὶ ὡς κύνες ἀτίθασσοι, σὲ καταλαβόντες, Ἄγαρ οἱ ἀπόγονοι, οὐδόλως δ᾽ ἔπτυξας, τούτων ἀπειλάς, ἀλλ᾽ ὡς ἄλλου, πάσχοντος ἐτέλεις τὴν δόξαν, τὴν σὲ περιμένουσαν σκοπούμενος.

Φύλαττε τοὺς πόθῳ τὴν σεπτήν, μάκαρ ἐκτελοῦντάς σου μνήμην, ταῖς σαῖς πρὸς Κύριον, Θείαις παρακλήσεσι, καὶ δὸς τὴν ἔασιν, τοῖς νοσοῦσι καὶ πρόφθασον, τοὺς ἐν τοῖς κινδύνοις, Θάλασσαν δὲ κόπασον, τοὺς Θαλαττεύουσιν, ἢ σου τὸ πολύαθλον σῶμα. Μάρτυς δεξαμένη φυλάττει, μέχρι τῆς κοινῆς ἐξαναστάσεως

Δόξα. ἦχος. β΄

Ἡ Ἐκκλησία σήμερον πανηγυρίζει μυστικῶς, νέαν στολὴν ἐνδυσαμένη, ὡς πορφύραν καὶ βύσσον, τὸ αἷμα τοῦ νέου ἀθλοφόρου, ὃν ὡς Θυσίαν ἄμωμον, δεκτήν, καὶ εὐάρεστον Χριστῷ προσαγαγοῦσα, μετὰ παρρησίας βοᾷ πρὸς αὐτόν· ὁ νικητὴν τοῦτον τῶν παρανόμων ἀναδείξας καὶ στεφανώσας καὶ δοξάσας, κατάπεμψον ταῖς αὐτοῦ πρεσβείαις τὸ μέγα καὶ πλούσιον ἔλεος, τοῖς ἐκ πόθου τελοῦσι τὴν πανέρον αὐτοῦ καὶ ὑπέρλαμπρον ἄθλησιν.

Καὶ νῦν. Θεοτοκίον. Παρῆλθεν ἡ σκιά. Εἴσοδος τὸ φῶς ἱλαρόν. Καὶ τὰ ἀναγνώσματα τοῦ Ἁγίου Πολυδώρου (σελὶς 13)

Στιχηρὰ εἰς τὴν Αἰτήν. Ἦχος α΄.

Πνευματικὴν χορείαν συγκροτήσωμεν τὰ πλήθη τῶν ὀρθοδόξων, ἐπὶ τῇ μνήμῃ Νικήτα τοῦ νεοφανοῦς ἀθλητοῦ· καὶ πρὸς αὐτὸν γηθοσύνως βοήσωμεν, λέγοντες· Χαίροις, ὁ τὸν Χριστὸν κηρύξας ἐν τῷ σταδίῳ τῶν παρανόμων, Θεὸν εἶναι ἀληθινόν, τὸ δὲ ἀλόγιστον τούτων σέβας, μυθώδη πλάνην, τοῖς Θεοσόφοις λόγοις ἐλέγξας πανένδοξε· Χαίροις, ὁ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, καὶ τὸν τῆς δικαιοσύνης στέφανον παρὰ Χριστοῦ κομισάμενος, τοῦ παρέχοντος εἰρήνην καὶ ἔλεος τοῖς ἐκ πόθου τελοῦσι τὴν πανσέβαστον μνήμην σου.

Ὁ αὐτός.

Τῷ Θείῳ πόθῳ τοῦ Χριστοῦ, Νικήτα Μάρτυς φλεγόμενος, εἰς οὐδὲν ἐλογίσω, ἀλλά σου τὸν λογισμὸν τοῖς οὐρανίοις κάλλεσι προσήλωσας, ἔσπευσας φθάσαι πρὸς τὸν ποθούμενον, οὗ καὶ τὰ στίγματα ἐν τῇ σαρκί σου χαίρων ἐβάστασας· οἷς σεμνυνόμενος, ἀδιαλείπτως πρέσβευε, δωρηθῆναι ἡμῖν τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ἦχος δ΄.

Σήμερον ὁ Δεσπότης Χριστός, οὐρανῶν τὰς πύλας ἀνοίξας, εἰς τοὺς ἀκηράτους δόμους δέχεταί σε, Νικήτα πανεύφημε, καὶ βασιλείας συμμέτοχον δείκνυσιν, ὡς συγκοινωνὸν τῶν αὐτοῦ παθημάτων· ᾧ παριστάμενος, μὴ ἐπιλάθου ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων, τὴν ἀεισέβαστον μνήμην σου.

Ἦχος πλ. α΄.

Τῇ παμφαεῖ πανηγύρει τοῦ νέου ἀθλητοῦ, δεῦτε συνδράμωμεν, προῦθηκε γὰρ ἡμῖν τράπεζαν μυστικήν, τὰς λαμπρὰς αὐτοῦ ἀριστείας καὶ τρόπαια, καὶ συγκαλεῖται πάντας πρὸς εὐωχίαν. Μηδεὶς ἐξέλθῃ πεινῶν τῆς ἱερᾶς ταύτης πανδαισίας, λαὶ γὰρ ἀμείβεται πάντας τοῖς οὐρανίοις χαρίσμασιν· ὧν ἐν μετοχῇ γενέσθαι ἀξιωθείημεν, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις αὐτοῦ παρακλήσεσι.

Δόξα, ἦχος πλ. α΄.
Πρὸς τὸ «Ἑλκόμενος ἐπὶ σταυροῦ».

Ἑλκόμενος ἐπὶ σφαγήν, οὕτως ἐβόας Ἅγιε διὰ ποῖον ἔργον θέλετέ με παράνομοι ἀποκτεῖναι; ὅτι τὸν ζωοδότην Χριστὸν ἐκήρυξα, ὅτι ὡς Θεὸν τοῦτον κατήγγειλα; τὸ ψεῦδος ἠλεγξάμην καὶ τὴν ἀπάτην ἐμείωσα; διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι; ἀλλ᾽ ὄψεσθε ὑμεῖς ἐν τῇ δόξῃ Χριστοῦ μὲ λάμποντα.

Καὶ νῦν. Μακαρίζομέν σε
Εἰς τὸν Στίχον. Ἦχος δ΄.
Ὡς γενναῖον ἐν μάρτυσι.

Τῷ Θεῷ διὰ πίστεως, στρατευθεὶς Μάρτυς ἔνδοξε, ἑκουσίως ἔδραμες πρὸς τὸ στάδιον, παρανομούντων γηθόμενος, Νικήτα οὐ θάνατος, οὐδὲ πῦρ, οὐκ αἰκισμοί, οὐ παρόντα, οὐ μέλλοντα, τῆς ἀγάπης με, τοῦ Χριστοῦ ἐπεβόας ἀθλοφόρε, ἐξισχύουσι χωρίσαι καὶ γὰρ ζωή μοι ὁ Θάνατος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Μονιὸς ὥσπερ ἄγριος, κατασχὼν σε ὁ δήμιος, ξίφει ἀνεπέτεμεν ἀπηνέστατα, τὴν κεφαλήν σου τὴν πάνσεπτον, Νικήτα καὶ ἔμεινε, τρέμων ὅλος ὁ δεινός, μέχρι τέλους δοξάσαντος, ὃν ἐδόξασας, τοῦ Θεοῦ σε τὸ βλέπειν δ᾽ ἀπεδόθη, τοῖς τυφλοῖς τῇ ἐπιχρίσει, τοῦ ἐκχυθέντος σου αἵματος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Μετὰ τέλος μακάριον, ἐν θαλάσσῃ ὠμότατα, ἀπερρίφθης ἔνδοξε τοῦ δικάζοντος, τῇ προστυχῇ καὶ ἀνέδραμες, ἐκεῖθεν γηθόμενος, εἰς αὐτοὺς τοὺς οὐρανούς, τοὺς στεφάνους ληψόμενος, καὶ παρίστασαι τῇ Ἁγίᾳ Τριάδι μετ᾽

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΛΟΓΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΟΡΕΣ ΠΑΠΑΓΡΑΦΟΣ

Ἀγγέλων, καὶ Μαρτύρων, ὡς τὸν θεόν, τούτων ζηλώσας πανεύφημε.

Δόξα, ἦχος δ΄.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὸν ἀθλοφόρον Χριστοῦ ἐν ὕμνοις τιμήσωμεν Νικήταν τὸν ἔνδοξον, σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλε, καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐπιτελούντων τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον.

Καὶ νῦν Θεοτοκίον. Ἐκ παντοίων κινδύνων. Ἀπολυτίκιον. Ἦχος δ΄. Ἀσκητικῶς προγυμνασθείς.

Ἀκαταγώνιστος ὀφθείς ἀθλοφόρε, τῶν ἐκ τῆς Ἄγαρ μηχανὰς ἐτροπώσω, καὶ ἐναθλήσας ἔνδοξε στεροῖς τὰ, ξίφος κατεπάλαισας, δυσμενῶν ἀοράτων, ὅθεν τὸ διάδημα, ἀνεπλέξω τῆς νίκης, ὑπὲρ ἡμῶν ἱκέτευε Χριστόν, νέε Νικήτα τῶν πίστει τιμώντων σε.

Δόξα. Καὶ νῦν. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Καὶ ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν πρώτην στιχολογίαν, Κάθισμα ἦχος γ΄. Θείας πίστεως.

Θεῖον φρόνημα ἀνειλημμένος, ὦ ὑπέρμαχε Νέου Νικήτα, καὶ τοῦ Χριστοῦ ὅπλῖτα στερρόψυχε. Ἀγαρηνῶν τε τὸ θράσος κατέβαλες, καὶ τὸν βελίαρ γενναίως κατήσχυνας, νίκης ἔπαθλα σαφῶς ἐκ Θεοῦ δεξάμενος, δώρησαι τοῖς πιστοῖς παθῶν ἰάματα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον ῥεύσαντα ἐλέησον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβείαις σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Μετὰ τὴν β΄. στιχολογίαν, κάθισμα ἦχος α΄. τὸν τάφον σου Σωτῆρ.

Πῷ μόνῳ βασιλεῖ, νῦν παρίστασαι χαίρων, διάδημα φαιδρόν, καὶ στολὴν ἐξ οἰκείων, βαφεῖσαν αἱμάτων σου περικείμενος ἔνδοξε, καὶ Θεούμενος καθαρωτάτῃ μεθέξει, ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὸν πολυέλεον.
Κάθισμα. Ἐπεφάνης σήμερον.

Ἑορτὴν ὑπέρλαμπρον ἡ Ἐκκλησία κεκτημένη ἔνδοξε, τὴν παναγίαν ἑορτήν, σῆς τελειώσεως κράζει σοι, χαίροις Νικήτα ἐμὸν ἀγαλλίαμα

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μὴ παρίδῃς Δέσποινα τὰς ἱκεσίας ἀλλὰ ταύτας πρόσφερε τῷ σῷ Υἱῷ ὑπὲρ ἡμῶν, τῶν μετὰ πόθου βοώντων σοι, χαῖρε Μαρία, βροτῶν ἡ ἀνάκλησις.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες. Μετὰ τὸ Εὐαγγέλιον ἰδιόμελον ἦχος β΄. Ζήτει εἰς τὸν Ἑσπερινόν. Ὁ κανὼν τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου, ἦχος πλ. δ΄.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Πᾶς εὐπροσδέκτοις ἱκεσίαις Δέσποτα, τοῦ νέου Μάρτυρος, σὴν ἐξαιτῶ

χάριν, ὅπως τὴν ὑπέρλαμπρον, καὶ θείαν αὐτοῦ ἄθλησιν, ἐξισχύσω ὑμνῆσαι, καὶ τὸν πρὸς σὲ θεῖον ἔρωτα, καὶ τὰ ὑπὲρ σοῦ ἀγωνίσματα.

Ἄγε τῶν θείων ἀθλοφόρων σήμερον, πᾶσα ἡ θεία πληθύς, τὸν φαεινὸν λύχνον, Νικήταν τὸν σύναθλον, ἐνδόξως προσδεξάμενοι, συγχωρεύσατε τούτῳ, καὶ γὰρ ἡμᾶς ἐκμιμούμενος, ἤθλησε γενναίως ὁ ἔνδοξος.

Ὄντως εἰς τέλος ὁ ἐχθρὸς ἠφάνισται, ὁ γῆν καὶ θάλασσαν μεγαλαυχῶν πᾶσαν, ἐξελείφειν ἔνδοξε, ποσὶ γὰρ σου πεπάτηται, ὡς στρουθίον Νικήτα, ἐν νεαζούσῃ ὑπάρχοντος, πάνυ ἡλικίᾳ νεομάρτυς.

Θεοτόκιον.

Τῶν λυπηρῶν ἐπαγωγαί χειμάζουσι, τὴν ταπεινήν μου ψυχήν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν θεονύμφευτε, ἀλλ' ἡ φῶς τεκοῦσα τὸ Θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

Σὺ ξίφος Μάρτυς τὸν στερρόν, τῆς καρτερίας σου πύργον, διετάραξεν Νικήτα, ἀλλ' ὤφθης, καρτερώτατος ποιναῖς, προσομιλῶν καὶ θλίψεσι, ταῖς παρ' ἐχθρῶν ἀσπλάγχνως, προσφερομέναις σοι ἔνδοξε.

Κατὰ τοὺς χρόνους, ἀθλητά, καθ' οὓς ὁ λύχνος ἐσβέσθη, τῆς ἀγάπης πρὸς Χριστόν, σὺ ἐφάνης, ὡς ὁ πρώταθλος θερμός, Στέφανος καὶ ἐνήθλησας, κρουνοῖς τῶν σῶν αἱμάτων, καταβυθίσας τὸν τύραννον.

Οὐκ ἀπηρνήσω τὸν Χριστόν, ἰδίᾳ γνώμῃ ἀλλ' ἄκων, ἑκουσίᾳ δὲ τυράννων ἀθέων, κατ' ἐνώπιον τρανῶς, ὁμολογήσας ἔφερες, τοὺς σπαραγμοὺς τοὺς τούτων, οἵ σε αὐτῷ προσῳκείωσαν.

Πολλοὺς ὑπέστης σπαραγμοὺς πρὸς τὸ τὴν θείαν Νικήτα, ἀπαρνήσασθαι σωτήριον κλῆσιν, τοῦ Χριστοῦ ἀλλ' εἰς κενόν, ὄντως κεκοπιάκασι, καὶ γὰρ μέρι θανάτου, ταύτην γενναίως ἐβάστασας.

Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνή, μετὰ τῶν ἄνω ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ Μαρτύρων ἱερῶν, καὶ προφητῶν ἱκέτευε, ὅπως τελείαν λύσιν, ἁμαρτημάτων λῆψώμεθα.

Κάθισμα, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Μαρτύρων ἐν αἵματι, καλλωπιζόμενος, Κυρίῳ παρίστασαι τῷ τοῦ παντὸς βασιλεῖ, Νικήτα πανεύφημε, ὅθεν ἐν εὐφροσύνῃ τὴν ἁγίαν σου μνήμην, σήμερον ἐκτελοῦμεν ὀφλημάτων τὴν λύσιν, αἰτούμενοι, εὑρεῖν διὰ σοῦ, καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Πανάμωμε, λύσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανάς, καὶ κατάβαλε θράσος, τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Οὐκ εἰρκτὴ οὐδὲ μάστιγες, οὐ θυμὸς τυράννων, ἀλλ' οὐδὲ θάνατος, τῆς ἀγάπης ἠδυνήθησαν, ἐκχωρίσαι, Μάρτυς τοῦ Δεσπότου σου.

Θαῦμα ὄντως παράδοξον, πῶς ἀσάρκους Μάρτυς ἐχθροὺς κατέβαλες, ἁπαλῷ λέαν ἐν σώματι, ψυχῇς δὲ γενναίῳ ἐν φρονήματι.

Οὐκ ἀρνοῦμαι τὸ ὄνομα, τοῦ Χριστοῦ, ἐβόας Μάρτυς ἑλκόμενος, πρὸς σφαγὴν ὡς ἀμνὸς ἄκακος, ἀλλὰ φέρω πάντα νῦν γηθόμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΙΓΑΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Θεοτοκίον.

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ τῆς ἀρρωστίας κατακειμένῳ μοι ὡς φιλάγαθος βοήθησον, Θεοτόκε μόνη Ἀειπάρθενε.

Ὠδὴ, έ. Ἵνα τί με ἀπώσω.

Ἵνα τί σύ βραδύνῃς, ἔκραξες γηθόμενος, δημίῳ ἔνδοξε, καὶ οὐ θανατοῖς με, προξένων μοι τὰ θεῖα σκηνώματα, ἅπερ παθὼν ᾐθάσαι θνήσκω προθύμως ὅπως λάβω, πρὸς Θεοῦ τὴν ζωὴν τὴν αἰώνιον.

Σοῦ τὸ πάνσεπτον σῶμα, Μάρτυς ἐναπέρριψαν θαλάσσῃ ἄνομοι, μετὰ τὴν τοῦ ξίφους, ἔκτομὴν ζημιῶσαι οἰόμενοι, τὸ τῶν ὀρθοδόξων, πλήρωμα ὅλως μὴ εἰδότες, ὅτι πάντας ἡμᾶς ἐποπτεύεις σὺ ἄνωθεν.

Νέος ὢν ἡλικίαν, ἔσχες σου τὸ φρόνημα Νικήτα ἔνδοξε, ὡς ὁ θεῖος πάλαι, Δανιὴλ γηραλέον καὶ πάνσοφον, ὅθεν ἀπογόνους, Μάρτυς τῆς Ἄγαρ ὡς ἐκεῖνος, πρεσβυτέρους αἰσχύνας δεδόξασαι.

Θεοτοκίον.

Πί σοι δῶρον προσάξω, τῆς εὐχαριστίας, ἀνθ' ὧν περ ἀπήλαυσα τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος· Τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω, σοῦ τὴν ἄφατον πρός με συμπάθειαν.

Ὠδὴ στ'. Ἰλάσθητί μοι σωτήρ.

Εὐφραίνεται μυστικῶς, ἡ Χίος Μάρτυς κατέχουσα, Νικήτα τὸ ἐκχυθέν, σεβάσμιον αἷμά σου, ἐν κόλποις κράζει σοι· μή μου ἐπιλάθου, μέχρι τέλους εὐφημούσης σε.

Ἐνήθλησας ἀνδρικῶς, ποσί σου κτείνας τὸν δράκοντα, καὶ νῦν ἐν τοῖς οὐρανοῖς, ἀγάλλῃ δρεπόμενος, τὰ γέρα τῶν πόνων σου καὶ ἡμῖν βραβεύων τὴν εἰρήνην ταῖς πρεσβείαις σου.

Ἀνέτειλας ἀληθῶς, ὡς ἄστρον φαῖνον τὴν σύμπασαν, ἀκτῖσι τῶν φαεινῶν καὶ θείων ἀγώνων σου, Νικήτα πανεύφημε, δόξα τῶν Μαρτύρων, καὶ ὑμνούν των σε ὁ στέφανος.

Θεοτοκίον.

Ῥυσθείημε τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ ἁγνή, καὶ τύχοιμεν πάναγνε τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Κοντάκιον.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Νεοφανὴς ὡς περ ἀστὴρ ἀθλοφόρε, ἐξανατείλας τῇ σεπτῇ Ἐκκλησίᾳ, τῶν εὐσεβῶν κατηύγασας τὰ πρόσωπα, πόθῳ εὐφημούντων σε, καὶ τελούντων Νικήτα, σῆς στεφηφόρου ἀθλήσεως, τὴν ὑπέρλαμπρον μνήμην, καὶ ἐκβοώντων δόξα σοι Χριστέ, τῷ τὸν ὁπλίτην τὸν σὸν στεφανώσαντι.

Ὁ Οἶκος.

Τοῦ ἀθλοφόρου τὴν ὑπέρλαμπρον μνήμην, δεῦτε πάντες τῶν ὕμνων τοῖς στεφάνοις λαμπρῶς καταστέψωμεν, καὶ γὰρ οὗτος ὁ τῆς ἐπουρανίου νίκης φερώνυμον κλῆσιν πλουτῶν, τὸν παλαιὸν πτερνιστὴν ἐν ἀπαλῷ κομιδῇ τῷ σώματι ἐκνικήσας, ὁμβρίζει, ἀντὶ αἱμάτων ἱερῶν, ἰαμάτων τὰ ρεύματα· σὺν τούτοις δὲ πᾶσι χαίρει Χριστῷ, καὶ δίδωσιν εἰρήνην ἀνέκλειπτον, τοῖς ἐκ πόθου βοῶσι· δόξα σοι Χριστέ, τῷ τὸν ὁπλίτην τὸν σὸν στεφανώσαντι.

Τῷ αὐτῷ μηνὶ κα'. Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Νικήτα τοῦ νέου τττῦ Νισυρίου, τοῦ ἐν Χίῳ ἀθλήσαντος.

Τιμηθεὶς Νικήτα τὸν σὸν αὐχένα ξίφει,
Τέτμηκας ἐχθροῦ τὰς πανουργίας πάσας.
Εἰκάδι ἀμφὶ πρώτῃ ιμήθη Νικήτα κεφαλή.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ
ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
ΝΙΚΗΤΑ ΤΟΥ ΝΙΣΥΡΙΟΥ

Οὗτος ὁ νέος Μάρτυς τοῦ Χριστοῦ Νικήτας, ἦτον ἀπὸ τὴν Νίσυρον, ἡ ὁποία εἶναι μία μικρὰ νῆσος, ἀναμεταξὺ τῆς Κῶ καὶ τῆς Ρόδου κειμένη. Χριστιανῶν γονέων υἱός· ὁ δὲ πατὴρ αὐτοῦ, ὡς ἐπισημότερος τῶν ἄλλων, ἦτο προεστὼς τῆς νήσου, ἀλλ' ὅμως διὰ κάποια του ἐγκλήματα, τὸν ἔσυραν εἰς κριτήριον, καὶ ἐκεῖ κρινόμενος, καὶ ἐξαταζόμενος ἐφοβήθη, καὶ ἐπροτίμησεν ὁ ἄφρων τὴν πρόσκαιρον ταύτην ζωήν, ἀπὸ τὴν αἰώνιον· Ὅθεν ἀρνηθεὶς τὴν εἰς Χριστὸν πίστιν, ἐτούρκευσεν ὁ τρισάθλιος, καὶ οὕτως ἀπέφυγε τὴν κρίσιν, ἀφ' οὗ δὲ ἐτούρκευσεν αὐτός, συνέλαβον οἱ ἀγαρηνοὶ καὶ τὰ παιδιά του, κατὰ τὴν συνήθειάν τους, καὶ τὰ ἐτούρκευσαν, μετὰ δὲ τῶν ἄλλων ἐτούρκευσαν καὶ τοῦτον τὸν Νικήταν, περὶ τοῦ ὁποίου εἶναι ἐνταῦθα ὁ λόγος· ὁμοίως καὶ ἡ μήτηρ του (διὰ νὰ μὴ χωρισθῇ ἴσως ἀπὸ τὰ τέκνα της, ἄδηλος γὰρ ἡ αἰτία), ἀρνηθεῖσα τὸν Χριστόν, ἐδέχθη τὸν τουρκισμόν· ἡ παναθλία, καὶ ὅλη πλέον ἡ οἰκογένεια ἐκείνη, παρεδόθη τῷ Σατανᾷ· Ὁ δὲ Νικήτας, τόσον πολλὰ νέος ἦτον εἰς τὴν ἡλικίαν τότε, ὥστε ὅπου δὲν ἔλαβε παντελῶς ἰδέαν Χριστιανισμοῦ, ἀλλὰ τοὔτοχος ἐγνώρισε τὸν κόσμον, καὶ μὲ τουρκικὰ φρονήματα ἀνετράφετο, καὶ προέκοπτε μάλιστα ἐν τῷ Μωαμεθανισμῷ, καθὼς ὁ Παῦλος ἐν τῷ Ἰουδαϊσμῷ, πρὸ τοῦ νὰ φωτισθῇ οὐρανόθεν, καὶ νὰ ἔλθῃ εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας. Ἐπρόκοπτε. λέγω, καὶ πολὺν ἐδείκνυε ζῆλον διὰ τὴν πλάνην, εἰς τὴν ὁποίαν εὑρέθη· ὅθεν καὶ ὁ φιλάνθρωπος Θεός, ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἀπὸ τὸν ζῆλον ἐκεῖνον τὸν οὐ κατ' ἐπίγνωσιν, τὸν ἔφερεν εἰς ἐπίγνωσιν ἀληθείας καὶ Θεοσεβείας, καθὼς καὶ τὸν θεῖον Παῦλον· πῶς δὲ καὶ μὲ ποῖον τρόπον, ἀκούσατε συντόμως τὴν περὶ τούτου διήγησιν, διὰ νὰ θαυμάσητε τοὺς τρόπους ὅπου μεταχειρίζεται ἡ πάνσοφος τοῦ Θεοῦ πρόνοια διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων.

Συνέβη ἐν μιᾷ τῶν ἡμερῶν, νὰ μαλώσῃ μὲ ἕνα τουρκόπουλον, μὲ τὸ ὁποῖον ἐσυναναστρέφετο, καὶ ἡ μήτηρ ἐκείνου τοῦ ἄλλου παιδίου, ἠξεύρουσα τὰ περὶ τοῦ Νικήτα, τὸν ὕβρισε, καὶ πολλὰ σκληρὰ λόγια τὸν ἐλάλησεν, ὀνομάζουσα αὐτὸν μουρτάτην, (ἀκάθαρτον) καὶ ἄπιστον, καὶ ἄλλα παρόμοια ὅπου συνηθίζουν αὐτοὶ νὰ λέγουν εἰς τοὺς ἀπὸ χριστιανῶν εἰς τὴν πλάνην αὐτῶν ἐπιστρέφοντας· ὁ δὲ Νικήτας ἂν καὶ παιδίον, πλὴν ζηλωτής, καθὼς εἴρηται, δὲν ὑπέφερε τὰς ὕβρεις καὶ τοὺς ὀνειδισμοὺς ἐκείνους· ὅθεν τρέχει μὲ πολλὴν λύπην καὶ ἀγανάκτησιν, καὶ φανερώνει τὰ γενόμενα εἰς τὴν μητέρα του, καὶ ζητεῖ ἀπαραιτήτως ἀπὸ αὐτὴν νὰ τοῦ εἰπῇ διὰ ποίαν αἰτίαν νὰ τὸν ὀνειδίζῃ ὡς ἄπιστον· αὐτὴ ὅμως τὸν ἔλεγε, νὰ μὴν τὰ νομίσῃ τίποτε, λέγουσα, «δὲν σὲ μέλει, ἂς τὸ εἰπε τίποτε δὲν εἶναι· ὁ Θυμὸς τὴν ἐπαρακίνησε νὰ τὸ εἰπῇ·» ὁ δὲ Νικήτας δὲν κατεπείθετο· ἀλλ' ἐζήτει μὲ μεγάλην ἔρευναν, ὡσὰν νὰ τὸν ἐβιαζέ τις νὰ μάθῃ· τέλος πάντων, ὕστερον ἀπὸ πολλὴν ὥραν καὶ ἀπὸ πολλὴν ἐξέτασιν βασθεῖσα, τοῦ διηγήθη τὴν ἀρχήν τους· τί ἦσαν, καὶ ποῦ κατήντησαν· ταῦτα παρὰ τῆς μητρός του ἀκούσας τὴν ἠρώτησε, λέγων, «καὶ τί μὲ ἔλεγαν ὅταν ἤμην Χριστιανός», καὶ αὐτὴ ἀπεκρίθη ὅτι τὸν ὠνόμαζον Νικήταν. Ἐσιώπησε λοιπὸν καὶ ἡσύχασε πλέον, μαθὼν ὅτι δικαίως, τρόπον τινά, τὸν ὠνείδισεν, ὡσὰν ὁποῦ δὲν ἦτον ἀπὸ τοὺς προγόνους του τοῦτορκος, ὅμως κατὰ ἄλλον τρόπον ἐσυγχίσθη καὶ ἐλυπήθη λύπην μεγάλην, διὰ τί νὰ χάσῃ τὴν προγονικήν του πίστιν, καὶ νὰ εὑρίσκεται εἰς τὴν τουρκικήν, τὴν ξένην, ὑβριζόμενος καὶ ὡς ἄπιστος· τοιοῦτοι θεῖκοὶ καὶ σωτήριοι λογισμοὶ ἀνέβησαν εἰς τὸν νοῦν τοῦ εὐλογημένου, Νικήτα ὅθεν ἐσυλλογίζετο μόνος, χωρὶς νὰ φανερώσῃ τοὺς λογισμούς του εἰς τινα, μὲ ποῖον τρόπον νὰ ἐπιστρέψῃ καὶ νὰ ἔλθῃ πάλιν εἰς τὴν προγονικήν του Χριστιανικὴν πίστιν· εἰς καιρὸν λοιπὸν ὁποῦ τοὺς τοιούτους λογισμοὺς ἔτρεφε μέσα εἰς τὸν νοῦν του, καὶ ἐζήτει εὐκαιρίαν νὰ φύγῃ κρυφίως ἀπὸ τοὺς γονεῖς του, διὰ νὰ ὑπάγῃ εἰς ἄλλον Χριστιανικὸν τόπον καὶ ἐμποδίζετο ἀπὸ πλοῖον, καὶ ἀπὸ τὰ χρειαζούμενα τοῦ ταξειδίου, εἰς ἕνα τοιοῦτον καιρόν, λέγω, εὐδόκησεν ὁ Θεός, καὶ εὑρέθη καϊκι, μέσα εἰς τὸ ὁποῖον ἐμβαρκαρίσθη, καὶ ἐβγῆκεν εἰς ἕνα ἀπὸ τὰ Μαστιχόχωρα τῆς Χίου Λιθῆς λιμένας λεγόμενον· ἐξελθὼν δὲ εἰς κάποιον μέρος ἐκεῖ ξένος καὶ ἀγνώριστος, ἠκολούθησεν ἕνα δρόμον, χωρὶς νὰ ἠξεύρῃ ποῦ ὑπάγει, μὲ καλὰς ἐλπίδας ὅμως, ὅτι ὁ Θεὸς θέλει τὸν ὁδηγήσῃ εἰς τὸ θέλημά του τὸ ἅγιον· καὶ κατὰ ἀλήθειαν οὕτως ἔγεινεν, διότι ὁ Θεὸς ὁ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτόν, τὸν ὡδήγησε καὶ τὸν ἔφερε, μὲ κάθε λογῆς ἀσφάλειαν, ὡσὰν εἰς λιμένα σωτήριον, εἰς τὴν Νέαν Μονήν· ἐλθὼν δὲ ἐκεῖ, ἐφανέρωσεν εἰς τὸν ἡγούμενον, τί ἄνθρωπος ἦτον καὶ ποῖον σκοπὸν εἶχε, καὶ ἐζήτει παρ' αὐτοῦ συμβουλὴν τί νὰ κάμῃ· ὁ δὲ ἡγούμενος τὸν ἔστειλε, καὶ ἐξωμολογήθη εἰς ἕνα ἐνάρετον ἀρχιερέα ὁποῦ ἡσύχαζε τότε ἐκεῖ, πρώην Θηβῶν Μακάριον τὸ ὄνομα, ἔπειτα τὸν ἐκατήχησαν, τὸν ἐμύρωσαν, καὶ μετὰ ταῦτα διέτριβε μέσα εἰς τὸ Μοναστήριον, ἀγνώριστος εἰς τοὺς πολλούς· διατρίβων δὲ ἐκεῖ, ἔκαμνε μερικὰ καλά, ἀλλὰ μὲ τρόπον παιδαριώδη· ἤγουν ἔπερνε κηρία καὶ ἐπήγαινε

μόνος εἰς τὸν νάρθηκα τῆς Ἐκκλησίας, καὶ τὰ ἤναπτεν, ἀλλὰ εἰς τὸ μανουάλιον ὁποῦ εἶναι ἐκεῖ, ἄλλα εἰς ἄλλους Ἁγίους ὁποῦ εἶναι τριγύρω εἰς τοὺς τοίχους ζωγραφισμένοι· ἔπειτα προσηύχετο εἴτε ἤξευρεν, ἐμετάνοιζε, καὶ οὕτως ἐπέρνα τὸν καιρὸν του μέσα εἰς τὴν Ἐκκλησίαν μὲ νηστείαν καὶ ἐγκράτειαν· ἐζήτησε δὲ καὶ ἁγιασμόν, καὶ τὸν ἐβιάσταζε πάντοτε ἐπάνω του, μέσα εἰς ὑάλινον δοχεῖον, καὶ εἰς κάθε ὀλίγην ὥραν ἔπινεν ἀπὸ αὐτόν· δι' αὐτὰ λοιπὸν καὶ ἄλλα παρόμοια ὁποῦ τὸν ἔβλεπαν νὰ κάμνῃ, ἄλλοι τὸν ἐνόμιζαν σαλόν, καὶ ἄλλοι πολλὰ εὐλαβῆ· μὲ αὐτὰ ὅμως τόσον ἐθερμάνθη ἀπὸ τὴν ἀγάπην τῆς εὐσεβείας, τόσον ἤναψεν ἡ καρδία του ἀπὸ τὸν ἔρωτα τοῦ Χριστοῦ, ὥστε ὁποῦ ἀκούσας κάποιαν φοράν, ὅτι οἱ ἐξομώσαντες εἶναι χρεία νὰ κηρύξουν παῤῥησίᾳ τὴν πίστιν ὁποῦ ἠγνήθησαν, νὰ ὁμολογήσουν τὸν Χριστόν, καὶ νὰ χύσουν τὸ αἷμά τους διὰ τὴν ἀγάπην του, ἀκούσας, λέγω, τοῦτον τὸν λόγον, τὸν ἐδέχθη μὲ ἄῤῥητον χαρὰν καὶ ἀγαλλίασιν τῆς ψυχῆς του, καὶ ἐδόθη ὅλος εἰς αὐτὸν τὸν λογισμόν· νὰ ἀποθάνῃ δηλαδὴ ὑπὲρ πίστεως, καὶ νὰ μαρτυρήσῃ ὑπὲρ Χριστοῦ· ἀνέβη δὲ μετὰ ταῦτα καὶ εἰς τὸ σπήλαιον τῶν Ἁγίων πατέρων (εἶναι δὲ αὐτὸ τὸ σπήλαιον ἐπάνω εἰς ἕνα ὄρος, μέσα εἰς τὸ ὁποῖον ἠσκήτευαν οἱ ὅσιοι πατέρες οἱ κτίτορες τῆς Μονῆς,1) καὶ οἱ μεταγενέστεροι τὸ ἔκαμαν Ἐκκλησίαν), καὶ ἔκαμνε πάλιν τὰ ἴδια ἤναπτε κηρία, προσηύχετο, ἔκαμνε γονυκλισίας· πρὸς τούτοις, ὧν ἀποφασισμένος εἰς τὸν ὑπὲρ Χριστοῦ θάνατον, ἔκαμνε καὶ ἄλλο, ἀπὸ τὸ ὁποῖον μάλιστα, ἐνόμισαν ἐκεῖνοι ὁποῦ τὸν εἶδον, ὅτι δὲν ἔχει σῶας τὰς φρένας του· ἐκάθησε, λέγω, μόνος του, καὶ ἐξέσχισεν ἕνα ἀρκετὸν μέρος ἀπὸ τὸ φόρεμά του, καὶ τὸ ἔδωκεν εἰς τοὺς ἐκεῖ ἡσυχάζοντας, λέγων εἰς αὐτοὺς νὰ σπογγίζουν τὰς χεῖράς των, ὅταν ἀνάπτουν τὰ κανδήλια· ἔπειτα ἔῤῥαψε, καὶ ἤνωσε πάλιν τὸ ἐπίλοιπον φόρεμα· μετὰ ταῦτα ἐξερχόμενος πλέον ἔξω ἀπὸ τὴν πόρταν νὰ φύγῃ, εἶπε πρὸς τοὺς Μοναχούς, «εὔχεσθε ὑπὲρ ἐμοῦ νὰ τελειώσω τὸν πόθον μου, καὶ τὸν σκοπόν μου·» οἱ δὲ ἐρωτήσαντες αὐτόν, τίς καὶ πόθεν ἦτο, καὶ ποῖος ἦτον ὁ σκοπός του· ἔμαθον ἀπὸ αὐτὸν τὸν ἴδιον ἀκριβῶς τὰ πάντα, καὶ ἐθαύμασαν εἰς τὴν ἀνδρείαν ὁποῦ ἔδειχνε· τότε ἐγνώρισαν, ὅτι καὶ τὸ νὰ δώσῃ εἰς ὑπηρεσίαν τοῦ ναοῦ, ὄχι τὸ περίσσευμά του, ἀλλὰ τὸ ἀναγκαῖον καὶ ἀπαραίτητον σκέπασμα τοῦ σώματός του, ἦτον σημεῖον τῆς πρὸς τὸν Θεὸν ἀγάπης του, καὶ ἀνώτερον καὶ ἀπὸ τὸ ἔργον τῆς Εὐαγγελικῆς ἐκείνης χήρας, ἡ ὁποία ἔβαλε τὰ δύο λεπτὰ εἰς τὰ δῶρα τοῦ Θεοῦ· αὐτὰ ἠκούσαμεν, ἀδελφοί, μὲ τὰ ἴδιά μας ὦτα καὶ ἐμάθομεν αὐτοπροσώπως ἀπὸ τὸν πανοσιώτατον παπὰ Ἄνθιμον, τὸν ἐπικληθέντα Ἁγιοπατερίτην, μὲ τὸ νὰ ἡσύχαζεν ἐκεῖ εἰς τὸ ἡσυχαστήριον τῶν ὁσίων πατέρων, ἀπὸ ἄνθρωπον δηλονότι φιλαληθέστατον, καὶ μεγάλης ὑπολήψεως διὰ τὴν ἀρετήν του· ἀπὸ τὰ ὁποῖα, ἄλλα μὲν ἤκουσεν ὁ ἴδιος, ἀμέσως ἀπὸ τὸν Μάρτυρα Νικήταν, ἄλλα δὲ ἀπὸ τοὺς καλογήρους τῆς Μονῆς. Ἀναχωρήσας δὲ ἀπὸ ἐκεῖ, ἔπειτα κατέβη πάλιν εἰς τὴν Μονήν, καὶ ἐζήτει ἄδειαν ἀπὸ τοὺς πατέρας νὰ παρρησιασθῇ, διὰ νὰ μαρτυρήσῃ· τότε λοιπὸν συνελθόντες ὅλοι ὁμοῦ οἱ προεστῶτες ἐσυνωμίλησαν τί νὰ κάμουν περὶ αὐτοῦ· καὶ τινὲς μὲν εὕρισκον εὔλογον νὰ μὴν τὸν ἀφήσουν νὰ παρρησιασθῇ, διότι ἦτον πολλὰ νέος (ἦσως δεκαπέντε ἢ δέκα ἓξ χρόνων), φοβούμενοι μήπως δὲν ἤθελε δυνηθῇ νὰ βαστάξῃ τὰ βάσανα τοῦ μαρτυρίου, καὶ μείνῃ πάλιν εἰς τὴν ἀσέβειαν ὡς καὶ πρότερον, ἀφοῦ ἦτον δυνατὸν νὰ περάσῃ τὴν ζωήν του εἰς τὸ κρυπτὸν χριστιανικά, καὶ νὰ σωθῇ· μερικοί, λέγω, εἶχον τοιαύτην γνώμην· ἄλλοι πάλιν ἔλεγον, ἀφοῦ αὐτὸς θεληματικῶς ἀφ' ἑαυτοῦ του, χωρὶς νὰ τοῦ εἰπῇ τις, ἐζήτει τὸ μαρτύριον μὲ προθυμίαν πολλήν, δὲν πρέπει νὰ τὸν ἐμποδίσουν.

Τέλος πάντων ἀπεφάσισαν, ὅτι νὰ κάμουν μίαν παράκλησιν εἰς τὴν Παναγίαν πρότερον καὶ ἔπειτα νὰ τὸν ἐξαποστείλουν εἰς τὸν ποθούμενόν του δρόμον καὶ οὕτως ἔγινε· μετὰ τὴν παράκλησιν ἐκείνην λοιπόν, λαβὼν εὐλογίαν καὶ συγχώρησιν καὶ ὁδηγὸν τοῦ δρόμου, κατέβη εἰς τὴν χώραν· ἐλθὼν δὲ εἰς κάποιον μέρος ὅπου λέγεται Μόλος, ἐπιάσθη διὰ τὸ χαράτζι (φόρον) (ἦτον δὲ τότε ἄνθρωπος τοῦ χαρατζῆ ἕνας κακότροπος ἄνθρωπος Κριμλῆς τὸ γένος)· ἀλλ' ἐπειδὴ χαρτὶ δὲν εἶχεν, οὐδὲ ἄσπρα νὰ πληρώσῃ, προφασιζόμενος, ὅτι ἦτον καραβοτσακισμένος, τὸν ἔσερνεν εἰς τὴν φυλακήν, ὁδηγήσας δὲ αὐτὸν ἔξω, εἰς τόπον λεγόμενον Βουνάκι, τὸν ἔστησεν ἔξω ἀπὸ ἕνα καφενεῖον, καὶ ἐπαραμόνευε νὰ πιάσῃ καὶ ἄλλους διὰ τὸ χαράτζι, νὰ τοὺς ὑπάγῃ ὅλους εἰς τὴν φυλακήν. Ἀλλὰ τὴν ὥραν ἐκείνην, ἰδοὺ περνᾷ ἀπ' ἐκεῖ ἕνας γνώριμός του, παπᾶ Δανιὴλ τὸ ὄνομα, καὶ βλέπων αὐτὸν τὸν ἐχαιρέτησε κράζων αὐτὸν μὲ τὸ ὄνομά του Μεϊμέτην, καὶ ἀκολούθως ἐζήταζε διὰ ποίαν αἰτίαν ἦτον κρατημένος ἐκεῖ. Ἀκούσας δὲ ὅτι διὰ τὸ χαράτζι, καὶ ἀγνοῶν τὸν σκοπὸν τοῦ Νικήτα, ἔλεγε «τώρα νέον ἔγινε νὰ πληρώνουν καὶ οἱ Τοῦρκοι χαράτζι;» Ταῦτα ὁ νέος ἀκούσας, ἐφώναξε· «τί λέγεις ἄνθρωπε; λάθος ἔχεις, ἐγὼ εἶμαι Χριστιανός, ὀνομάζομαι Νικήτας». Ὁ δὲ προειρημένος Κριμλῆς εὑρισκόμενος ἐκεῖ πλησίον, ἤκουσε τὰ λόγια ταῦτα· ὅθεν ἠρώτα καὶ ἐξήταζεν· ἐπειδὴ ὁ θεόφρων Νικήτας, ἔλεγεν ὅτι ἦτον Χριστιανός, καὶ ὁ ἄνθρωπος ἐκεῖνος ἦτο λανθασμένος, διὰ τοῦτο τὸν ὡδήγησεν εἰς τὸ κονάκι, καὶ τὸν ἀνέβασεν εἰς τὸν Ἁγᾶν, ἐκεῖ δὲ ἠρωτήθη, καὶ ἐξητάσθη ἐμπροσθεν εἰς πολλοὺς καὶ αὐτὸς ἀπεκρίθη καθὼς τὸ Πνεῦμα τὸ Ἅγιον τὸν ἐφώτισε τὴν ὥραν ἐκείνην· τὸ γὰρ Ἅγιον Πνεῦμα (λέγει ἡ Κυριακὴ ὑπόσχεσις) «διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρα ἃ δεῖ εἰπεῖν»· ἀφ' οὗ ὅμως περιεργότερον ἐρευνήσαντες, εὗρῆκαν τὴν μυσαρὰν σφραγῖδα τῆς θρησκείας των, ἤρχισαν νὰ φωνάζουν καὶ νὰ τὸν ὑβρίζουν, διατὶ ἐτόλμησε νὰ ἀρνηθῇ τὴν πίστιν τους, καὶ νὰ γίνῃ Χριστιανός· ἔπειτα καὶ μὲ μυρίας τιμωρίας τὸν ἐφοβέριζαν μὲ καθε τρόπον καὶ τὸν ἠνάγκαζαν νὰ μένῃ τοὔρκος, νὰ μὴν ἀτιμάσῃ τὴν θρησκείαν τοτς, ἐπιστρέφων πάλιν εἰς τὴν Χριστιανικὴν πίστιν· ὁ θεῖος Νικήτας ὅμως οὔτε διὰ τὰς ὕβρεις ὁποῦ διὰ τὸν Χριστὸν ἤκουσεν, ἐντράπηκε, οὔτε διὰ τοὺς φοβερισμοὺς ἐφοβήθη, ἀλλ' ἔμενε στερεὸς καὶ ἀκλόνητος εἰς τὴν ὁμολογίαν τῆς πίστεώς του, τὴν δὲ θρησκείαν ἐκείνων ἤλεγχε καὶ ἠρνεῖτο, καὶ μὲ τέλειον μῖσος τὴν ἀπεστρέφετο.

Τί δὲ οἱ Ἀγαρηνοί; ἀφ' οὗ πλέον τὸν ἐγνώρισαν ὅτι

1) Ὁ Νικήτας, ὁ Ἰωάννης καὶ ὁ Ἰωσὴφ (κ. π.)

δὲν εἶχεν, ὡς παιδίον, παιδαριώδη φόβον καὶ δειλίαν, ἀλλ' εἶχεν ἀνδρικόν, γενναῖον φρόνημα, ἐδοκίμασαν μὲ ἄλλον τρόπον νὰ μεταβάλλουν τὴν γνώμην του, καὶ μὲ κολακείας δηλονότι πολλάς, μὲ ὑποσχέσεις διαφόρων ἀγαθῶν, πλούτου, δόξης, καὶ τῶν ὁμοίων· καὶ ταῦτα μὲν ἐκεῖνοι οἱ ματαιόφρονες ὑπέσχοντο καὶ ἔταζαν· τί δὲ ὁ οὐρανόφρων, καὶ γενναῖος τοῦ Χριστοῦ ἀθλητής; καθὼς τοὺς προτέρους φοβερισμοὺς δὲν ἐλογάριασε διὰ τίποτε, οὕτω καὶ τὰς κολακείας δὲν ἐδέχθη, οὐδὲ τὰς ἔλαβεν ὑπ' ὄψιν του παντελῶς· καὶ ὄχι μόνον δὲν μετεβλήθη παντελῶς ἀπὸ αὐτὰ ἡ γνώμη του, καθὼς ἐκεῖνοι ἤλπιζαν, ἀλλὰ μᾶλιστα τὸ ἐναντίον ἐγένετο· ὅσον ἐβιάζετο ἀπό αὐτοὺς νὰ προδώσῃ τὴν εὐσέβειαν, τόσον ἤναπτεν ὅλος ἀπὸ τὴν φλόγα τῆς τοῦ Χριστοῦ ἀγάπης· ὅθεν χωρὶς νὰ συλλογισθῇ τὴν ὥραν ἐκείνην, ὅτι ἦτον ὡσὰν ἕνα πρόβατον, ἐν μέσῳ πολλῶν αἱμοβόρων λύκων, χωρὶς νὰ βάλῃ εἰς τὸν νοῦν του, ὅτι ἔμελλε νὰ παραδώσῃ τὸ τρυφερώτατον καὶ ἁπαλώτατον σῶμά του εἰς τὰς χεῖρας ἀνθρώπων σκληρῶν καὶ ἀπλάγχνων, χωρὶς νὰ συλλογισθῇ, λέγω, κανένα ἀπὸ αὐτά, καὶ διὰ τοῦτο νὰ δειλιάσῃ, μὲ γνώμην βεβαίαν, μὲ ψυχῆς γενναιότητα, ἐστάθη εἰς τὸ μέσον τῶν ἀγαρηνῶν ἐκείνων καὶ ἐκήρυξε τὴν εὐσέβειαν· ὁμολόγησε μὲ κάθε ἐλευθεροστομίαν, τὸν μὲν Χριστὸν Θεὸν ἀληθινόν, τὸν δὲ ἀρχηγὸν τῆς Θρησκείας των ἤλεγξε πολλὰ καὶ ἐθεάτρισε· βλέποντες λοιπὸν ἐκεῖνοι τὸ ἀμετάθετον τῆς γνώμης του, καὶ μάλιστα μὴ ὑποφέροντες τὸ γενναῖον φρόνημα καὶ τὴν μεγάλην παρρησίαν, ἠγανάκτησαν, ἤνοιψαν ἀπὸ τὸν θυμόν, καὶ μὲ ὕβρεις, καὶ δαρμοὺς πολλοὺς τὸν ἐφυλάκισαν, καὶ μὲ διαφόρους βασάνους τὸν ἐβασάνισαν· ὁ δὲ Μάρτυς μὲ νηστείαν καὶ προσευχήν, ἐζήτει τὴν ἐξ ὕψους βοήθειαν καὶ δύναμιν· ἔλεγον δὲ οἱ εὐρεθέντες Χριστιανοὶ μέσα εἰς τὴν φυλακήν, ὅτι τὸν ἐπαρεκίνησαν πολλὰ νὰ φάγῃ, καὶ αὐτὸς ἀπεκρίθη πρὸς αὐτούς, ὅτι «ἐγὼ τρέφομαι μὲ τροφήν, τὴν ὁποίαν ἐσεῖς δὲν ἔχετε, καὶ εὐφραίνομαι μὲ εὐφροσύνην, τὴν ὁποίαν ἐσεῖς δὲν δύνασθε νὰ αἰσθανθῆτε» ἔπειτα καὶ εἰς τοὺς πόδας τῶν ἀλλόγων τὸν ἔρριψαν δεσμιον τὰς χεῖρας καὶ τοὺς πόδας, διὰ νὰ τὸν πατήσουν, καὶ νὰ τὸν θανατώσουν κρυφίως μέσα εἰς τὸν σταῦλον διὰ μὴν ἀκούεται ἔξω εἰς τοὺς Χριστιανούς ἡ παρρησία καὶ ἡ ἀνδρεία του· ἀλλ' ἀφοῦ, θείᾳ βοηθείᾳ, ἔμεινεν ἀβλαβὴς καὶ ἀπὸ τὰ ἄλογα, τὸν ἔβγαλαν ἐκεῖθεν, καὶ τὸν ἔβαλαν εἰς τὴν σκοτεινὴν φυλακήν, μέσα εἰς τὸ κάστρον, καὶ ἐκεῖ τοῦ ἔκαμαν πολλὰ καὶ δεινὰ κολλαστήρια καθὼς ἠκούετο τότε, (ὅμως ποῖα, καὶ τί εἴδους ἦτον ἐκεῖνα τὰ Μαρτύρια, δὲν ἠμπόρεσαν νὰ τὰ μάθουν, καὶ νὰ μᾶς τὰ παραδώσουν ἀκριβῶς· τόσον μόνον ἐφανέρωσαν τινὲς τοῦρκοι θαυμάζοντες, ὅτι εἶχε πολὺ φῶς τὴν νύκτα ἡ σκοτεινὴ φυλακή)· τὸν ἐβασάνισαν δὲ εἰς φυλακὰς καὶ εἰς δεσμὰ δέκα ἡμερονύκτια· καὶ ὁ ἀοίδιμος τὰ ὑπέφερε μὲ μεγάλην καρτερίαν καὶ γενναιότητα· τέλος πάντων, τὸν ἔβγαλαν ἀπὸ τὴν φυλακήν, καὶ ὥρμησε κατ' αὐτοῦ πλῆθος πολὺ ἀγαρηνῶν καὶ περικυκλώσαντες τὸν γενναῖον ἀθλητὴν τοῦ Χριστοῦ ἄλλοι τὸν ἔσυραν ἐδῶ, ἄλλοι τὸν ἔσπρωχναν ἐκεῖ, ἐκεῖνοι τὸν ἔδερναν ἀπανθρώπως μὲ τὰς χεῖράς των, οὗτοι ἀσπλάγχνως μετὰ μαχαιριά των, καὶ ἄλλοι ἄλλως, καθὼς ἐπαρακινοῦσε καθ' ἕνα ἡ μανία του καὶ ὁ θυμός του.

Ὁ δὲ τοῦ Χριστοῦ στρατιώτης, συρόμενος ὡς πρόβατον ἐπὶ σφαγήν, οὔτε βασανιζόμενος, ἔλεγε, «διὰ ποῖον ἔργον θέλετε νὰ με φονεύσετε παράνομοι; διότι ἐκήρυξα τὸν Χριστὸν Θεὸν ἀληθινόν; διότι ἤλεγξα καὶ ἐφανέρωσα τὸ ψεῦδος καὶ τὴν πλάνην τῆς Θρησκείας σας; πλὴν τώρα μὲ φονεύετε, καὶ ἐγὼ μετὰ χαρᾶς μεγάλης δέχομαι τὸν θάνατον, ἀλλὰ θέλει ἔλθῃ καιρὸς νὰ μὲ ἰδῆτε λαμπρὸν καὶ δεδοξασμένον εἰς τὴν δόξαν τοῦ Χριστοῦ μου, διὰ τὸν ὁποῖον ἀποθνήσκω». ἀφοῦ δὲ ἔφθασαν εἰς μίαν ἄκραν τῆς πόλεως, ὁποῦ λέγεται «κάτω αἰγιαλός», τὸν ἔστησαν ὑποκάτω εἰς τὸ Ἰβηρίτικον μετόχι, ἀπὸ τὸ βόρειον μέρος λέγοντες του νὰ τουρκεύσῃ, διὰ νὰ ἀποφύγῃ τὸν θάνατον· καὶ αὐτὸς ἔμεινε στερεὸς εἰς τὴν πίστιν τοῦ Χριστοῦ, λέγων «Χριστιανὸς εἶμαι, Νικήτας ὀνομάζομαι καὶ Νικήτας μέλλω νὰ ἀποθάνω»· ὅθεν τὸν ἐγονάτισαν πολλαῖς φορὲς, καθὼς μαρτυροῦν οἱ αὐτόπται ἕως καὶ εἰς τὰς ἡμέρας μας διὰ νὰ φοβηθῇ τὴν σφαγὴν, καὶ οὕτω νὰ ἀρνηθῇ τὸν Χριστόν· οἱ δὲ Χριστιανοὶ βλέποντες· τὰ γενόμενα, καὶ φοβούμενοι μήπως καὶ δειλιάσῃ τὸν θάνατον, ἐδέοντο τοῦ θεοῦ μέσα εἰς τὸν νοῦν του καθ' ἕνας, νὰ τὸν ἐνδυναμώσῃ νὰ τελειώσῃ τὸν δρόμον τοῦ Μαρτυρίου· καὶ ἐξαιρέτως ὁ Ἱεροδιδάσκαλος Ἰωακεὶμ, ὁ Καβάκος ἐπιλεγόμενος, ταῦτα βλέπων ἄνωθεν ἀπὸ τὸ Ἁγιοταφιτικὸν Μετόχι, ἴστατο προσευχόμενος ὑπὲρ αὐτοῦ ἀσκεπής. ἐκεῖνος ὅμως ὁ γενναῖος καὶ μεγαλόψυχος, ὄχι μόνον δὲν ἐφοβήθη τὸν θάνατον, ἀλλὰ καὶ τὸν ἐπεθύμει, καὶ ἔλεγεν εἰς τοὺς ἀγαρηνούς, «διατὶ ἀργοπορεῖτε καὶ δὲν μὲ θανατώνετε τὸ ὀγληγωρύτερον, νὰ ὑπάγω εἰς τὴν αἰωνίαν ζωήν, νὰ ἀπολαύσω τὴν μακαριότητα τοῦ Παραδείσου;» Ταῦτα ἀκούσας ὁ ἅγιος καὶ θηριώδης ἐκεῖνος Κρημλῆς, καὶ βλέπων τοὺς ἄλλους ὅτι ἐσυστέλλοντο καὶ ἐφοβοῦντο νὰ τὸν ἀποκεφαλίσουν, ὡσὰν ὁποῦ ἦσαν ἀσυνείθιστοι εἰς ἀνθρώπου σφαγήν, ὥρμησε μὲ πολλὴν μανίαν, καὶ τοῦ ἀπέκοψε τὴν τιμίαν κεφαλήν, μὲ πολλοὺς μαχαιριαὶς διὰ νὰ τοῦ αὐξήσῃ τὴν τιμωρίαν καὶ τοὺς πόνους, καὶ οὕτως ἔλαβε τὸ μακάριον τέλος ὁ θεῖος Νικήτας κατὰ τοὺς χιλίους ἑπτακοσίους τριάκοντα δύο χρόνους (1732) ἀπὸ Χριστοῦ, κατὰ τὴν εἰκοστὴν πρώτην τοῦ Ἰουνίου μηνός· τυφλοὶ δέ τινες ἀλείψαντες τοὺς ὀφθαλμούς των μὲ τὸ θεῖον αἷμα τοῦ Μάρτυρος, ἀνέβλεψαν καὶ εἶδον τὸ φῶς δοξάζοντες τὸν Θεόν, καὶ τὸν Μάρτυρα Νικήταν, κατὰ τὴν μαρτυρίαν τοῦ παοσιολογιωτάτου κὺρ Ἀθανασίου τοῦ Ἰβηρίτου, ὅστις παρὼν ἔβλεπε τὰ γενόμενα, καὶ μετὰ ταῦτα ἐσύνθεσε νὴν ἀκολουθίαν του· δὲν εὐχαριστήθησαν ὅμως ἕως ἐδῶ οἱ Ἀγαρηνοί, ἀλλὰ καὶ μετὰ τὴν ἀποτομὴν τῆς τιμίας του κεφαλῆς, ἔδειξαν εἰς τὸν Μάρτυρα τὴν ὑπερβολὴν τῆς κακίας των· ὅθεν ἐπειδὴ καὶ οἱ Χοιστιανοὶ ἔπερναν διὰ ἁγιασμὸν καὶ βοήθειάν τους, ὅ,τι ἠδύνατο καθ' ἕνας ἀπὸ τὸ Μαρτυρικὸν σῶμα, ἄλλος ἀπὸ τὸ φόρεμά του, ἄλλος ἀπὸ τὸ ἐχυθὲν αἷμά του, διὰ τοῦτο φθονήσαντες, ἔπερναν μὲ τὸν κουβᾶν ἀπὸ ταῖς ἀκαθαρσίαις ὁποῦ ἦσαν ἐκεῖ κοντὰ εἰς ἕνα βόρβορον, καὶ ἔχυναν ἐπάνω εἰς τὸ Ἅγιόν του λείψανον, διὰ νὰ τὸ μολύνουν οἱ ρυπαρώτατοι· ὁ Θεος ὅμως

ἐδόξασε τὸν Μάρτυρα, καὶ παντάπασι δὲν ἐμολύνθη, ἀλλὰ παρευθύς, ὁποῦ τὰς ἔχυνον, ἔπιπτον εἰς τὴν γῆν, καὶ ἔμενε καθαρώτατον, καὶ λευκότατον, ὡσὰν τὸν κρῖνον· τότε καὶ ἕνας χριστιανός, Ἀλέξανδρος τὸ ὄνομα, Στουππῆς τὸ ἐπίθετον, ἀπετόλμησε κάποιαν ὥραν, καὶ ἀπέκοψε μὲ τοὺς ὀδόντας του τὸ δάκτυλον τοῦ Μάρτυρος, ὅστις ἐδόθη παρ' αὐτοῦ εἰς τὸν ναὸν τοῦ Ἁγίου Βίκτωρος· τέλος πάντων ἔρριψαν εἰς τὴν θάλασσαν τὸ πανάγιόν του λείψανον· καὶ ἄλλο δὲν ἔμεινε παρὰ κάποια μέλη ὁποῦ ἐπεμελήθησαν καὶ ἔλαβον μερικοὶ εὐλαβεῖς χριστιανοί.

Ὁ δὲ προειρημένος Κρημλῆς, ὁποῦ τὸν ἀπεχεφάλισεν, ἔσυρεν εἰς τὸν ἑαυτόν του τὴν θείαν ὀργήν, διότι τότε παρευθὺς ὁποῦ ἔδειξε τὴν πολλὴν ἐκείνην σκληρότητα καὶ ἀπανθρωπίαν, τὴν ὁποίαν ἄλλος δὲν ἐτόλμησε νὰ δείξῃ, καθὼς εἴρηται, τότε, λέγω, παρευθὺς ἤρχισε νὰ τρέμῃ ὡσὰν τάχα ἀπὸ δειλίαν, καὶ αὐτὸς ὁ τρόμος καὶ ὁ κλόνος τοῦ σώματός του δὲν ἔπαυσε πλέον ἀλλὰ μᾶλλον ηὔξησε, καὶ ἔμεινε τρέμων ὡς ἄλλος Κάϊν εἰς ὅλην του τὴν ζωήν.

Τὸ δὲ παραδοξότερον καὶ θαυμασιώτερον εἶναι, ὅτι καὶ τὴν νύκτα ἐπήγαινεν ὁΜάρτυς Νικήτας,καὶ πολλὰ φόβητρα τὸν ἔδειχνε, μάλιστα, τὸν ἔπατοῦσε, τὸν ἔδερνε, τόσον ὁποῦ ἀπὸ τὸν πολὺν φόβον ἔπαθε παροξυσμόν, καὶ οὔτε τὰ φόβητρα ἔπαυσαν, οὔτε οἱ δαρμοί, καὶ ὁ παροξυσμός, ἕως ὁποῦ ἔζωγράφησε (πρᾶγμα ἀστεῖον,καὶ θαῦμα μέγα) ἕως ὁποῦ ἔζωγράφισε, λέγω, εἰκόνα τοῦ Ἁγίου Νικήτα, καὶ τὴν εἶχεν εἰς τόπον ἐπιτήδειον μέσα εἰς τὸ ὁσπήτιόν του, ὁποῦ νὰ μὴ τὴν βλέπουν ἄλλοι Τοῦρκοι· καὶ ἀφοῦ ταῦτα ἔκαμεν (ἀπὸ συμβουλὴν ἴσως τῆς γυναικός του, ἡ ὁποία ἦτο Χριστιανή, καὶ ἄλλων τινῶν οἱ ὁποῖοι εἶχον τὸ θάρρος του) ἔπαυσεν εἰς τὸ ἕξῆς ὁ παροξυσμὸς καὶ οἱ νυκτερινοὶ φόβοι, καὶ οἱ δαρμοί, ἔμεινε δὲ ὁ τρόμος καὶ παρελύθη τὸ σῶμά του καὶ κακῶς ἐπέρασε τὸν ὑπόλοιπον καιρὸν τῆς ζωῆς του· ἡ δὲ φονικὴ ἐκείνη δεξιὰ του παλάμη, τότε κοντὰ μετὰ τὸν θάνατον τοῦ Μάρτυρος, ἀπεκόπη ἀπὸ ἄλλους τούρκους πάλιν, καὶ ἔμεινε κρεμασμένη ἀπὸ τὴν κλείδωσιν νεκρά, καὶ ἀκίνητος.Τοῦτο δὲ τὸ θαῦμα τῆς εἰκόνος, θέλων νὰ φανερώσῃ εἰς πολλαῖς φοραῖς ὅταν ἔτυχαν νὰ ἦναι καὶ ἄλλοι Τοῦρκοι εἰς τὸ σπῆτι τοῦ Κρημλῆ, ἐγίνε κάποιος κτύπος μέσα εἰς τὴν θυρίδα ὁποῦ εἶχε κρυμμένην τὴν εἰκόνα· ὅθεν ἀποροῦντες ἐκεῖνοι ἠρώτων διὰ τὸν ἀκουόμενον κτύπον· διὰ τοῦτο λοιπὸν ἀναγκασθείς, ἔστειλε τὴν εἰκόνα εἰς τὸ ὁσπήτιον ὁποῦ εἶχε τὴν γυναῖκά του, καὶ τὴν ἐτίμα μὲ κανδήλαν ἀκοίμητον, καὶ τότε βλέποντές την οἱ γείτονες ἠρώτησαν, καὶ ἔμαθον τὸ θαῦμα, καὶ ὅλοι ἐδόξαζον τὸν Θεόν, καὶ τὸν Θεῖον αὐτοῦ Μάρτυρα Νικήταν.

Ἀλλὰ καὶ γυνή τις τὸν κοιρὸν ἐκεῖνον Μπατολιὰ καλουμένη, εἶχεν ἄσθμα, ἤγουν φράξιν, ἢ στένωσιν, καθὼς ἄλλοι τὸ ὀνομάζουν· καὶ τόσων πολλὰ τὴν ἐβασάνιζεν αὐτὸ τὸ πάθος, ὥστε ὁποῦ ἐπροτίμα τὸν θάνατον ἀπὸ τὴν τοιαύτην ζωήν· αὐτὴ, λέγω ἡ Μπατολιὰ ἀκούσασα τότε τὰ περὶ τοῦ Νικήτα, τὸν ἐπεκαλέσθη εἰς βοήθειαν, λέγουσα, «Ἅγιε Νικήτα, ὁποῦ ἔχυσες τὸ αἷμά σου ὑπὲρ πίστεως, ἐὰν ἀληθινὰ εἶσαι Ἅγιος τοῦ Θεοῦ, καὶ Μάρτυς, καθὼς νομίζω, ἐὰν ἔχῃς παρρησίαν εἰς τὸν Θεόν, ἔνα ἀπὸ αὐτὰ τὰ δύο κάμε εἰς ἐμὲ τὴν ἀθλίαν, ἢ δός μοι τὴν ὑγείαν μου ἢ δός μοι θάνατον, διὰ νὰ ἐλευθερωθῶ ἀπὸ τὸ ἀνυπόφορον τοῦτο πάθος»· αὐτὰ εἶπεν ἀφ' ἑσπέρας, τὸ δὲ πρωῒ ὦ τοῦ θαύματος ! ἐξύπνησεν ὑγιής, καὶ ὅλον τὸν ὑπόλοιπον καιρὸν τῆς ζωῆς της τὸν ἐπέρασεν ἐν ὑγείᾳ, δοξάζουσα αὐτόν, ὡς ὄντως Ἅγιον καὶ Μάρτυρα δεδοξασμένον, μὲ ἀργίαν εἰς τὴν ἡμεραν τῆς μνήμης του, μὲ λειτουργίας εἰς τοὺς ἱερεῖς, καὶ μὲ ἄλλας ἀγαθοεργίας.

Ταῦτα καὶ τὰ τοιαῦτα λεγόμενα καὶ διηγούμενα, ἔφθασαν καὶ εἰς τὰς ἀκοὰς τοῦ μεγαλητέρου ἀδελφοῦ τοῦ Ἁγίου Νικήτα. Ὅθεν ἦλθεν καὶ αὐτός, μὲ τὴν αὐτὴν προθυμίαν, καὶ κηρύττειν παρρησίᾳ εἰς τοὺς Ἀγαρηνούς, ὅτι ἀρνεῖται τὴν θρησκείαν τους, καὶ ὅτι εἶναι χριστιανός, ἐρέθιζεν αὐτοὺς, καὶ ἐζήτει μὲ ἧλην του τὴν ψυχὴν καὶ τὴν καρδίαν νὰ μαρτυρήσῃ ὑπὲρ Χριστοῦ· αὐτοὶ ὅμως τὸν ἐδίωξαν τὸ ὀγρηγορώτερον ἀπὸ τὴν Χίον, φοβούμενοι τὰ κακὰ ὅπου ἔκαμεν εἰς τὸν Κρημλῆν ὁ θεῖος Νικήτας, καὶ αἰσχυνόμενοι διὰ τὰ θαύματα, μὲ τὰ ὁποῖα τὸν ἐδόξασεν ὁ Θεός, ὁ Θαυμαστὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Παῖδας μιμούμενος Νικήτα, χαίρων ἠθλήσας τοὺς ἐν Βαβυλωνίᾳ, ἐναθλήσαντας πρίν, καμίνῳ καὶ ἐβόας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄγαρ Νικήτα ἀπογόνων, σοῦ δεόμεθα κατέβαλε τὸ θράσος, πρὸς Θεὸν ἱεραῖς πρεσβείαις σου καὶ ψάλλειν, ἡμᾶς ἀεὶ ἐνίσχυε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Πρίμος ὄντως ἀνεδείχθη, σοῦ ὁ θάνατος ἐνώπιον Κυρίου, καθελόντος ἐχθρόν, εἰς τέλος ἀθλοφόρε, τὸν ἄμετρα καυχώμενον, ἐξαλείφειν γῆν καὶ πόλον.

Θεοτοκίον.

Βλέψον ἐλέῳ ὄμματί σου καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω, καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σου ἐλέει.

Ὠδὴ η'. Τὸν ἐν ὄρει ἀγίῳ.

Νόμος Μάρτυς ἠττᾶται τῷ μεγέθει ἐγκωμίων τῶν σῶν καὶ γὰρ τῷ Κόσμῳ, ταῖς φανωτάταις ἀστραπαῖς διέλαμψας, τοῦ σοῦ μαρτυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε, βοῶν εἰς τοὺς αἰῶνας.

Μόνα ὄντως τὰ πρὸς ζωὴν τὴν θείαν, ὁδηγοῦντα Νικήτα ἀγαπήσας, ἀνεπιστρόφως τρίβον τῆς ἀθλήσεως, ὦδευσας τρισμάκαρ, τὴν τοῦ Παρακλήτου, ἔχων ὁδηγοῦσαν, σὲ χάριν εἰς αἰῶνας.

Νέαν Μάρτυς ἄγων τὴν ἡλικίαν, τὸν κακίαν ἀρχαῖον, τῷ τῶν ἄθλων, τῶν σῶν μοχλῷ ἐξηφάνισας, καὶ νῦν σὺν ἀγγέλοις, ὕμνον τῇ Τριάδι, ἱστάμενος ἐκπέμπεις.

Θεοτοκίον.

Χαῖρε Θρόνε πυρίμορφε Κυρίου, χαῖρε θεία καὶ μανναδόχε στάμνε, χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε. χαῖρε τῶν παρθένων δόξα, καὶ μητέρων ὡραΐσμα καὶ κλέος.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἐξήνθησας ὡς ῥόδον, ἐν αὐλαῖς Κυρίου, εὐωδιάζον ὁδμαῖς ταῖς τῶν ἄθλων σου, τοὺς εὐφημοῦντας σε πόθῳ Νικήτα ἐνδόξε.

Κατάβαλε λιταῖς σου πάνσοφε Νικήτα, ἀγαρηνῶν τὴν μανίαν τὴν ἄθεον, τὴν καθ' ἡμῶν κινουμένην τῶν προσκυνούντων σε.

Μὴν μνήμην σου τὴν θείαν, τῷ τῶν ἐγκωμίων, ἀμαραντίνῳ στεφάνῳ κοσμήσαντι, ἁμαρτημάτων τὴν λύσιν εὐχαῖς σου δώρησαι.

Θεοτοκίον.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα, παρθένε θεράπευσον, ἐξ ἀρρωστείας εἰς ῥῶσιν μετασκευάζουσα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Μαρτύρων ἐγκαλλώπισμα, Χριστοῦ τοῦ παντοκράτορος, εἰρήνην αἴτησαι πάσῃ, τῇ οἰκουμένῃ Νικήτα, τοῖς εὐσεβῶς δ' ὑμνοῦσί σε, ἡμῖν πταισμάτων ἄφεσιν, καὶ εὐρωστίαν σώματος, καὶ ψυχικὴν σωτηρίαν, ταῖς πρὸς Θεόν σου πρεσβείαις.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου τριάδος δοχεῖον γεγενημένη. ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσεν, καὶ πνεῦμα τὸ πανάγιον, ἐπεσκίασαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους.

Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Σήμερον τέρπεται νῆσος Νίσυρος ἔνδοξε, κατέχουσα ἐν κόλποις, σοῦ τὰ σπάργανα Μάρτυς· ἡ Ρόδος δέ, ὡς οὖσα ταύτης σοφέ, θαυμασία Μητρόπολις, σὺν τῇ τὸ αἷμα τὸ θεῖόν σου ἐκχυθέν, δεξαμένῃ Χέῳ γέννηται.

Ἀτρομολήσας Νικήτα ὥσπερ τις ἄσαρκος, πρὸς τοὺς ἀγῶνας χαίρων τὸν Βελίαρ καθῆλες τῆς Ἄγαρ δ' ἀπογόνους ὄντως θυθῷ, τῆς αἰσχύνης ἐβύθισας,μὴ δυνηθέντας θωπείαις καταβαλεῖν, τὴν στερρὰν σου Μάρτυς εὔστασιν.

Μετὰ Στεφάνου καὶ πάντων, Μάρτυς Γεώργιε, Δημήτριε τρισμάκαρ,καὶ Ἰουλιανοῦ τε, τὸν νέον ἀθλοφόρον, νῦν ἐν χαρᾷ, συνελθόντες προσλάβετε,ἐν τῇ πανσέπτῳ χορείᾳ ὑμῶν καὶ γὰρ,καθ' ἡμᾶς καὶ οὗτος ἠθλησε.

Τὸν νέον πάντες ὁπλίτην, Νικήταν ἄνθεσι, στέψωμεν τοῖς ἐκ λόγων, οἱ τῶν ἄθλων τῶν θείων, τρυφήσαντες τῶν τούτου, καὶ πρὸς αὐτόν, ἐκβοήσωμεν

χαίροντες, μὴ ἐπιλάθου τῶν πίστει τὴν ἱεράν, ἐκτελούντων σου πανήγυριν.

Δόξα. Ἦχος πλ. β'.
Πρὸς τὸ Σήμερον κρεμᾶται ἐπὶ ξύλου.

Σήμερον καθείργνυται ἐν ζόφῳ, ὁ ἐν Μάρτυσιν ὡς ἐωσφόρος λάμπων· ἔλκεται τυραννικῶς ὡς ὑπεύθυνος, ὁ κατὰ πλάνης βασιλεύς· φρικτοῖς ἀγῶσι περιβάλλεται, ὁ καταβαλὼν τὸν σοφιστὴν τῆς κακίας, μίσημα εὗρεν ἄδικον, ὁ ἀπὸ καρδίας ὑπερφιλήσας τὸν Χριστόν· θνήσκειν κατεκρίθη, ὁ θανάτου κατευμεγεθήσας· ξίφει ἀπετμήθη, ὁ φθορεὺς τῆς ἀπάτης. Προσκυνοῦμεν σου τοὺς ἄθλους Νικήτα στερρέ, δίδου ἡμῖν τὴν σωτήριόν σου ἀντάμειψιν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.
Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ τυπικά. Εἰς τοὺς Μακαρισμοὺς τὴν γ'. καὶ τὴν στ'. ᾠδὴν τοῦ κανόνος. Μετὰ τὸ τρισάγιον τὸν ἀπόστολον. καὶ τὸ εὐαγγέλιον τοῦ ἁγίου Δημητρίου. Κοινωνικόν. Εἰμνημόσυνον αἰώνιον ἔσται δίκαιος. Μεγαλυνάρια τοῦ Ἁγίου.

Μάρτυς ἀόλοφόρε ταῖς πρὸς Θεόν, ἱεραῖς εὐχαῖς σου, διατήρει τοὺς εὐλαβῶς τῇ σῇ θείᾳ σκέπῃ, προσφεύγοντας ἐκ πάντων, παθῶν τε καὶ κινδύνων, ψυχῆς καὶ σώματος.

Νίκης διαδήματι κατ' ἐχθρῶν, ἐστέφθης Νικήτα, φερωνύμως παρὰ Χριστοῦ, καὶ νῦν σὺν Μαρτύρων τοῖς δήμοις ἀόλοφόρε, γηθόμενος ἀφράστως, αὐτῷ παρίστασαι.

ΜΗΝ ΙΟΥΛΙΟΣ

ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ ΤΗΣ ΕΥΡΕΣΕΩΣ ΤΗΣ ΤΙΜΙΑΣ ΚΑΡΑΣ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

ΜΑΤΡΩΝΗΣ ΤΗΣ ΧΙΟΠΟΛΙΤΙΔΟΣ

(ΔΙΟΡΘΩΘΕΙΣΑ ΩΣ ΟΙΟΝ ΤΕ ΥΠΟ ΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ)

Τῇ 15ῃ Ἰουλίου ἑορτάζομεν τὴν εὕρεσιν τῆς τιμίας Κάρας τῆς Ὁσίας Μητρὸς ἡμῶν ΜΑΤΡΩΝΗΣ ΤΗΣ ΧΙΟΠΟΛΙΤΙΔΟΣ

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ., καὶ ψάλλομεν τρία τοῦ Μηναίου καὶ τρία τῆς ὁσίας ὡς ἔπεται.

Ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος.

Μῆτερ Ματρῶνα πανένδοξε, σὺ τὸν Σωτῆρα Χριστόν, ἐκ καρδίας ποθήσασα, καὶ αὐτῷ λατρεύουσα, ἐν χαρᾷ ἀνεκραύγαζες· ὡραῖε κάλλει, θεῖε νυμφίε μου, τίς με χωρίσει σῆς ἀγαπήσεως; τῆς ὑπὲρ ἔννοιαν, καὶ τῆς ὡραιότητος τῆς μυστικῆς, ἣ μου τὴν διάνοιαν τῆς γῆς ἀφήρπασε.

Μῆτερ Ματρῶνα πανθαύμαστε, ἐν τῇ ἀσκήσει καλῶς, ἠγωνίσω νεκρώσασα, τὰς ὁρμὰς τοῦ σώματος καὶ ἐχθροῦ καταργήσασα, ἐνέδρας πάσας καὶ τὰ τεχνάσματα, τοῦ παλαμναίου, τῇ θείᾳ χάριτι. ὅθεν ὑμνοῦμέν σου, κατὰ χρέος ἄσματι, νύμφη Χριστοῦ, θέον τὸν ἰσάγγελον καὶ ὑπὲρ ἄνθρωπον.

Μῆτερ Ματρῶνα πανεύφημε ταῖς ἐντολαῖς τοῦ Θεοῦ, διὰ βίου σχολάσασα ἐπαξίως εἴληφας, ἰαμάτων χαρίσματα, καὶ θεραπεύεις πάθη ἀνίατα, καὶ πάντας σώζεις τοὺς σοὶ προστρέχοντας, ἃ τὴν μεγίστην σου, παρρησίαν δείκνυσι πρὸς τὸν Θεόν, ὃν ἡμῖν ἱλέωσαι, ταῖς ἱκεσίαις σου.

Δόξα, Ἦχος πλ. δ'

Σήμερον ἡ Χίος πᾶσα, μνήμην ἄγει ἑτήσιον, τῆς τῶν σεπτῶν λειψάνων εὑρέσεως, τῆς πανενδόξου Ματρώνης, καὶ συγκαλεῖ τοὺς φιλεόρτους πρὸς ἑστίασιν πνευματικήν, δεῦτε λέγουσα συνδράμετε ἐν τῷ Ναῷ αὐτῆς, ἵνα καταξιωθῆτε ἐνθέων δωρεῶν, καὶ οὐρανίων χαρίτων· ἔχει γὰρ τὴν παρρησίαν πρὸς Χριστόν, τοῦ αἰτεῖσθαι τὰ πρόσφορα, ἑκάστῳ τῶν προσερχομένων αὐτῇ μετ' εὐλαβείας καὶ πίστεως.

Καὶ νῦν. Τίς μὴ μακαρίσῃ σε· τὰ ἀναγνώσματα. Ζήτει ἐν τῇ μνήμῃ τῆς Ἁγίας Ματρώνης Ὀκτωβρίου 20.

Εἰς τὴν Αἰτήν. Ἦχος δ'.

Ἐν τῇ πέτρᾳ τῇ στερρᾷ τῆς εἰς Χριστὸν πεποιθήσεως, τὸν τῆς ἀσκήσεως πανθαύμαστε πηξαμένη οἶκον, προσβολαῖς οὐ σεσάλευσαι τῶν ἐναντίων καὶ προσρήξεσιν, ἀλλ' ἀκράδαντος ἔμεινας, ἐν ὅλῳ τῷ βίῳ καὶ ἀτίνατος· διὸ ὃ ἠσχύνας τῇ καρτερίᾳ σου ἀξιάγαστε, τὸν ἀόρατον ὄφιν ταῖς αὐτοῦ ἀνάλωτος ἐνέδραις ὀφθεῖσα καὶ ἐπιβουλαῖς· καθ' οὗ, ταῖς σαῖς πρεσβείαις, τοὺς εὐφημοῦντας σε ἐνίσχυσον.

Δόξα, Ἦχος πλ. α'.

Ἐπέλαμψεν ἡμῖν ἡμέρα χαρμόσυνος, καὶ ἑορτὴ πανσεβάσμιος, ἐν τῇ θείᾳ τῆς τιμίας κάρας εὑρέσει, Ματρώνης τῆς θεόφρονος· καύχημα μὲν γὰρ αὕτη καὶ κλέος τῆς Ἀνατολικῆς Ἐκκλησίας ὑπάρχει, τῆς δὲ Δυτικῆς κακοδοξίας, ὡς μετὰ τὸ σχίσμα ἀναφανεῖσα, αἰσχύνη καὶ ὄνειδος ἀθεράπευτον· διὸ ὃ μελῳδικῶς ἐκβοήσωμεν, γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ὅτι μεθ' ἡμῶν ὁ Θεὸς ἕως τῆς συντελείας, ὡς ἡμῖν ἐπηγγείλατο, ὁ θαυμαστὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ, καὶ δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας.

Καὶ νῦν, Μακαρίζομέν σε.

Εἰς τὸν στίχον. Ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Τῆς πανενδόξου Ματρώνης τὴν κάραν σήμερον, ἐκ τῶν τῆς γῆς λαγόνων, ἀνατείλασαν πάντες, τιμήσωμεν ἀξίως ὡς θησαυρόν, τῆς τοῦ Πνεύματος χάριτος, ἥτις αὐτὴ ἐνυπάρχουσα ἐνεργεῖ, τῶν θαυμάτων τὰ παράδοξα.

Στίχ. Προμένων ὑπέμεινα τὸν Κύριον

Ὡς παρρησίαν μεγίστην πλουτοῦσα πάνσεμνε, πρὸς τὸν Θεὸν τῶν ὅλων, δυσωποῦσα, μὴ παύσῃ, Ματρῶνα πανολβία, ὑπὲρ ὑμῶν, τῶν πιστῶς προσκυνούντων σου, τὴν οὐρανόφρονα κάραν, καὶ τῆς μορφῆς, τὴν ἐμφέρειαν τιμώντων σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου

Πηγὴ θαυμάτων ὁρᾶται ἡ θεία κάρα σου, τοῖς πίστει προσιοῦσι, τῷ Ναῷ σου Ματρῶνα, ἰάσεις γὰρ ὡς νάματα δαψιλῆ, ἀεννάως πηγάζουσα, δι' ὃ τὴν ταύτης ἀνάθεσιν ἐκ τῆς γῆς, ἀγαλλόμενοι γεραίρομεν.

Δόξα, Ἦχος δ΄.

Ἄστρον ἀνέτειλε φαεινόν, ἐκ τῶν τῆς γῆς ἀδύτων, ἡ θεία κάρα σου Ματρῶνα θεόπνευστε, φωτίζουσα ἡμῶν τὰς διανοίας, τῇ ἐν αὐτῇ τῇ τοῦ Πνεύματος χάριτι, καὶ ὁδηγοῦσα πρὸς ἔργα τῷ θεῷ εὐπρόσδεκτα, τῇ ἐνθέῳ μιμήσει τῇ σῇ δι' ὧν ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Ἐκ παντοίων κινδύνων.
Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Χαίρει ἔχουσα βλάστημα σέ τε, καὶ τὴν κόνιν σου πατρὶς ἡ Χίος, καὶ γηθοσύνως ὑμνεῖ σε κραυγάζουσα, σύ μου Ματρῶνα τὸ κλέος καὶ καύχημα, σὺ καὶ νοσούντων ἴαμα ἄμισθον, ὁσία ἔνδοξε, πρεσβεύειν μὴ ἐλλίπῃς πρὸς Κύριον, σωθῆναι τοὺς πόθῳ ὑμνοῦντάς σε.

Δόξα καὶ νῦν. Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα Ἦχος δ΄.
Ὁ ὑψωθείς.

Φωτοειδὴς περιστερὰ ἀνεδείχθης, ἔχουσα πτέρυγας χρυσᾶς καὶ πρὸς ὕψος τοῦ οὐρανοῦ κατέπαυσες Ματρῶνα σεμνή, ὅθεν σου τὴν ἔνδοξον ἑορτὴν ἐκτελοῦμεν, πίστει προσκυνοῦντές σου, τῶν λειψάνων τὴν θήκην, ἐξ ἧς πηγάζει πᾶσιν ἀληθῶς, ἴαμα θεῖον ψυχῆς τε καὶ σώματος.

Θεοτοκίον.

Χριστιανῶν ἡ ἀψευδὴς σωτηρία, ἀμαρτωλῶν ἡ ἀρραγὴς προστασία, ἡ κραταιὰ βοήθεια ἡμῶν καὶ προσφυγή, σῶσόν με προσφεύγοντα, σοὶ πανάμωμε κόρη, σκέπασόν με πτέρυξι τῆς ἁγίας σου σκέπης, καὶ τῆς ψυχῆς μου πρόστηθι ἐκεῖ, καὶ ἐκδημούσῃ τῶν τῇδε παράστηθι.

Μετὰ τὴν β΄, Στιχολογίαν Κάθισμα. Ἦχος δ΄.
Κατεπλάγη Ἰωσήφ.

Ἐπληρώθη ἡδονῆς, ἡ νῆσος Χίος ἀληθῶς, ὅτε εὗρεν ἐν τῇ γῇ, τὴν σὴν τιμίαν κεφαλήν, τὴν θεόφρονα Ματρῶνα, Μῆτερ Ὁσία, καὶ ταύτην ἐν χαρᾷ λαβοῦσα ἔκραξε, σὺ ὄντως τὸ ἐμόν, κλέος καὶ σέμνωμα, καὶ θησαυρὸς καὶ πλοῦτος πανολβία, πνευματικὸς καὶ ἀκήρατος· δι' ὃ χαρίτων ἐπουρανίων, πλῆσόν με εὐφημοῦσάν σε.

Δόξα καὶ νῦν. Θεοτοκίον. Κατεπλάγη Ἰωσήφ. Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Πρὸς εὐφημοῦντάς σου, Ματρῶνα ἔνδοξε, τοὺς τῆς ἀσκήσεως, ἀγῶνας ἄσμασι, καὶ τὴν ἰσάγγελον ἐν γῇ, καὶ ἔνθεον πολιτείαν, καὶ ἀσπαζομένους σου κεφαλὴν ἐρίτιμον, σῶζε ταῖς πρὸς Κύριον εὐπροσδέκτοις πρεσβείαις σου, παντοίων δεινῶν τε καὶ κινδύνων, ἐχθρῶν τε ὁρατῶν καὶ ἀοράτων.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Θερμακάριστε Μῆτερ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι πολλοῖς, ἐν πταίσμασι Θεοτόκε, ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου, δέξαι με Παναμωμε, τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παρρησίᾳ βοᾷ σοι, χαῖρε ἡ κεχαριτωμένη.

Καὶ μετὰ τὰ συνήθη, ὁ Κανών. Ἦχος πλ. δ΄. Ὠδὴ α΄. Ἁρματηλάτην Φαραώ.

Τὴν χερσωθεῖσάν μου ψυχὴν τοῖς πάθεσι, σὺ καλλιέργησον νῦν καὶ τὰ ἀκανθώδη, καὶ σαπρὰ ζιζάνια, τὰ τοῦ νοός μου ἔκτεινον, ὦ Ματρῶνα Ὁσία, ὅπως τῶν ὕμνων τοῖς ἄνθεσι, τὴν θαυματουργὸν στέψω κάραν σου.

Ἥλιος ἄλλος φαεινὸς ἀνέτειλεν, ἡ θεία κάρα σή, φωτίζουσα πάντων τὰς καρδίας χάριτι, Ματρῶνα παναοίδιμε, τῶν πιστῶς προσιόντων, ἐν τῷ πανσέπτῳ τεμένει σου, καὶ μετ' εὐλαβείας τιμώντων σε.

Μετ' εὐλαβείας ἑτησίως ἄγει σου, ἡ Ἐκκλησία Χριστοῦ, ἔνδοξε Ματρῶνα, τὴν φαιδρὰν πανήγυριν, τῆς θείας σου κάρας, τὴν παπικὴν καταράσσουσα, διὰ σοῦ ὀφρὺν τὴν ἀγέρωχον.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν λόγον, ἐν γαστρὶ χωρήσασα, ἁγνὴ δὲ διαμείνασα, ὃν δυσώπει ἀπαύστως, ἁμαρτιῶν μοι δωρήσασθαι, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἀναστράπτει ἐνθέως, ἡ φωταυγὴς κάρα σου, καὶ καταφαιδρύνει πλουσίως, Ματρῶνα ἔνδοξε, τοὺς προσιόντας σοι, μετ' εὐλαβείας καὶ πόθου, καὶ Χριστὸν δοξάζοντας τὸν σὲ δοξάσαντα.

Ἑορτάσωμεν δεῦτε πάντες πιστοὶ τήμερον, τὴν τῆς θείας κάρας ἐκ κόλπων τῆς γῆς ἀνάθεσιν, τῆς οὐρανόφρονος, καὶ θεοφόρου Ματρώνης, τῆς ἡμῶν προστάτιδος ἐν θείοις ἄσμασι.

Μύρον ἔνθεον βλύζει ἡ ἱερὰ κάρασου, θείαις ἐνεργείαις θαυμάτων καταμυρίζουσα, Ματρῶνα ἔνδοξε, πάντας τοὺς πίστει καὶ πόθῳ εὐφημοῦντας ἄσμασι, ταύτης τὴν εὕρεσιν.

Θεοτοκίον.

Διασώζει μὲ λόγος ὁ σαρκωθεὶς Πάναγνε, ἐκ τῶν σῶν πανάγνων αἱμάτων, πλούτῳ χρηστότητος, λύων, ἀπόφασιν τῆς παλαιᾶς καταδίκης, ὃν ἀπαύστως αἴτησαι, σῶσαι τὴν ποίμνην σου.

Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ νῆσος Χίος, τὴν τιμίαν εὕρεσιν, κάρας Ματρώνης τῆς σεπτῆς, ἐν εὐφροσύνῃ κραυγάζουσα, σύ μου, Ὁσία, προστάτις καὶ καύχημα.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πύρινε τοῦ Βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων σε Κόρη πανύμνητε.

Ὠδὴ δ΄. Σὺ μου ἰσχὺς Κύριε.

Ὅσος Ναός, Ματρῶνα, ἔμπλεως δείκνυται, τετρωμένων παντοίοις παθήμασιν, ἀνιαροῖς τε καὶ χαλεποῖς, καὶ ἐξαιτουμένων ἐκ σοῦ, Ματρῶνα, τὴν ἴασιν, ἣν νέμεις παραδόξως, τοῖς ἐν πίστει καὶ πόθῳ, δεομένοις ταῖς θείαις πρεσβείαις σου.

Ἅπας πιστός, συγχορευέτω γηθόμενος, καὶ σκιρτάτω, σὺν ἐμοὶ τῷ πνεύματι, βοᾷ ἡ Χίος ἡ σὴ πατρίς, ἔνδοξε Ματρῶνα, ὅτι σὲ βλάστημα ἔσχηκε, τερπνόν τε καὶ ὡραῖον, τὸ καρποὺς ἀκηράτους, ἀρετῶν ἐξανθῆσαν τοῦ Πνεύματος.

Χριστὸν τὸν σόν, Μῆτερ Νυμφίον ἠγάπησας, καὶ τοῖς τούτου ἑπομένη ἴχνεσι, τῇ ἐκμιμήσει τῶν ἀρετῶν, δόξης οὐρανίου, ἠξίωσαι καὶ λαμπρότητος, ἐν ᾗ καὶ συναγάλλῃ, ὦ Ματρῶνα, ἀφράστως μετὰ πάντων Ὁσίων ἀοίδιμε.

ΕΘΝΙΚΟΝ ΜΑΚΑΡΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΝΔΡΕΟΥ

Θεοτοκίον.

Σὺ τῶν πιστῶν, καύχημα πέλεις Ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν τεῖχος καὶ λιμήν, πρὸς γὰρ τὸν Υἱόν σου ἐντεύξεις φέρεις Πανάμωμε, καὶ σώζεις ἐκ κινδύνων τοὺς ἐν πίστει καὶ πόθῳ Θεοτόκον ἀεὶ σὲ γινώσκοντας.

Ὠδὴ ε'. Ἵνα τί μὲ ἀπώσω.

Εὐφημήσωμεν πάντες, τῆς Χιλιοπολίτιδος Ματρώνης ἄσμασι, τὴν μεγίστην χάριν, ἣν θεόθεν ἀξίως ἐπλούτισε, τῶν πολλῶν θαυμάτων, δι' ἀρετῆς περιουσίαν, καὶ τὴν κάραν αὐτῆς προσκυνήσωμεν.

Ἐπεφάνη ὡς ἄστρον, ἡ τιμία κάρα σου ἀκτῖνας πέμπουσα, δωρεῶν ἐνθέων καὶ χαρίτων, Ματρῶνα, τοῖς πίστει σου τῷ σεπτῷ τεμένει, ἐν σκότει θλίψεων φωτίσει, καὶ δεινῶν φυγαδεύει τὴν ζόφωσιν.

Κρήνη βρύουσα μύρα πέφυκεν ἡ ἔνδοξος Ματρῶνα, κάρα σου, νόσων τὸ δυσῶδες, ἀποσμύχουσα πάντων τῶν πίστει σου, τὴν ἐξ ὕψους χάριν, τῶν ἰαμάτων ἐξαιτούντων, ἣν Θεός σοι παρέσχε δοξάζων σε.

Θεοτοκίον.

Μητρικὴν παρρησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ὠδὴ στ'. Ἱλάσθητί μοι Σωτήρ.

Δευτέραν σε Ἰουδήθ, Ματρῶνα, μῆτερ ἐπέγνωμεν, ὡς γὰρ ἐκείνη ποτέ, πατρίδα διέσωσε, καὶ σὺ διασώζεις νῦν, ταύτην σου τὴν Νῆσον, ἐκ κινδύνων καὶ κακώσεων.

Ὅσος Ναὸς οὐρανός, καὶ ἡ σορός σου στερέωμα, ἡ δὲ θαυματουργικὴ καὶ ἁγία κάρα σου, ἐν τούτῳ τοῖς θαύμασιν, ὡς ἥλιος λάμπει, ὦ Ματρῶνα καλλιπάρθενε.

Νοσοῦσαν ἔχω ψυχήν, καὶ χαῦνον σῶμα ὁ δείλαιος, σὺ δὲ Ματρῶνα σεμνή, ὅλον με ἀνόρθωσον, ὑγιῆ δεικνύουσα, ὅπως σου γεραίρω, θείας κάρας τὴν ἀνάδειξιν.

Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, θεογεννῆτορ Ἁγνή, καὶ τύχοιμεν Πάναγνε τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Γατρεῖον ἄμισθον, καὶ παραδόξων θαυμάτων, ὁ Ναός σου δείκνυται, πηγὴ Ματρῶνα Θεόφρον, πάντες οὖν οἱ προσιόντες αὐτῷ ἐν πίστει, ἴασιν ψυχῶν ἀρύονται καὶ σωμάτων, καὶ βοῶσι γηθοσύνως, χαίροις Κυρίου Ὁσία θαυματουργέ.

Ὁ Οἶκος.

Μεγάλως σε ἐπὶ τῆς γῆς, Ματρῶνα ἔνδοξε, ὁ ὑπὸ σοῦ δοξασθεὶς Χριστὸς ὁ Θεὸς ἐδόξασεν, ἀμοιβὴν ἐπάξιον τῶν ἀρετῶν σοι τὴν τῶν θαυμάτων χάριν δωρησάμενος, νεκρὸν γὰρ ἔτι ζῶσα τῇ προσευχῇ σου ἐζώωσας, ἀλλὰ καὶ μετὰ θάνατον πολλοῖς ἐθαυμαστώθης θαυμασίοις ἀξιάγαστε, καὶ δὴ καὶ ἐν τῇ εὑρέσει τῆς τιμίας σου κάρας, ἀσθενοῦσι πολλοῖς τὴν ῥῶσιν ἐχαρίσω, καὶ ἀεννάως πᾶσι τοῖς πίστει προσιοῦσι τῷ Ναῷ σου τὰς ἰάσεις παρέχεις· διὸ καὶ γηθοσύνως βοῶσί σοι χαίροις Κυρίου Ὁσία θαυματουργέ.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ ΙΕ'. Η ΕΥΡΕΣΙΣ ΤΗΣ ΤΙΜΙΑΣ ΚΑΡΑΣ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΜΑΤΡΩΝΗΣ ΤΗΣ ΧΙΟΠΟΛΙΤΙΔΟΣ

Λειποῦσα κόσμον ἔμπλεων ἀκοσμίας,
Χριστῷ πρόσεισι νυμφικῶς ἡ παρθένος.
Πέμπτη καὶ δεκάτη, Ματρώνης βᾖ κάρα ἐκ γῆς.

Χρόνου ἱκανοῦ διαπεράσαντος μετὰ τὸν θάνατον καὶ τὴν ταφὴν τῆς Ὁσίας, καὶ τῶν θαυμάτων αὐτῆς, ὡς ἐκ πηγῆς ἀκενώτου εἰς αὔξησιν γενομένων, πᾶσι τοῖς ἐν πίστει προσερχομένοις εἰς τὸν Ναὸν αὐτῆς· (προσήρχοντο δὲ πανταχόθεν, διεδίδετο γὰρ, ὡς ἔθος ἡ φήμη, καὶ πάντες ἐλάμβανον τὴν ποθουμένην ὑγιείαν) οἱ Χῖοι, παῖδες φιλόστοργοι τῆς Ὁσίας ὄντες, ἠθέλησαν ἀνακτίσαι τὸν ἱερὸν αὐτῆς Ναόν, καὶ μείζω ποιῆσαι, ἵνα ἔχῃ τὸ πλῆθος τῶν ἐρχομένων τὴν εἴσοδον Κατορύττοντες τοίνυν, καὶ τὸν τάφον αὐτῆς θέλοντες μεταθέσαι, εὗρον ἐν αὐτῷ τὴν ἁγίαν Κάραν αὐτῆς, ὡς ὄντως θησαυρὸν ἄσυλον, πλοῦτον ἀναφαίρετον, θαυμαστὴν εὐωδίαν ἐκπνέουσαν, καὶ τοὺς πάντας ἀρωματίζουσαν. Ἐν δὲ τῇ ὥρᾳ αὐτῆς τῆς εὑρέσεως, πολλὰ τῶν θαυμάτων ἐτελέσθησαν· παράλυτος γὰρ ἀνωρθώθη, καὶ μογγιλάλος γυνὴ ἐγερθεῖσα τῆς κλίνης, ἐλάλει καθαρῶς δοξάζουσα τὸν Θεόν, ὑπὲρ αὐτῆς τε καὶ τοῦ παραλύτου τῆς ἰάσεως· οὐ μὴν ἀλλὰ καὶ πάντοτε μέχρι τῆς σήμερον, ἡ Ἁγία τὰ αὐτὰ καὶ πλείονα ποιεῖ, διὸ καὶ ἡ μνήμη ταύτης τῆς εὑρέσεως, ἐτάχθη ἑορτάζεσθαι ἐν ταύτῃ τῇ ἡμέρᾳ, εἰς ὠφέλειαν ἡμῶν καὶ τιμὴν καὶ δόξαν τῆς Ὁσίας, καὶ τοῦ ταύτην καὶ πάντας τοὺς αὐτοῦ θεράποντας δοξάζοντος Θεοῦ.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας

Καλλιπάρθενε Νύμφη, τοῦ ἀφθάρτου Νυμφίου, Ματρῶνα ἔνδοξε, εὐχαῖς σου, εὐπροσδέκτοις, καὶ θείαις σου πρεσβείαις, πρὸς αὐτὸν ἡμᾶς λύτρωσαι, φθοροποιῶν ἐκ παθῶν, τοὺς πόθῳ σε ὑμνοῦντας.

Ὡς χρυσὸς μὲν αὐγάζει, νοητῶς ἡ σὴ κάρα ἐκ θείας χάριτος, ὡς ῥόδον δὲ εὐφραίνει, ὀδμαῖς ἐπουρανίαις, τὰς αἰσθήσεις τῶν δούλων σου, Ὁσία Μῆτερ ἡμῶν, ψυχῶν τε καὶ σωμάτων.

Νυσταγμῷ βαρυνθέντα, τῷ τῆς ἀπογνώσεως καὶ κατακείμενον, σὺ οὖν ἔγειρόν με, πρὸς ἐγρήγορσιν θείαν πρεσβείαις σου, ἵνα μετ' ἐλπίδος τῆς σωτηρίας μου δοξάζω, τῆς σῆς κάρας Ματρῶνα τὴν εὕρεσιν.

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης, εἰς σωτηρίαν ἡμῶν δι' ὃ σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, ὀρθοδόξως κραυγάζομεν, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ἐπταπλασίας κάμινον.

Ὁ θεοπάτωρ ἅλμασι καὶ σκιρτήμασιν ἔχαιρε, πρὸ τῆς ἐν τῷ νόμῳ κιβωτοῦ ὡς γέγραπται, ἡμεῖς δὲ γηθόμενοι, πρὸ τῆς σῆς κάρας θείαις φωναῖς τῶν σῶν ἀρετῶν καὶ τῶν ἀγώνων κλέος, ὑμνοῦντες ἐξαιτοῦμεν ἐκ Θεοῦ σωτηρίαν, διὰ τῆς σῆς πρεσβείας, Ματρῶνα πανολβία.

ΑΡΧΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΩΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Πηγὴ θαυμάτων δείκνυται, ἡ πανέρως κάρα σου καὶ σηκὸς ὁ θεῖος ἐατρεῖον ἀμισθον, τοῖς πίστει προστρέχουσι καὶ αἰτουμένοις χάριν τὴν σήν, τὴν παρὰ Θεοῦ σοι βραβευθεῖσαν ἀξίως, Ματρῶνα πανολβία, τοῦ ἀμέμπτου σου βίου, καὶ ἔργων τῶν ἐνθέων καὶ τῶν λαμπρῶν ἀγώνων

Οὐχ' ὡς τὴν Εὔαν πρότερον, ὁ Σατὰν ὁ ἀρχέκακος ἐν ψυθερισμοῖς καὶ δρώσει ἐδελέασεν, ἀλλὰ σὺ πανθαύμαστε, φρονήσει καὶ ἀνδρείᾳ τῇ σῇ, τούτου τὰς δεινὰς μηχανουργίας καθεῖλες, καὶ ἔδειξας ἀπράκτους τὰς ἐνέδρας καὶ δόλους καὶ τὴν ὀφρὺν τὴν τούτου κατέφραξας θεόφρον.

Θεοτοκίον.

Νομοθετῶν εὐσέβειαν καὶ διδάσκων μετάνοιαν ὁ Ἐμμανουήλ, ἐκ σοῦ τεχθεὶς ἐπέφανεν, ὃν νῦν ἐκδυσώπησον, Ὑπεραγία Δέσποινα, τῆς δικαιοσύνης ὑπανοῖξαί μοι τὰς πύλας, καὶ σῶσαί με βοῶντα, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Νηστείᾳ, ἀγρυπνίᾳ καὶ προσευχῇ τὴν ζωὴν διανύσασασα ἅπασαν, Μῆτερ τὴν σήν, εἴληφας ἀξίως τὰς ἀμοιβάς, ὅτι ὃ καὶ συναγάλλῃ νῦν μετὰ τῶν δικαίων ἐν οὐρανῷ, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν σὲ μεσίτιν, προβαλλομένων πρὸς τὸν Κύριον.

Τσιδωρον. Μυρόπνην συμπρεσβευτὰς καὶ Μαρκέλλαν, Ματρῶνα, παράλαβε, τοὺς Ἀθλητάς, μετὰ Ἰωάννου καὶ Ἰωσήφ, Νικήταν τοὺς προλάμψαντας, ἐν τῇ νήσῳ ταύτῃ ἀσκητικῶς, καὶ δὴ τοὺς νεαθλους, Θεόφιλον, Νικήταν, Μανουήλ, Μᾶρκον καὶ Νικόλαον.

Μεγίστην παρρησίαν πρὸς τὸν Θεόν, κεκτημένη Ὁσία ἱκέτευε ὑπὲρ ἡμῶν, τῶν ἀνευφημούντων σε εὐλαβῶς καὶ πίστει προσκυνούντων σου τὴν τιμίαν κάραν καὶ τὰ ὀστᾶ, καὶ τὴν σεπτὴν εἰκόνα, Ματρῶνα θεοφόρε, σὺν Ἀγγελῇ τῷ νεομάρτυρι.

Θεοτοκίον.

Ὁράθης, ὦ Παρθένε Μῆτερ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρείξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός, ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Συγχάρητέ μοι σήμερον, νῆσος καὶ πόλις ἅπασα, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ, ἐν ᾗ εὑρέθη ἡ κάρα, Ματρώνης τῆς θεόφρονος, τῆς ἐμὸν οὖσης βλάστημα, θρέμμα τε δὴ καὶ σέμνωμα, καὶ προστασία καὶ σκέπη ἡ Χὶος σκιρτῶσα κράζει.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπεσκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους. Ἦχος δ'.
Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε τὴν τιμίαν κεφαλήν, τῆς θεοτιμήτου Ματρώνης, πάντες τιμήσωσωμεν, ἣν Θεὸς ἐτίμησε θαυμάτων χάριτι, ὁ τιμῶν τοὺς τιμήσαντας, αὐτὸν θείοις ἔργοις, ἐν τῷ μετὰ σώματος βίῳ δικαίοις ζυγοῖς, πίστει ἀσπαζόμενοι ταύτην, ὄργανον τῆς χάριτος οὖσαν, τῶν ἐνεργειῶν τοῦ θείου Πνεύματος (Δίς).

Δεῦτε τὴν τιμίαν κεφαλήν, τῆς παμμακαρίστου Ματρώνης, νῦν μακαρίσωμεν τὴν θεομακάριστον, ὡς κεκτημένην σαφῶς, οὓς προεῖπεν ὁ Κύριος, ἐν εὐαγγελίοις, μακαρισμοὺς ἅπαντας, πτωχείαν πνεύματος, πένθος καὶ πραότητα θείαν, πεῖναν τοῦ δικαίου καὶ δίψαν, καὶ ἐξῆς τῶν ἄλλων τὴν συμπλήρωσιν.

Δεῦτε τὴν τιμίαν κεφαλήν, τῆς ὁσιωτάτης Ματρώνης, ἐπαίνοις στέψωμεν, πάντες εὐφραινόμενοι ἐν τῇ εὑρέσει αὐτῆς, θησαυρὸς γὰρ ἀνέκλειπτος καὶ ἄσυλος πλοῦτος καὶ ὄλβος οὐράνιος ἡμῖν δεδώρηται, παρὰ τοῦ Θεοῦ, περιέχων, πάντα τὰ ψυχῶν καὶ σωμάτων, ἀγαθὰ σωτήρια καὶ πρόσφορα.

Δόξα. Ἦχος δ'.

Ὁ γαός σου γέγονε Ματρῶνα ἔνδοξε, ἀμισθον ἐατρεῖον καὶ ἐατρεύει πάθη χαλεπά· διὸ ὁ οἱ ἐν νόσοις τρεχόμενοι καὶ ἀκαθάρτοις πνεύμασιν ὀχλούμενοι, ἐν αὐτῷ εἰσιόντες, τῶν παθουμένων τυγχάνουσι καὶ θαμβωτικῶς ἀναβοῶσι· μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, ὁ δοξάζων τοὺς Ἁγίους σου.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Μεγαλυνάριον.

Χαίροις ὦ Ματρῶνα νύμφη Χριστῷ, χαίροις τῶν παρθένων τῶν φρονίμων ἡ εὐκλεής, προσθήκη, Ὁσία, ἡ ἐν φαιδρᾷ λαμπάδι, Χριστῷ προσυπαντήσασα τῷ Νυμφίῳ σου

ΕΥΓΕΝΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΝΙΟΥ ΚΑΙ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΑΚΟΛΟΥΘΙΑ ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ
ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ
ΜΑΡΚΕΛΛΗΣ
ΤΗΣ ΧΙΟΠΟΛΙΤΙΔΟΣ

ΠΟΝΗΘΕΙΣΑ ΜΕΝ ΕΝ ΠΡΩΤΟΙΣ ΥΠΟ ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ

ΔΙΟΡΘΩΘΕΙΣΑ ΔΕ ΠΑΡΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

Τῇ 22ᾳ Ἰουλίου ἑορτάζομεν τὴν μνήμην καὶ τὴν ἄθλησιν τῆς ἁγίας Παρθενομάρτυρος ΜΑΡΚΕΛΛΗΣ, καταγομένης ἐκ Χίου καὶ ἀθλησάσης ἐν τῇ ἰδίᾳ Πατρίδι ὑπὸ τοῦ ἰδίου πατρὸς αὐτῆς, ἐν ἔτει 1500 ἀπὸ Χριστοῦ.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἰστῶμεν στίχους· ἡ καὶ ψάλλομεν πρῶτον τῆς ἰσαποστόλου Μαγδαληνῆς δ'. καὶ εἶτα δ'. τῆς Ἁγίας Μαρκέλλης.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἀλοφόρου Μαρκέλλης τὴν μνήμην σήμερον, ἐν ἐτησίοις ὑμνοις, ἑορτάσωμεν πάντες, φιλέορτοι ἐνδόξως, ἥτις Χριστῷ τῷ Κυρίῳ παρίσταται, ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ ἡ-

μῶν, τῶν ἐκ πόθου εὐφημούντων αὐτήν. (Δίς).

Ἡ νῆσος Χίος καυχάσθω, ὅτι ἐξήνθησε, τὸ παρθενίας ἄνθος, τὸ θεόβλαστον ὄντως, τὴν ἔνδοξον Μαρκέλλαν, ἥπερ ἀεὶ τῷ Κυρίῳ παρίσταται, ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ αὐτῆς, παρρησίᾳ καὶ τοῦ Κόσμου παντός.

Τὴν ἱερὰν καὶ λαμπρὰν σου μνήμην δοξάζοντες, Μαρκέλλα μακαρία, καὶ πιστῶς ἐκτελοῦντες, βοῶμέν σοι σὺν πόθῳ, ῥῦσαι ἡμᾶς, τῆς φλογὸς τῆς κολάσεως, καὶ τῶν δελῶν τοῦ δελέαρ. ταῖς πρὸς Χριστόν, ἱκεσίαις σου πανεύφημε.

Δόξα Ἦχος πλ. α'.

Δεῦτε λαοί, ἀσματικοῖς στέμμασι, τὴν ἱερὰν τοῦ Χριστοῦ, καὶ ἄμωμον νύμφην Μαρκέλλαν σήμερον καταστέψωμεν, τὴν τὸν ἀρχέκακον ὄφιν καταπατήσασαν· ταῖς γὰρ παρὰ τοῦ ἀσέλγους αὐτῆς πατρὸς ἀλγειναῖς μαστιγώσεσιν, ὡς ἀδάμας στερρὸς μὴ ἐνδοῦσα, καὶ τὴν αὐτοῦ ἀνόσιόν τε καὶ ἄθεσμον μίξιν ἀποβαλοῦσα, τοὺς μαστοὺς ἀφῆρηται καὶ τὴν θεόφρονα κεφαλὴν αὐτῆς ἐκτέτμηται· ὅθεν ἐκ δεξιῶν τοῦ Σωτῆρος παρέστη, ὡς παρθένος φρονίμη, σὺν Ἰσιδώρῳ τῷ θείῳ, καὶ Μυρόπῃ τῇ ἐνδόξῳ, καὶ τῇ Ὁσίᾳ Ματρώνῃ, τοῖς πρὸ αὐτῆς ἐν Νίῳ διαλάμψασι, καὶ προστάταις αὐτῆς γενομένοις, διηνεκῶς πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα τῆς Ἁγίας Ματρώνης.

Εἰς τὴν λιτήν. Ἦχος α'.

Πηγὴ χαρίτων, ἡ σορὸς τῆς θείας Μαρκέλλης ὄντως ἀναδέδεικται· πολλοῖς γὰρ ἐν ποικίλοις πάθεσιν οὖσι, προσέτι καὶ ἀβλεψίαν νοσοῦσι, τῇ τοῦ ἁίματος ἑαυτῆς χρίσει τὴν θεραπείαν δεδώρηται· ὅπερ ἄχρι τοῦ νῦν ἐν ταῖς τῆς θαλάσσης ἀκταῖς ὁρᾶται κυμαινοῦν, καὶ τὴν ἐκείνης ἄδικον, τοῖς ἀγνοοῦσιν ἐναργῶς δεικνύον σφαγήν· ὅθεν καὶ ἡμεῖς, οἱ ἐν ἀσθενείαις ψυχῶν κατακείμενοι, προσέλθωμεν αὐτῇ μετὰ πίστεως, καὶ τῆς πνευματικῆς θεραπείας τευξόμεθα δι' αὐτῆς· ποιεῖ γὰρ ὁ Κύριος τὸ θέλημα τῶν φοβουμένων αὐτόν.

Δόξα, Ἦχος πλ. δ'.

Δεῦτε φιλέορτοι πάντες, ἐν τῷ Ναῷ τῆς Ἁγλοφόρου Μαρκέλλης σήμερον ἀθροισθέντες πνευματικῶς πανηγυρίσωμεν εὐωχούμενοι· μυστικὴν γὰρ ἡμῖν τράπεζαν, τὰς ἀριστείας καὶ τοὺς ἄθλους αὐτῆς τοῖς πᾶσι προτίθεται, ὡς ἔδεσμα τερπνὸν καὶ ἐξαίρετον. Ἐνθέως οὖν κορεσθέντες, δοξάσωμεν τὸν παντοδύναμον Κύριον, τὸν ἰσχὺν αὐτῇ δόντα, ἀντιστῆναι τῷ ἀρχεκάκῳ δαίμονι, καὶ σὺν τοῖς μαστοῖς, τὴν τῆς κάρας ἐκτομήν, προθύμως δέξασθαι, παρὰ τοῦ ἰδίου πατρός. Ἧς ταῖς πρεσβείαις δῶρησαι ἡμῖν ὁ Θεός, τὸ μέγα σου ἔλεος.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. Εἰς τὸν Στίχον στιχηρὰ προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Προῖξ χοροῖς συνηριθμήσαι, τῶν μαρτύρων ἀοίδιμε, Μαρκέλλα πολύαθλε καὶ πανέντιμε· τοῦ γὰρ πατρός σου τὴν ἄθεσμον, βουλὴν καὶ ἀνόσιον, βδελυχθεῖσα ὡς ἀγνή, τὸν αὐχένα ὑπέκλινας, καὶ τὴν κάραν σου, ἀπετμήθης, καὶ εἴληφας ἀξίως, τῆς ἀθλήσεως τὸ στέφος, ἅτε νομίμως ἀθλήσασα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον

Ὧν βασάνων αἱ λαῖλαπες, τῆς ψυχῆς σου οὐκ ἔσεισαν, τὸν πύργον τὸν ἄσειστον καὶ ἀκλόνητον, μάρτυς Μαρκέλλα στερρόψυχε, ἀλλ' ἔμεινας ἄτρεπτος, ἐπὶ πέτραν τὴν στερρὰν, τοῦ τὰ

πάντα ἰσχύοντος καὶ συνέχοντος, θερμὴν ὄντως, διὰ σε παρρησίαν, πρέσβυν εἰς Θεὸν πλουτοῦμεν, οἱ σὲ τιμῶντες ἐν ἄσμασι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου

Ἐφρενίχθης τοῖς αἵμασι, τῆς σαρκός σου ἀοίδιμε, ἅπερ ἐξεχύθησαν καὶ γεγόνασι, τῶν ἀσθενούντων ὡς φάρμακα, ποικίλλας ἰώμενα, ἀσθενείας τῶν βροτῶν, ὦ Μαρκέλλα πανεύφημε, ὅθεν ἔσταμαι, τῇ σορῷ τῶν λειψάνων καὶ βοῶ σοι, καλλιμάρτυς τοῦ Κυρίου, κάμοὶ τὴν ἔασιν δώρησαι.

Δόξα. Ἦχος δ'.

Παρθενικοῖς αἵμασιν, ἀθληφόρε Μαρκέλλα φοινιχθεῖσα, τῷ οὐρανίῳ Νυμφίῳ πάγκαλλος Νύμφη ἀνεδείχθης, ὑπὲρ οὗ τὰς αἰκίας, παρὰ τοῦ σοῦ ἀνοσίου πατρός, ὑπήνεγκας, πανθαύμαστε· καὶ τὴν ἐρίτιμόν σου κεφαλήν, ὑπὲρ τηρήσεως ἀκριβοῦς τοῦ θείου νόμου σὺν τοῖς μαστοῖς ἀπετμήθης, ἐλεγχοῦσα αὐτοῦ τὸ τῆς ἀκολασίας ἀξενήκουστον τόλμημα· ὅθεν ὡς παρθένος, μετὰ τῶν φρονίμων συναγάλλῃ παρθένων· καὶ ὡς τοῦ νόμου φύλαξ ἀκριβής, μετὰ τῶν Μακκαβαίων καὶ τοῦ θείου Προδρόμου συνδοξάζῃ, μεθ' ὧν πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ ἅγιος, καθὼς βοᾷ ὁ Προφήτης, «ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ».

Ἀπολυτίκιον, Ἦχος α'.

Τῆς ἐρήμου πολίτης.

Τοῦ Κυρίου τοῖς νόμοις, καὶ τοῖς θείοις διδάγμασι, πειθομένη Μαρκέλλα, καὶ ἀμέμπτως φυλάττουσα, τὴν θέαν πτοηθεῖσα τοῦ πατρός, ᾧ νύμφη ἀκήρατε Χριστοῦ, ἐν τοῖς ὄρεσιν ἠύλέζου, ἐν οἷς διώκων εὑρίσκει καὶ κτείνει σε· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διά σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν Θεοτόκε Παρθένε. Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν Κάθισμα Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ῥανίσι τῶν σεπτῶν, καὶ πανάγνων αἱμάτων, ἀπέπνιξας σοφή, ἀθληφόρε Μαρκέλλα, δελέαρ τὸν κάκιστον, ἐκχυθέντων σαρκίου σου· ὅθεν εἵλησας, παρὰ Θεοῦ στέφος δόξης· διὸ πρέσβευε, ὑπὲρ ἡμῶν πρὸς τὸν Κτίστην, Μαρτύρων ὁμότροπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νύμφευτε ἁγνή, Θεοτόκε Παρθένε, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον ταῖς θείαις πρεσβείαις σου.

Μετὰ τὴν β'. Στιχολογίαν. Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ταῖς τῶν βασάνων τροκυμίαις Μαρκέλλα, οὐκ ἐπαντίσθης, ἀλλ' ἐν ὁρμῷ ἀκλύστῳ, κυβερνωμένη χάριτι ἐνθέῳ Χριστοῦ, ἔφθασας πανόλβιε, ὡς Παρθένος καὶ Μάρτυς, ἔνθα τὴν ἀτάραχον, εὗρες ὄντως γαλήνην, ὑπὲρ ἡμῶν πρεσβεύουσα Χριστῷ, τῶν μετὰ πόθου τελούντων τὴν μνήμην σου.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νι-

ΙΕΡΟΣ ΒΙΒΛΙΟΣ ΛΑΥΡΑΣ ΑΘΩ ΓΡΗΓΟΡΙΟΣ ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ

φάδας, τίς ἐξειπεῖν δυνήσεται πανάμωμε; τὰς ἐπαναστάσεις δὲ τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθή, τούτων μοι πάντων, τὴν λύτρωσιν δώρησαι.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Μαρκέλλης τὴν σεπτήν, ἑορτάσωμεν μνήμην, ἀπήμβλυνε καὶ γὰρ τοῦ θελήματος τὰ κέντρα, καὶ στέφος ἀπείληφεν, ἐκ Θεοῦ τῆς ἀθλήσεως, ᾧ παρίσταται, μετὰ Ἀγγέλων ἐν δόξῃ, καὶ πρεσβεύουσα, οὐ διαλείπει σωθῆναι, τοὺς πόθῳ τιμῶντας αὐτήν.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Φωτί σου ἀγαθή, τὴν ἐν σκότει ψυχήν μου, καταύγασον Ἁγνή, καὶ τὴν πόρωσιν λῦσον, καὶ δίδαξον πράττειν με, τοῦ Υἱοῦ σου τὸ θέλημα, ὅπως ἄφεσιν, τὴν τῶν πολλῶν μου πταισμάτων, εὕρω Πάναγνε, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου ῥυσθῶ ταῖς πρεσβείαις σου.

Οἱ ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ δ'. Ἤχου. Τὸ προκείμενον. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ. Στίχος. Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Εἶτα τὸ Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Ὁ Ν'. Δόξα. Ταῖς τῆς ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Τὸ ἰδιόμελον ζήτει εἰς τὸ δοξαστικὸν τῶν ἀποστόλων. Παρθενικοῖς αἵμασιν. Εἶτα ὁ κανὼν τῆς Ἁγίας.

Ὠδὴ α'. Ἀνοίξω τὸ στόμα μου.

Ἀνόσιον βούλημα, ἀπωσαμένη ἀοίδιμε, πατρὸς καὶ παμβέβηλον, ἔλαβες θάνατον, ὅθεν εἴλησας, στεφάνους τοὺς τῆς νίκης, παρὰ τοῦ θεσπίσαντος ὅρους τῆς φύσεως.

Βαφεῖσα πανεύφημε, τῆς τῶν αἱμάτων ῥαντίσμασι, τῷ Κτίστῃ προσήνεξαι, ὡς Νύμφη ἄσπιλος, καὶ ἀμώμητος, Μαρκέλλα καλλιμάρτυς, εἰς τὰ ὑπερκόσμια αὐτοῦ βασίλειον.

Γνοῦσα τὴν ἀθέμιτον, τοῦ σοῦ τεκόντος διάνοιαν, Μαρκέλλα πανθαύμαστε, καὶ ψυχολέτηρα, ἔξω ἔφυγες, τοῦ οἴκου καὶ ηὐλίζου, ἐρήμοις ἐν ὄρεσι, Θεῷ σχολάζουσα.

Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι, ἐπιφανεὶς ὁ φιλάνθρωπος, ἐκ σοῦ παναμώμητε, κόσμον διέσωσεν, ἀπολλύμενον, καὶ πλάνῃ ὑπαχθέντα· ὅθεν σὲ γεραίρομεν καὶ μακαρίζομεν.

Καταβασία. Χοροὶ Ἰσραήλ.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ὁλίως σατὰν συλῆσαι θέλων, τὸν πλοῦν τῆς ψυχῆς σου ᾧ σεμνή, τὸν σὸν τοκέα ἤγειρε τῆς παρθενίας ῥιθέραί σου, ἄνθος Μαρκέλλα ἔνδοξε, ἀλλὰ ἡττήθη, καὶ πέπτωκεν.

Ἐνδέδεισαι Νύμφη τῷ Κυρίῳ, ὡραία Μαρκέλλα τῇ στολῇ, τῇ πορφυρᾷ τοῦ αἵματος, ὑπερ ἁγνῶς ἐκκέχυται, ἐκ τοῦ σεμνοῦ σαρκίου σου, Παρθενομάρτυς ἀείμνηστε.

Ζωὴν τὴν ἄδιον ποθοῦσα, προέκρινας θάνατον ζωῆς, ἡ μὲν γὰρ τάχος λύεται, ὁ δὲ τὴν αἰωνίζουσαν, Μάρτυς ζωὴν προὐξένησε, καὶ ἀφθαρσίας τὸν στέφανον.

Θεοτοκίον.

Νεφέλη ὑπάρχεις λευκοτάτη, σταγόνας πιστοῖς, ἐξ οὐρανοῦ, ὁμβροῦσα

καὶ ἀνίσχυσα, δικαιοσύνης ἥλιον, ὅστις τὸ σὸν ἀξίωμα, πάντων ὑπέρτερον ἔδειξε.

Καταβασία. Τόξον δυνατὸν ἠσθένησε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον

Τῆς Μαρκέλλης τὴν πάλην ἀναπολῶν, καὶ τοὺς ἄθλους ἐκπλήττομαι κατὰ νοῦν, πῶς τὸ θῆλυ ἔσχυσε, καὶ γενναίως ἠνδρίσατο, τοῦ Σατὰν τὸ θράσος, νικῆσαι καὶ ῥύαγμα, τοῦ Χριστοῦ τῇ χάριτι, τοῦ πλάστου τῆς φύσεως, ὅθεν ἀνυμνοῦντες, τὴν αὐτῆς πάντες νίκην, συμφώνως βοήσωμεν, πρὸς αὐτὴν μετὰ πίστεως, Ἀθληφόρε πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν. Θεοτοκίον

Παναγία Παρθένε, Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέσποτα, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀρρόνως ὧν ἔπραξα, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα μολύνας ὁ ἄθλιος· οἴμοι, τί ποιήσω ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; Τότε, Δέσποινα, βοήθειά μοι γενοῦ καὶ προστάτις θερμότατος, σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ἦβην ἐπανθοῦσαν, Μαρκέλλα σεμνή, ἔχουσα ἀθλήσεως ἥνυσας, δρόμον διόπερ νῦν παρίστασαι Θεῷ, οὗ ἔρως σὴν κατέφλεξε, ψυχὴν καὶ καρδίαν ἀοίδιμε.

Θάλασσαν ἐξέφυγες τὴν τῶν παθῶν, τῶν πολυταράχων καὶ ἔδραμες, ἐν τῷ λιμένι, τῷ ἀκλύστῳ τοῦ Θεοῦ, ἔνθα Μαρτύρων τάγματα, πέλλουσι Μαρκέλλα πανέντιμε.

Τὸν τόν τοῦ ὄφεως, ὃν περ Ἀδάμ, πόθῳ τῆς θεώσεως πέπωκε Μάρτυς Μερκέλλα, μὴ πιοῦσα ὡς σοφή, αὐτὸν πανσόφως ἤσχυνας, ὅθεν σου τὴν μνήμην γεραίρομεν

Θεοτοκίον.

Τ' πανυπερθαύμαστος Μήτηρ Θεοῦ, λάμψον μετανοίας ἀκτῖνά μοι, λύσον τὸν ζόφον, τῶν ἁμέτρων μου κακῶν, τοὺς πονηροὺς ἀπέλασον. Κόρη λογισμοὺς τῆς καρδίας μου.

Καταβασία. Εἰσακήκοα τὴν ἔνδοξον.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Κρήνην σε γινώσκομεν, Μαρκέλλα παμμακάριστε, σώζουσαν τοὺς δίψει ἐκκαέντας, ὅθεν σὺν πόθῳ τῇ σῇ σορῷ ἑστηκώς. δέχομαι τὴν ἔασιν παθῶν, ψυχῆς τε καὶ σώματος, ὡς γλυκύρροα νάματα.

Τιμένα ἀτάραχον, οἱ ἐν πελάγει πανσεμνε, ὄντες τῆς ζωῆς τῆς ἐπικήρου, ἔχομεν πάντες, τὸν σὸν Μαρκέλλα Ναόν, ὅνπερ σοι ἐδείματο λαός, πόθῳ ὁ χριστώνυμος, εἰς σὴν δόξαν καὶ αἴνεσιν.

Μώμους ἀπεδύσω, ὁλοτελῶς ἀοίδιμε, ἐκ τῆς καθαρᾶς σου διανοίας, οὓς ὁ ἀντάρτης αὐτῇ ἐνέβαλε, καὶ γέγονας ἔμψυχος ναός, ὅνπερ εἰσῳκήσατο, ἡ Τριὰς ἡ ἀείφωτος.

Θεοτοκίον.

Ἐώρακε πάλαι σε, ὡς θεῖον τόμον Ἀκραντε ἔνθεος προφήτης ἐν ᾧ λόγος, ἐγράφη ἔνδον, Πατρὸς εἰς κόσμου χαράν, καὶ ἔσωσε πάντας ὡς Θεός, πίστει προσκυνοῦντάς σου, τὴν ἀπόρρητον γέννησιν.

Καταβασία. Ὁ τοῦ φωτὸς διατμήξας.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην καὶ πάντιμον

Νικᾶται δύναμις ἅπασα, δαιμόνων καὶ ἐχθρῶν τῇ ἰσχύϊ σου, ὅθεν δεόμεθα,

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΩΡΗΣ ΠΑΠΑΔΗΜΑΣ

τὴν νῆσον πᾶσαν περίσωζε ἡμῶν, Μαρκέλλα ἔνδοξε, ταῖς πρεσβείαις σου.

Ἠενίζει πάντας ἀοίδιμε, τὸ ὕδωρ τὸ ἐκ πέτρας χεόμενον, ἣ σε ἐδέξατο, καὶ νῦν τὸ σῶμα καλύπτει σου, τέρατα καὶ σημεῖα τελοῦν ἑκάστοτε.

Ὁ διαρρήξας καὶ σώσας σε, τὴν πέτραν ἐκ τοῦ ἄγους ἀμόλυντον, πατρῶας μίξεως, **Θεὸς Μαρκέλλα** ἐδόξασε, θαυμάτων ἐνεργείαις καὶ ἐμεγάλυνεν.

Θεοτοκίον.

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, καὶ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένα ἐμβίβασον, τῆς σωτηρίας. **Κόρη** Θεοχαρίτωτε.

Κατάβασία. Ἐν τῷ θλίβεσθαί με.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον

Ἡ λαμπρά σου ἄθλησις, ὦ καλλιμάρτυς **Μαρκέλλα**, τῶν πιστῶν ἐφαιδρυνε, τὰς διανοίας ἐνθέως, θάνατον τοῦ ζῆν ἀνόμως προκρίνειν πάντας, πειθοῦσα, καὶ γὰρ ἐτιμήθης ξίφει τὴν κάραν, σὺν μαστοῖς ὑπὸ πατρῴας, χειρός, ὦ δρᾶμα, ὑπὲρ τοῦ νόμου **Χριστοῦ**.

Ὁ Οἶκος.

Δεῦτε οἱ φιλήκοοι, ἀκούσατε καινοὺς καὶ δυσαντήτους ἄθλους τε καὶ ἀγῶνας, οὓς περ ἡ τοῦ Χριστοῦ ἄμωμος νύμφη Μαρκέλλα, παρὰ τοῦ ἀνοσίου αὐτῆς πατρὸς ἐν τῇ τῆς Χίου νήσῳ, ἐν κώμῃ Βολισσῷ ἠγώνισται, ἔνθα μέχρι τοῦ νῦν ἐρυθρὸς ὁ τῆς θαλάσσης ἀφρὸς ἐν ταῖς ἀκτοῖς ὁρᾶται, εἰς δήλωσιν τοῦ ἐκχυθέντος παρθενικοῦ αὐτῆς αἵματος· θέλων γὰρ ὁ ἐναγὴς καὶ ἀνόσιος πατὴρ παρανόμως συμμίγνυσθαι αὐτῇ, οὐκ ἠνέσχετο ἡ ἀοίδιμος, ὅθεν φεύγουσα καὶ ὑπ' αὐτοῦ διωκομένη, ἔλαβε θάνατον ὑπὲρ σωφροσύνης, χερσὶ πατρικαῖς ἀποτμηθεῖσα σὺν τοῖς μαστοῖς, καὶ τὴν ἐρίτιμον αὐτῆς κεφαλήν· διὸ ὁ στέφει οὐρανίῳ ἐστέφθη, ὡς ἀθλήσασα ὑπὲρ τοῦ νόμου Χριστοῦ.

ΤΩ ΑΥΤΩ ΜΗΝΙ ΕΙΚΟΣΤΗ ΔΕΥΤΕΡΑ

ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΑΘΛΗΦΟΡΟΥ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΜΑΡΚΕΛΛΗΣ

ΤΗΣ ΕΚ ΤΗΣ ΝΗΣΟΥ ΧΙΟΥ

Πότμον ὑπέστην ἀδικόθυτον, Σῶτερ
Ἐξ ἀδίκου φεύγουσα μιγῆς πατρῴας.
Τὸν Δαυὶδ ἀκούσασα Σωτήρ μου λόγον,
Ἀδικίαν φάσκοντα ἑβδελυξάμην.
Εἰς τὸν νοῦν δὲ τὸν Λὼτ θυγατρογάμον φέρω.
Οἷα πέπονθα πράττων αἰσχύης δρᾶμα.
Βέλη τέτρωμαι ἐκ πατρὸς μιαιφόνου. (1)

Αὕτη ἡ Ἁγία Παρθενομάρτυς καὶ ἀθληφόρος τοῦ Χριστοῦ Μαρκέλλα περίπου τοὺς τριακοσίους χρόνους (2) γνω-

(1) Οὗτοι οἱ στίχοι εὑρηνται ἐν μαρμάρῳ κεχαραγμένοι ἐν τῷ Ναῷ τῆς Ἁγίας Μαρκέλλης, ὡς ὁ τὰ πάτρια τῆς Χίου συλλέας γράφει.

2) Ὁ ποιητὴς τῆς ἀκολουθίας τῆς Ἁγίας Μαρκέλλης, λέγει, ἐν τισι τροπαρίοις ὅτι συνδοξάζεται αὕτη μετὰ Ἰσιδώρου καὶ Μυρώνης καὶ τῆς ὁσίας Ματρώνης τῶν ἐν Χίῳ προδιαλαμψάντων καὶ προστατῶν αὐτῆς ἀναφανέντων· ἡ δὲ Ἁγία Ματρώνα πρὸς Κύριον ἐξεδήμησεν εἰς τοὺς 1462 ἀνξβ'. χρόνους ἀπὸ Χριστοῦ. Λοιπὸν συμπεραίνομεν στοχαστικῶς, ὅτι ἡ ἀθλη-

ρίζεται καὶ κηρύττεται Ἁγία καὶ Μάρτυς εἰς τὴν νῆσον Χίον· καὶ ναὸς εὑρίσκεται τιμώμενος εἰς τὸ θεῖον αὐτῆς ὄνομα καὶ θαύματα πολλὰ ἐτέλεσε καὶ τελεῖ εἰς τοὺς μετὰ πίστεως καὶ εὐλαβείας ζητοῦντας τὴν μαριυρικὴν αὐτῆς χάριν καὶ ἀντίληψιν εἰς τὰς χρείας των· ἀλλ' ἐπειδὴ ὁ ναός της εἶναι παράμερα εἰς μίαν ἄκραν τῆς νήσου, καὶ ἡ ἱστορία της δὲν ἐδόθη εἰς τύπον, καὶ οὕτω νὰ κηρυχθῇ καὶ νὰ φανερωθῇ πανταχοῦ, διὰ τοῦτο λαβόντες ἡμεῖς τὰς εἰδήσεις τῆς ἱερᾶς αὐτῆς ἱστορίας ἀπὸ ἕνα σύντομον καὶ ἐλληνιστὶ συντεθειμένον ὑπόμνημα παλαιοῦ τινος, συγχρόνου τῆς Ἁγίας, ἤδη πρῶτον τὴν κυρύττομεν πρὸς πάντας, καὶ ἐντοπίους καὶ ξένους, ὑποσημειοῦντες ἐν μέρει καὶ ὅσα ἀμέσως ἐγνωρίσαμεν περὶ τοῦ τερατουργοῦ ὕδατος, ὁποῦ ἐκβλύζει ἀπὸ τὸν τόπον τῆς ἀποτομῆς της, προσθέντες ἔτι καὶ ἐκ τῶν νέων της θαυμάτων τὰ πλέον φανερὰ καὶ γνωστὰ εἰς τοὺς πλησιοχώρους.

Ἡ μακαρία λοιπὸν αὕτη καὶ ἄσπιλος νύμφη τοῦ Χριστοῦ Μαρκέλλα ἦτον ἀπὸ τὴν νῆσον Χίον, ἀπὸ ἕνα χωρίον τοῦ ἐπάνω μέρους, καλούμενον Βολισσόν· τῶν γονέων της τὰ ὀνόματα δὲν μᾶς τὰ ἐφανέρωσε καμμία ἱστορία, οὐδὲ ἐκ παραδόσεως δὲν τὰ ἠξεύρομεν· ἦσαν ὅμως χριστιανοί, πλουσιώτεροι καὶ ἐπισημότεροι τῶν ἄλλων τοῦ χωρίου· ἀλλ' ἀποθανούσης τῆς μητρὸς αὐτῆς νέας τὴν ἡλικίαν ἔμεινεν ὀρφανὴ ἡ Μαρκέλλα καὶ ἀνετράφετο ὑπὸ τοῦ πατρός. Ἔχουσα δὲ ἐκ πρώτης ἡλικίαν ἀγαθὴν προαίρεσιν καὶ καλὴν παιδαγωγίαν ἀπὸ τὴν μητέρα της, ἦτο καὶ ἐφαίνετο ἡ εὐλογημένη σεμνοτάτη καὶ κατὰ πάντα εὔτακτος καὶ κοσμία· τῆς δὲ ἡλικίας αὐξανούσης, συνηύξανον καὶ τὰ πρῶτα ἐκεῖνα καλά, καὶ ἄλλα νέα προσεγίνοντο, διότι πολλὴν σπουδὴν καὶ ἐπιμέλειαν ἐδείκνυεν εἰς τὴν θείαν εὐαρέστησιν, νηστεύουσα, προσευχομένη, ἐλεοῦσα τοὺς χρείαν ἔχοντας καὶ ἄλλας ἀγαθοεργίας ποιοῦσα καὶ φυλάττουσα ἀκριβῶς τὰς ἐντολὰς τοῦ Κυρίου ἡ ἀοίδιμος. Ἀλλὰ ταῦτα βλέπων ὁ μισόκαλος καὶ κοινὸς ἐχθρὸς τῆς τῶν ἀνθρώπων σωτηρίας, ἐφθόνησε καὶ ἤθελε νὰ τὴν πολεμήσῃ, μὴν ὑποφέρων νὰ καταπατῇ τὴν δύναμίν του μία νέα καὶ ἁπαλὴ κόρη, καὶ μάλιστα χωρικὴ καὶ ἀγράμματος, μηδὲν ἄλλο ἠξεύρουσα εἰμὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον, ἐφθόνησε, λέγω, καὶ ἤθελε νὰ τὴν πολεμήσῃ, καὶ ἂν δυνηθῇ, νὰ τὴν ρίψῃ εἰς τὸν βαθύτατον λάκκον τῆς ἁμαρτίας ἐκείνην ἥτις ἐφαίνετο καὶ ἦτο τῇ ἀληθείᾳ ὑψηλὴ καὶ ἀνωτέρα τῶν πολλῶν κατὰ τὴν ἀρετήν. Πλὴν νὰ πολεμήσῃ ἀμέσως ἐκείνην σπείρων δηλαδὴ πονηροὺς λογισμοὺς εἰς τὴν καθαρὰν καὶ θεόφρανά της διάνοιαν, καὶ οὔτω τὴν νικήσῃ, τὸ ἐστοχάσθη ἀδύνατον ὁ πονηρότατος, ὅτι ἂν καὶ ἦτο νέα, εἶχεν ὅμως γερόντικον καὶ ἀνδρεῖον φρόνημα καὶ δὲν ἦτο θυγάτηρ τῆς προμήτορος Εὔας εἰς τὸ νὰ ἀνοίγῃ τὰς ἀκοάς μετὰ χαρᾶς εἰς τοὺς δολίους ἐκείνου ψιθυρισμούς· ὅθεν παραιτεῖται ὁ μιαρός, ὡς ἀσθενής, ἀπὸ τὸν πρὸς αὐτὴν ἄμεσον πόλεμον, δὲν τὴν ὑψώνει εἰς τὴν ὑπερηφάνειαν, ὡς πλουσιωτέραν καὶ ὡραιοτέραν τῶν ἄλλων, δὲν τῆς ἀνάπτει τὰς τῆς νεότητος ἐπιθυμίας, οὔτε ἄλλο τι ἐκ τῶν βελῶν αὐτοῦ δὲν ῥίπτει κατ' αὐτῆς, ἐπειδὴ ὅποιον κακὸν καὶ ἂν ἦτο ἐκεῖνο ὅπερ ἤθελε τὴν παρακινήσει νὰ κάμῃ, ἤθελεν εἶναι μέτριον καὶ μικρόν, καὶ ὄχι μέγα καὶ ἀνήκουστον, ὡσὰν ἐκεῖνο ὅπερ, εἰς ὅλον τὸ ὕστερον, ἠγωνίσθη ὅλαις δυνάμεσι νὰ κατορθώσῃ ἀλλ' ἔμεινε κατησχυμένος, ἐπειδὴ ἀπέτυχεν ὁ παμμίαρος, καθὼς ἀκολούθως θέλομεν εἰπεῖ.

Τί δὲ ἦτο τὸ μέγα κακόν, καὶ ἀνήκουστον εἰς τοὺς Χριστιανούς; εὗρον τὸν πατέρα της φαυλόβιον, καὶ τῆς θείας χάριτος ἔρημον, κινεῖ καὶ διεγείρει αὐτὸν εἰς σαρκικὸν ἔρωτα αὐτῆς τῆς ἰδίας του θυγατρός· φεῦ τῆς κακίας καὶ πονηρίας τοῦ διαβόλου! φεῦ τῶν πονηρῶν αὐτοῦ μηχανημάτων! τὴν μὲν Εὔαν ἠπάτησε διὰ τοῦ ὄφεως, ἐπειδὴ ἦτο συνειθισμένος ἐκεῖνος νὰ εἰσέρχηται συχνὰ εἰς τὸν Παράδεισον, τὴν δὲ Μαρκέλλαν ἐδοκίμασε νὰ ἀπατήσῃ μὲ τὸ μέσον τοῦ πατρός της, ἐπειδὴ ἦτο νύκτα καὶ ἡμέραν ἀχώριστοι, ὡς πατὴρ καὶ τέκνον. Τιτρώσκει λοιπὸν καὶ πληγώνει αὐτόν, ὡσὰν μὲ σαΐτας φαρμακερὰς, μὲ τὸ κάλλος τῆς κόρης, ὅθεν ἀρχίζει ὁ μιαρὸς νὰ τὴν βλέπῃ μὲ ἀκολάστους ὀφθαλμούς, καὶ ἐκ τῆς θεωρίας, τοῦ ἔρχονται αἰσχραὶ προσβολαί, καὶ ἐκ τῶν προσβολῶν συνδυασμοί, καὶ ἐκ τῶν συνδυασμῶν συγκαταθέσεις, καὶ ἐκ τῶν συγκαταθέσεων, ἤρχισε καὶ νὰ ἀποτολμᾷ εἰς τὴν ἀθεσμοτάτην πρᾶξιν τῆς ἁμαρτίας, ἤγουν ἀπετόλμησεν ὁ ἀνόσιος νὰ λέγῃ πάντῃ αὐθαδῶς καὶ ἀναισχύντως πρὸς τὴν θυγατέρα δαιμονικὰ λόγια, διὰ νὰ τὴν φέρῃ εἰς τὴν πονηρὰν αὐτοῦ γνώμην, καταφρονῶν καὶ θείους καὶ ἀνθρωπίνους νόμους, μὲ σκοπὸν νὰ τὴν ἔχῃ, ὢ τόλμης βαρβαρικῆς καὶ ἀθέου! νὰ τὴν ἔχῃ λέγω καὶ θυγατέρα καὶ γυναῖκα του!.

Ἐταράχθη, ἐφριξεν ἡ σωφρονεστάτη Μαρκέλλα, οὔτε κἂν νὰ τὸ καλοακούσῃ ὑπέμεινε. Τί λοιπόν; ἐπιχειρεῖ καὶ βιαίως ὁ ἀπάνθρωπος πατήρ· ἡ δὲ φρόνιμος κόρη τὴν βίαν φοβηθεῖσα, ἔφυγεν ἀπὸ τὴν πατρικήν της οἰκίαν καὶ ἀπὸ τὸ χωρίον, καὶ ὡσὰν νὰ ἐδιώκετο ἀπὸ Μαξιμιανούς, ἢ Διοκλητιανούς ἢ Δεκίους, τοὺς ἀθέους ἐκείνους τυράννους, ἔφευγεν εἰς τὰ ὄρη, καὶ διέτριβεν ἐκεῖ κρυπτομένη, καὶ παρακαλοῦσα τὸν νοητὸν αὐτῆς νυμφίον Χριστόν, νὰ τὴν σκεπάσῃ καὶ νὰ τὴν φυλάξῃ ἀμόλυντον. Τί δὲ ὁ κάκιστος πατήρ; τάχα ἠδύνατο εἰς τὸν ἑαυτόν του; τάχα ἐντράπη διὰ τὴν ἀποστροφὴν τῆς θυγατρός του; τάχα ἐσωφρονίσθη; ὄχι· τὸ ἐναντίον μάλιστα ἔγινεν· ὅτι κατὰ τὸν Ἰουδαῖον Φίλωνα, ὅταν ὁ πονηρὸς οὗτος ἔρωτας δὲν ἠμπορῇ νὰ τελειωθῇ, δὲν παύει, ἀλλὰ περισσότερον αὐξάνει· «ἀποτυγχανόμενος ἔρως, οὗ μερίμνας ἐπιτείνεται»· ὅθεν ἀποτυχὼν καὶ αὐτὸς ὁ ἀνόσιος, πλέον ἤναψεν ἀπὸ τὰς φλόγας τοῦ σατανικοῦ ἔρωτος· ἐπαραφρόνησεν, ἐδαιμονίσθη, καὶ ἐβγῆκε ζητῶν αὐτὴν εἰς τὰ βουνά. Ἡ δὲ μακαρία Μαρκέλλα, ἰδοῦσα τοῦτον μακρόθεν, καὶ νομίζουσα πῶς ἐκεῖνος δὲν τὴν εἶδε, τρέχει τὸ ὀγληγωρότερον εἰς ἕνα παραθαλάσσιον τόπον, καὶ κρύπτεται μέσα εἰς μίαν μεγάλην βάτον· δὲν τὸν ἐλάνθασεν ὅμως, τὴν εἶδε. Λοιπὸν τρέχει καὶ αὐτὸς ἐκεῖ, καὶ μὴ δυνάμενος νὰ εἰσέλθῃ εἰς τὴν βάτον, διὰ τὴν πολλήν της πυκνότητα, ἔβαλε πῦρ εἰς αὐ-

---

φόρος Μαρκέλλα ἤκμαζε περίπου τοὺς ᾳφ'. 1500, ὅτι δὲν τὴν ἐνθυμοῦνται οὔτε οἱ πάπποι, οὔτε οἱ πρόπαπποι τῆς παρούσης γενεᾶς. (Σημ. τῆς γενεᾶς καθ' ἣν ἔγραφεν ὁ βιογράφος τῆς Ἁγίας, Κ. Π.).

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΑΚΗ

τὴν ὁ σκληροκάρδιος καὶ θηριογνώμων, διὰ νὰ τὴν βιάσῃ νὰ ἐβγῇ ἔξω, ἢ ἐὰν δὲν γίνῃ τοῦτο, νὰ τὴν καύσῃ μέσα ἐκεῖ. Πλὴν δὲν κατώρθωσεν ἐκεῖνο ὅπερ ἤθελεν, ἐπειδὴ ἐξελθοῦσα ἀπὸ τὸ ἄλλο μέρος ἡ Μαρκέλλα (ἡ βία τὴν ἀνάγκαζε νὰ ἀψηφῇ τελείως τὰ κέντρα καὶ τὰ ξεσχίσματα τῆς βάτου), ἔτρεξε μὲ ὅλην της τὴν δύναμιν εἰς τὴν παραθαλασσίαν ἐκείνην πεδιάδα, καὶ διαπεράσασα αὐτήν, ἔτρεχεν ἐπάνω εἰς τοὺς βράχους καὶ τὰς πέτρας τῆς θαλάσσης, ὡς ἔλαφος ταχυδρόμος· καὶ ἐκείνη μὲν ἡ πανεύφημος ἠγωνίζετο οὕτως ὑπὲρ σωφροσύνης, διὰ νὰ φυλάξῃ τὴν παρθενίαν της ἄφθορον, ἐκεῖνος δὲ ὁ ἐναγὴς καὶ ἀκάθαρτος ὑπὲρ ἀκολασίας καὶ ἀσελγείας, διὰ νὰ πληρώσῃ τὸν κακόν του σκοπόν· μὴ δυνάμενος ὅμως νὰ τὴν φθάσῃ, ἔρριψε σαΐταν καὶ τὴν ἐπλήγωσεν· ἀλλὰ καὶ πληγωμένη ἡ Μαρκέλλα, ἔτρεχε πάλιν καὶ ὅσον ἠδύνατο ἔφευγε, πλὴν, ὅταν εἶδε πῶς τὴν ἔφθανε, καὶ πλέον νὰ τρέχῃ δὲν εἶχε δύναμιν, κατέφυγεν εἰς τὴν ἀήττητον δύναμιν τοῦ νυμφίου της Χριστοῦ, καὶ προσευξαμένη, ἐζήτησε νὰ σχισθῇ καὶ νὰ ἀνοίξῃ ἡ πέτρα ὅπου ἦτο πλησίον της, νὰ τὴν δεχθῇ μέσα της καὶ νὰ τὴν κρύψῃ καὶ παρευθύς· ὦ τὴν θαυμασίαν σου Χριστέ, Βασιλεῦ τῆς κτήσεως! παρευθὺς εἰσήκουσε τῆς δεήσεως αὐτῆς «ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων» καὶ σχισθεῖσα ἡ πέτρα ἐκείνη τὴν ἐδέχθη καὶ τὴν ἔκρυψε μέσα της ἕως ἐπάνω εἰς τοὺς μαστούς, ὡς ποτὲ τὴν πρωτομάρτυρα καὶ Ἰσαπόστολον Θέκλαν.

Φθάσας δὲ καὶ ὁ πατήρ, δαιμονισμένος ὑπὸ τοῦ ἔρωτος καὶ τοῦ θυμοῦ, καὶ μὴ δυνάμενος ἐκεῖθεν νὰ τὴν βγάλῃ μὲ ἀπανθρωπίας καὶ σκληρότητος ὑπερβολὴν πρῶτον ἔκοψε τοὺς μαστοὺς τῆς κόρης μὲ μάχαιραν, ὦ γνώμης ἀπανθρώπου καὶ θηριώδους! ὦ σπλάγχνα! ὦ καρδιά! ὦ χεῖρες τυραννικαὶ καὶ ὄχι πατρικαί! πρῶτον λέγω ἔκοψε τοὺς μαστούς της καὶ τοὺς ἔρριψεν εἰς τὸ βουνόν, ἔπειτα ἀπέτεμε τὴν πάντιμον αὐτῆς κεφαλὴν καὶ τὴν ἔρριψεν εἰς τὴν θάλασσαν (1), καὶ οὕτως ἡ μακαρία Μαρκέλλα ἔλαβε πρὸ Χριστοῦ, ὡσὰν ἕνας γέρος καὶ δῶρον τῆς σωφροσύνης της καὶ τῆς πρὸς αὐτὸν διαπύρου ἀγάπης της, ἐπειδὴ ἐτελειώθη δι' αἵματος, καὶ νὰ ἀξιωθῇ τῶν ἀφθάρτων καὶ ἀκηράτων στεφάνων τῆς ἀθλήσεως· διότι ἠδύνατο βεβαίως ἡ θεία παντοδυναμία νὰ τὴν φυλάξῃ ζωντανὴν νὰ τὴν παρηλάβῃ τὴν ἁγίαν της ψυχὴν ἐν εἰρήνῃ· πλὴν δὲν ἔκαμεν οὕτως· ἀλλὰ τὴν ἄφησε νὰ λάβῃ βίαιον θάνατον διὰ νὰ παρουσιασθῇ ἐμπροσθέν του ἐστολισμένη ὄχι μόνον μὲ τὸ καθαρὸν ἔνδυμα τῆς παρθενίας, ἀλλὰ καὶ μὲ τὴν πορφύραν τῶν παρθενικῶν της αἱμάτων· καὶ οὕτως ὡς μὲν παρθένος εἰσῆλθεν εἰς τὸν οὐράνιον νυμφῶνα μετὰ τῶν φρονίμων παρθένων, ὡς δὲ Μάρτυς μετὰ τῶν Μακκαβαίων καὶ τοῦ τιμίου Προδρόμου μακαρίζεται· διότι αὐτοὶ δὲν παρέδωκαν τὴν ζωήν των εἰς θάνατον, διὰ νὰ μὴν ἀρνηθοῦν τὸν ἀληθῆ Θεόν, καθὼς ὕστερον οἱ Μάρτυρες, ἀλλὰ διὰ τὸν νόμον Κυρίου, οἱ μὲν Μακκαβαῖοι, διὰ νὰ μὴ φάγουν ἀπὸ τὰ φαγητὰ ἐκεῖνα ἅπερ ἠμπόδιζεν ὁ Μωσαϊκὸς νόμος, ὁ δὲ Βαπτιστὴς καὶ Πρόδρομος ἐλέγχων τὴν παρανομίαν τοῦ Ἡρώδου· καὶ κατὰ ἀλήθειαν εἰς τὴν Ἁγίαν ταύτην ἐπληρώθη τὸ Εὐαγγελικὸν ἐκεῖνο ὅπερ λέγει· «Ὃς δ' ἂν ἀπωλέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν»· διότι ἀπώλεσε τὴν πρόσκαιρον ταύτην ζωὴν διὰ νὰ φυλάξῃ τὰς ἐντολὰς τοῦ Εὐαγγελίου καὶ ἰδοὺ ἔλαβε τὴν αἰώνιον, καὶ συζῇ μὲ τὸν Χριστόν, καὶ συνδοξάζεται· καὶ οὐ μόνον ἐν οὐρανῷ δοξάζεται, ἀλλὰ καὶ ἐπὶ γῆς μὲ παράδοξα θαύματα μεγαλύνεται· διότι ἡ διαρραγεῖσα ἐκείνη πέτρα καὶ τὴν Ἁγίαν δεξαμένη, ἀνέβλυσε καὶ ἀναβλύζει ἀενάως ὕδωρ τερατουργόν, ἰαματικὸν παντὸς πάθους καὶ πάσης ἀσθενείας· «ζῶ γὰρ ἐγώ, λέγει Κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με ἀντιδοξάσω». Ὅθεν καὶ οἱ ἄνθρωποι τοῦ καιροῦ ἐκείνου, βλέποντες τὰ παράδοξα ταῦτα θαύματα τοῦ ἐκ τῆς πέτρας ἀναβλύζοντος ἁγιάσματος 2), ἔκτισαν Ἐκκλησίαν εἰς τὸ ὄνομα

(1) *Ἄδεται λόγος ἐκ παραδόσεως, καὶ ὁ τὰ πάτρια τῆς Χίου συλλέξας καὶ ἐγγράφων μᾶς τὸ ἄφησεν, ὅτι ἡ μαρτυρικὴ κάρα τῆς Ἁγίας Μαρκέλλης, εὑρίσκεται εἰς τὴν παλαιὰν Ρώμην, ἴσως ἀπὸ τὸν καιρὸν ὁποῦ ὥριζαν τὴν νῆσον οἱ Γενουβέζοι.*

2) *Εἶναι δὲ τὸ ἁγίασμα αὐτὸ ἕως ἐν τέταρτον τῆς ὥρας μακρὰν ἀπὸ τὴν Ἐκκλησίαν τὸν τόπον ἐκεῖνον τὸν ὀνομάζουν οἱ ἐντόπιοι «Μαρτύριον τῆς Ἁγίας Μαρκέλλης», ἐπειδὴ ἔγινεν ἐκεῖ ἡ ἀποτομή της· ἐκεῖ εὑρίσκεται καὶ ἡ πέτρα, ἡ ὁποία ἔκρυψε καὶ ἐσκέπασε τὸ παρθενικὸν καὶ πάντιμον σῶμά της· καὶ ἕως τῆς σήμερον, κρίμασιν οἷς εἶδεν ὁ Κύριος τὸ σκεπάζει. Εἶναι δὲ ἡ πέτρα αὕτη εἷς τὸ χεῖλος τῆς θαλάσσης, ὄχι πολὺ μεγάλη οὐδὲ φαίνεται ὡσὰν ριζιμαία, ἀλλ' ὡσὰν νὰ ἐνυλίσθη ἀπὸ τὸ βουνόν, καὶ ἔπεσεν ἐκεῖ ἀπὸ τὸ μέρος τῆς ξηρᾶς ἔπεσαν χώματα καὶ πέτραι τοῦ βουνοῦ, καὶ ἔχωσαν τὸ ἓν της μέρος· ἀπὸ τὸ ἄλλο τὴν μισοσκεπάζει ἡ ἄμμος τῆς θαλάσσης, καὶ φαίνεται μόνον ὡς μία πῆχυν ὑψηλοτέρα τῆς γῆς ἀπὸ τὸ μέρος τῆς θαλάσσης. Ἔχει εἰς τὸ μέσον της ἡ πέτρα ὀλίγον κοίλωμα καὶ εἰς τὸ κοίλωμα ἐκεῖνο ἔχει μίαν μικρὰν καὶ στενὴν ὀπήν, τόσον ὁποῦ χωρεῖ μέσα τὸ νύχι τοῦ δακτύλου τῆς χειρός· ἀπὸ αὐτὴν τὴν μικρὰν καὶ στενὴν ὀπὴν τῆς πέτρας ἐξέρχεται ὀλίγον ὕδωρ ἁλμυρὸν καθαρώτατον καὶ θερμότατον· ἀποκεῖ τις περιεργαζόμενος τὸ ὕδωρ ἐκεῖνο· ἡ πέτρα ἀπὸ τὴν ὁποίαν ἐξέρχεται δὲν συνέχεται μὲ τὸ βουνόν, νὰ εἴπωμεν ὅτι ἀπὸ ἐκεῖ διαπερνᾷ εἰς τὴν πέτραν· νὰ ἀναβαίνῃ πάλιν ἀπὸ τὴν θάλασσαν, ἔπρεπεν ὅταν σύρεται μέσα ἡ θάλασσα νὰ ξηραίνεται, ἀλλ' αὐτὸ τρέχει ἐνὸς εἴδους πάντοτε, ὡσὰν νὰ ἦναι ἡ πέτρα πίθος μὲ νερόν, καὶ ἀπὸ κανένα ράγισμα τοῦ πίθου ἐξέρχεται. Ἔπειτα τὸ καθαρὸν ἐκεῖνο ὕδωρ βάφει τὰ μαῦρα πετράδια τοῦ αἰγιαλοῦ, (διότι ὅλαι αἱ πέτραι τοῦ τόπου ἐκείνου εἶναι μαῦραι) καὶ φαίνονται ὡσὰν τὸν κρόκον τοῦ αὐγοῦ (δὲν ἠξεύρω μὲ τί ἄλλο νὰ τὰ ὁμοιάσω) καὶ οὐ μόνον τὰ ἔξω ἀλλὰ καὶ τὰ μέσα εἰς τὴν θάλασσαν εἰς ὅσον τόπον χύνεται τὸ ὕδωρ ἐκεῖνο ἕως τρεῖς πήχαις βάθος, εἶναι παρομοίως βαμμένα καὶ οἱ ἀφροὶ τῆς θαλάσσης εἰς τὸ μέρος ἐκεῖνο εἶναι κόκκινοι εἰς καιρὸν γαλήνης· ὅθεν οἱ ἐντόπιοι ὀνομάζουν τὸν τόπον ἐκεῖνον, «Ἅγιον αἷμα»· καὶ ὁ παλαιὸς ἐκεῖνος ὅστις ἐσύνθεσε τὴν Ἀκολουθίαν τῆς Μάρτυρος, ὀνομάζει τὴν πέτραν ἐκείνην, ἀπὸ τὴν ὁποίαν ἐξέρχεται τὸ ἁγίασμα «Σορὸν», ἤγουν θήκην τῶν Λειψάνων τῆς Ἁγίας, καὶ ὅλοι ἔχουν παράδοσιν ὅτι ἐκεῖ μέσα μένει τὸ Μαρτυρικὸν Λείψανον, καὶ ἐκεῖθεν ἐξέρχεται τὸ ἰαματικὸν ἐκεῖνο ὕδωρ. Πλὴν δὲν εἶναι τὸ θαυμαστὸν οὔτε ἡ θερμότης οὔτε ἡ βαφὴ τῶν πετρῶν, διότι αὐτὰ καὶ εἰς ἄλλα μέρη φαίνονται· τὸ θαυμαστὸν εἶναι τοῦτο, διότι εὐθὺς ὁποῦ ἀρχίσει ὁ ἱερεὺς νὰ ψάλλῃ τὸν ἁγιασμὸν, φαίνονται ὀλίγοι ἀτμοὶ εἰς τὸν λάκκον τοῦ ὕδατος ἐν ἀρχῇ, ἀπὸ τὸ μέρος ἐκεῖνο ὁποῦ ἐγγίζει εἰς τὴν πέτραν, ἔπειτα σκεπάζεται ὅλη ἡ ἐπιφάνεια τοῦ ὕδατος ἀπὸ τοὺς ἀτμοὺς ἐκείνου, ὡσὰν νὰ ἀνοίξῃ τις καζάνι ὁποῦ βράζει, καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ἁγιασμοῦ παύουν οἱ ἀτμοὶ, καὶ μένει πάλιν ὡς καὶ πρότερον· πρᾶγμα διηγοῦμαι ὁποῦ εἶδον ἰδίοις ὀφθαλμοῖς· Ὅταν δὲ ἔχῃ νὰ θαυματουργήσῃ καὶ νὰ θεραπεύσῃ τὸν πάσχοντα, δι' ὃν ψάλλεται ὁ ἁγιασμός, τότε περισσότερον ἀτμίζει, καὶ δίδει χαροποιὰν εἴδησιν· εἰς τοῦτο μὲ ἐβεβαίωσεν ὁ Ἐφημέριος ὁποῦ πολλάκις τὸ ἐπαρατήρησε. Ὀλίγον μακρὰν ἀπὸ τὸν τόπον τῆς ἀποτομῆς, εἶναι ὁμοίως βαμμένοι αἱ πέτραι μέσα εἰς τὴν θάλασσαν, καὶ λέγουν, πὼς ἐκεῖ τὴν ἐσαΐτευσεν ὁ πατήρ καὶ ἐχύθησαν τὰ Μαρτυρικά της αἵματα, καὶ διὰ τοῦτο αἱ πέτραι εἶναι κόκκιναι, καὶ ἐγὼ παρατηρήσας δὲν εἶδα εἰς ἄλλο μέρος νὰ ἔχουν τοιοῦτον χρῶμα αἱ πέτραι, παρὰ εἰς αὐτὰ τὰ δύο μέρη· δὲν εἶναι φυσικὸν τὸ χρῶμα ἐκεῖνο τῶν πετρῶν, ἐπειδὴ τριβόμενον βγαίνει, καὶ μένη ἡ πέτρα μαύρη κατὰ τὴν φύσιν της.*

τῆς Ἁγίας, εἰς τὸν τόπον τῆς βάτου ὁποῦ ἐκρύφθη, ὃς προείρηται, καὶ τὴν ἑορτάζουν εὐλαβῶς, καὶ κατ' ἔτους οἱ ἀνάγκην ἔχοντες προστρέχουν εἰς τὸν Ναὸν καὶ εἰς τὸ ἁγίασμα, καὶ λαμβάνουν τῶν παθῶν των τὴν ἴασιν. Τὰ δὲ θαύματα, ὁποῦ ἐνεργεῖ αὐτὸ τὸ ἁγίασμα τῆς Ἀθλοφόρου Μαρκέλλης εἶναι δύσκολον νὰ τὰ περιγράψῃ τις, διὰ τὸ πλῆθος. Ὅθεν καὶ ἀπὸ ὅλα τὰ μέρη τῆς Χίου, καὶ ἀντικρὺ ἀπὸ τὰ Ψαρρὰ προστρέχουν ἐκεῖ, καὶ λαμβάνουν τὴν θεραπείαν εἰς τὰ πάθη των· καὶ εἰς τὴν μνήμην της, ἤτις τελεῖται τῇ 22 τοῦ Ἰουλίου Μηνός, πολὺ πλῆθος ἀνθρώπων συντρέχει· διὸ καὶ τὸν Ναόν της νεωστὶ ἀνεκαίνισαν καὶ ἐμεγάλυναν οἱ ἐντόπιοι, καὶ ἐκ τῶν νέων αὐτῆς θαυμάτων παρέδωσαν ἡμῖν, καὶ ἐγράψαμεν τὰ ἀκόλουθα.

Εἰς τοὺς χιλίους ἑπτακοσίους ὀγδοήκοντα δύο χρόνους ἀπὸ Χριστοῦ, Ἱερεύς τις ἀπὸ αὐτὸ τὸ χωρίον, τὴν Βολισσὸν, ἔχων παιδίον ἀσθενές, ἠθέλησε νὰ ὑπάγῃ νὰ τὸ πλύνῃ εἰς τὸ ἁγίασμα τῆς Ἁγίας Μαρκέλλης, πλὴν ὄχι μὲ τὴν πρέπουσαν καὶ ἀπαιτουμένην πίστιν, ἀλλὰ μὲ δισταγμὸν καὶ ἀμφιβολίαν, ἐπειδὴ ἦτο δεινὴ ἡ ἀσθένεια τοῦ παιδίου, ἠσθάνετο λογισμοὺς ἀπογνώσεως καὶ ἀπελπισίας, πῶς οὔτε ἡ χάρις τῆς Μάρτυρος δὲν τὸ ὑγιαίνει· καὶ τοιοῦτοι μὲν ἦσαν οἱ λογισμοὶ τοῦ ἱερέως· καὶ πατρὸς τοῦ παιδίου· τί δὲ ἡ Ἁγία; θέλουσα νὰ δείξῃ τὴν παρρησίαν ὁποῦ ἔχει πρὸς τὸν Θεόν, καὶ τὴν θαυματουργικὴν χάριν, ὁποῦ ἐπλούτησεν, εὐθὺς ὁποῦ ἔπεσεν εἰς ὕπνον τὴν ἡμέραν ἐκείνην ὁ ἱερεύς, τοῦ ἐφάνη εἰς τὸν ὕπνον του, πῶς εὑρέθη εἰς τὸν τόπον τοῦ Μαρτυρίου τῆς Ἁγίας, ὅπου καὶ τὸ ἁγίασμα πηγάζει, καὶ ἐκεῖ, τοῦ φαίνεται ἄνωθεν ἡ Ἁγία, ἐλέγχουσα τὴν ἀπιστίαν του, καὶ λέγουσα·

«Τὸ παιδίον σου βεβαίως θέλει ὑγιάνει, καὶ μὴν ἀμφιβάλλῃς εἰς τὴν θαυματουργικὴν χάριν, ἣν ἔλαβον παρὰ Θεοῦ». Ὁ δὲ, ταῦτα ἰδὼν καὶ ἀκούσας, τόσον ἐτρόμαξεν, ὥστε ὁποῦ ἐξύπνησεν ἔντρομος, καὶ ἔμεινεν ἄφωνος παντελῶς καὶ δὲν ἠδύνατο νὰ λαλήσῃ ὥραν ἱκανήν· ἀφ' οὗ δὲ μόνος καθ' ἑαυτὸν ἐμετενόησεν, καὶ τὴν ἀπιστίαν τῶν λογισμῶν ἐδιώρθωσε τότε ὡμίλησε, καὶ εἰς ἐπήκοον τῶν εὐρεθέντων ὑπεσχέθη νὰ τὴν ἑορτάζῃ εἰς τὸ ἑξῆς καὶ εἰς τὴν αὐτὴν ὥραν ὁποῦ ὡμίλησεν ἐκεῖνος, ὑγίανε καὶ τὸ παιδίον του παραδόξως, καὶ ἐπληροφορήθη πραγματικῶς ἐκ τῶν δύο τούτων ὁποῦ ἔπαθε καὶ εἶδε, τὴν χάριν τῆς Ἁγίας δοξάζων τὸν Θεὸν καὶ τὴν ἔνδοξον αὐτοῦ νύμφην καὶ Μάρτυρα Μαρκέλλαν.

Ἐν τῷ αὐτῷ ἔτει, ἄλλος τις Ἱερεύς, ὀνόματι Μιχαήλ, ἀπὸ τὸ αὐτὸ χωρίον, εἶχε παιδίον ἀσθενὲς ἱκανὸν καιρὸν, Νικόλαον καλούμενον, καὶ ἐπειδὴ παρήρχετο ὁ καιρὸς καὶ δὲν ἔβλεπε τὴν ὑγείαν του, ἐπικαλέσθη τὴν Ἁγίαν εἰς βοήθειαν, καὶ τὴν δευτέραν νύκτα, ὦ τῆς ταχείας ἀντιλήψεως τῆς Μάρτυρος! τοῦ ἐφάνη εἰς τὸν ὕπνον του πῶς τὴν εἶδε (καθὼς τὴν ἤξευρε ἀπὸ τὴν εἰκόνα της) καὶ ἐπήγαινε εἰς τὴν οἰκίαν ὁποῦ ἦτο τὸ ἀσθενὲς παιδίον, καὶ παρευθὺς ἀποτινάξας τὸν ὕπνον, εὗρε τὸ παιδίον ὑγιὲς καὶ κατὰ πάντα καλῶς ἔχον, καὶ ἐδόξασε τὸν Θεὸν τὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ δοξαζόμενον, καὶ τὴν Αὐτοῦ Μάρτυρα Μαρκέλλαν.

Εἰς τοὺς ἑπτακοσίους ὀγδοήκοντα πέντε χρόνους ἐν καιρῷ χειμῶνος, ἐκίνησαν τινὲς ἀπὸ τὴν χώραν διὰ νὰ ἔλθουν εἰς τὸ χωρίον των, τὴν Βολισσὸν, ἀλλὰ τόσον μεγάλη καὶ χιονώδης βροχὴ τοὺς ἔφθασεν εἰς τὸν δρόμον, εἰς τόπον ἔρημον καὶ ἀκατοίκητον, ὥστε ὁποῦ ἀπέκαμε πλέον καὶ ἐλιποθύμησε μίαν γυναῖκα ἀπὸ τὴν συνοδείαν των, καὶ παρεμπρὸς δὲν ἠδύνατο τὰ ὑπάγῃ, ἀλλ' ἔπεσεν ὡσεὶ νεκρά. Οἱ ἄλλοι μὴ δυνάμενοι νὰ τῆς κάμουν καμμίαν βοήθειαν, τὴν ἐσήκωσαν καὶ τὴν ἔβαλαν εἰς τὸ κελλίον μιᾶς ἐκκλησίας τοῦ Ἁγίου Γεωργίου, ὁποῦ εἶναι εἰς τὰ βουνὰ ἐκεῖνα, εἰς τόπον λεγόμενον Φλῶσι, καὶ τὴν ἄρησαν ἐκεῖ πνέουσαν τὰ λοίσθια καὶ αὐτοὶ ἐπῆγαν εἰς τὸν δρόμον των, καὶ μὲ μεγάλον κίνδυνον τῆς ζωῆς των ἠδυνήθησαν νὰ φθάσουν εἰς τὴν Βολισσόν. Φθάσαντες δὲ ἐκεῖ, ἀνήγγειλαν τὸ γεγονὸς εἰς τὸν ἄνδρα τῆς γυναικός, καὶ αὐτὸς ἀκούσας τοῦτο, ἐδόθη εἰς θερμὴν δέησιν πρὸς τὴν Ἁγίαν Μαρκέλλαν, παρακαλῶν αὐτὴν ὅπως κοντὰ εἰς τὰ ἄλλα της θαύματα, νὰ κάμῃ καὶ τοῦτο νὰ τὴν λυτρώσῃ ἀπὸ τὸν θάνατον. Καὶ ταῦτα μὲν παρεκάλει καὶ ἐζήτει ἐκεῖνος ἀπὸ τὴν Ἁγίαν· ἡ δὲ θαυματουργὸς καὶ συμπαθὴς Μαρκέλλα ἐπήκουσε τῆς θερμῆς αὐτοῦ δεήσεως· ὅθεν φαίνεται εἰς τὴν γυναῖκα καὶ πιάνουσα αὐτὴν ἀπὸ τὸ χέρι, τῆς ἐφάνη πῶς τὴν ἔβαλεν εἰς τὴν γωνίαν τοῦ κελλίου, ὅπου ἦτον φάτνη· ἔπειτα ἐφάνη πῶς τῆς ἔδωκεν ἕνα δοχεῖον μὲ νερὸν καὶ ἔπιεν· ἐπειδὴ δὲ ἡ χιὼν ἐπεκράτει, δὲν ἠμπόρεσαν νὰ ὑπάγουν κἂν νὰ τὴν θάψουν καθὼς ἐνόμιζον ὅτι ἦτον ἀποθαμένη, μετὰ δὲ ἐννέα ἡμέρας μεταβάντες νὰ τὴν ἐνταφιάσουν, τὴν εὗρον ὑγιᾶ καὶ καλῶς ἔχουσαν καὶ δυναμωμένην ἀπὸ τὸ νερόν, ὁποῦ ἐν ἐκστάσει τὴν ἔπιτιωεν ἡ Ἁγία

διηγεῖτο δὲ ἡ γυναῖκα ὅσα εἶδε καὶ ἤκουσεν ἀπὸ τὴν Ἁγίαν, εἰς δόξαν Θεοῦ καὶ εἰς εὐχαριστίαν τῆς Μάρτυρος. Κάποιος ἄλλος εἶχε παιδίον τυφλόν, καὶ πηγαίνει αὐτὸ εἰς τὸ Μαρτύριον τῆς Ἁγίας, τὸ ἔπλυνε μὲ τὸ ἁγίασμα καὶ ἐπικαλεσάμενος τὴν χάριν αὐτῆς, ἔτυχε τοῦ ποθουμένου· ἀνέβλεψε δηλαδὴ τὸ παιδίον του, καὶ εἰς τὸ ἑξῆς βλέπει καθαρὰ ὡς καὶ πρότερον.

Ἄλλος τις εἶχε τὰ πόδια του κρατημένα, καὶ δὲν ἠδύνατο νὰ περιπατήσῃ, καὶ πηγαίνων εἰς τὸν Ναὸν τῆς Ἁγίας μὲ πίστιν, ἐζήτησε καὶ ἐτέλεσαν τὴν θείαν Λειτουργίαν διὰ τὴν ὑγείαν του, καί, ὦ τοῦ θαύματος! πίπτων εἰς τὰ Ἅγια, ἐν καιρῷ τῆς Μεγάλης Εἰσόδου, ἐσηκώθη παρευθὺς ὅλος ὑγιής, δοξάζων τὸν Θεόν, καὶ τὴν αὐτοῦ Παρθενομάρτυρα Μαρκέλλαν.

Γυνή τις ἀπὸ τὴν ἀντικρὺ νῆσον, τὴν ἐπιλεγομένην Ψαρά, εἶχε πάθος δεινὸν μέσα εἰς τὸ στόμα, καὶ δὲν ἠδύνατο ἡ ἀθλία οὔτε νὰ φάγῃ, οὔτε νὰ πίῃ, ἀλλὰ καὶ εἰς ὁμιλίαν μεγάλην δυσκολίαν τῆς ἔφερνε τὸ πόνεμα· ὅθεν ἐδόθη εἰς ἐπίσκεψιν τῶν ἰατρῶν διὰ νὰ λάβῃ τὴν θεραπείαν τοῦ πάθους· πλὴν ὁ καιρὸς περνᾷ, καὶ ἰατρείας σημεῖον δὲν φαίνεται παντελῶς εἰς τὸ πάθος, ἀλλὰ ἀπὸ ἡμέρας εἰς ἡμέραν χειρότερον γίνεται, καὶ κίνδυνον μέγαν φοβερίζει τῆς ἀθλίας γυναικός. Λυπεῖται αὐτὴ διὰ τοῦτο, κλαίει, ἀναστενάζει, κατατρώγεται, καὶ καταφθείρεται ἀπὸ τοὺς πόνους, ἀλλὰ τί νὰ κάμῃ δὲν ἠξεύρει. Εἰς τοὺς ψιπ' 1770 ἡτοιμάσθησαν γυναῖκες τινὲς ἀπὸ τὴν αὐτὴν νῆσον, νὰ ἔλθουν εἰς προσκύνησιν τῆς Ἁγίας Μαρκέλλης, μία δὲ ἀπὸ τὴν συνοδίαν ἐκείνην, ὑπάγει καὶ λέγει πρὸς αὐτήν, ὅπου εἶχε τὸ ἀνίατον πάθος, «ἐγώ, καὶ ἡ δεῖνα, καὶ ἄλλαις ἀπεφασίσαμεν νὰ ὑπάγωμεν εἰς τὴν Χίον, εἰς προσκύνησιν τῆς Ἁγίας Μορκέλλης, δὲν ἔρχεσαι καὶ ἐσύ, μήπως καὶ σὲ ἐλεήσῃ καὶ θεραπεύσῃ τὸ πάθος σου;» Ἐδέχθη τὸν λόγον ἡ πάσχουσα, καὶ ἐλθοῦσα μεθ' εὐλαβείας καὶ πίστεως ἀδιστάκτου εἰς τὸν Ναὸν τῆς Ἁγίας ὁμοῦ μὲ τὰς ἄλλας γυναῖκας, ἐλειτουργήθησαν ἐκεῖ, καὶ μετὰ τὴν Λειτουργίαν ἐπῆγαν μετὰ τοῦ ἐφημερίου εἰς τὸ ἰαματικὸν ὕδωρ καὶ ἔψαλον ἁγιασμόν, καὶ μετὰ τὴν ἀπόλυσιν ἐνίφθησαν καὶ ἔπιον ἐξ αὐτοῦ, καὶ παρ' εὐθύς, ὦ τοῦ θαύματος! ὦ τῆς μαρτυρικῆς σου χάριτος, καλλιπάρθενε, καὶ καλλιμάρτυς τοῦ Χριστοῦ Μαρκέλλα! παρευθύς, λέγω, ἰατρεύθη τὸ πάθος τῆς ἀσθενοῦς γυναικός, καὶ ἐλάλησεν ἀνεμπόδιστα, καὶ μετὰ ταῦτα ἔφαγε καὶ ἔπιεν ἐλεύθερα, χωρὶς πόνους, καὶ ἔμεινεν εἰς τὸ ἑξῆς εἰς αὐτὴν τὴν καλὴν κατάστασιν τῆς ὑγείας της· καὶ οὕτω τεθεραπευμένη καὶ ἐλευθερωμένη παντελῶς ἀπὸ τὸ πάθος της, ἐδόξαζε τὸν Θεόν, καὶ τῆς Παρθενομάρτυρος Μαρκέλλης τὴν ἰαματικὴν χάριν ἐκήρυττε.

Κάποιος ἄνθρωπος ἀπὸ τὴν Βολισσὸν εἶχε πρισμένους τοὺς πόδας τρεῖς ὁλοκλήρους χρόνους, καὶ εἰς ὅλον αὐτὸ τὸ διάστημα τοῦ καιροῦ δὲν ἔπαυσεν ἀπὸ τὸ νὰ μεταχειρίζεται διάφορα ἰατρικά, καὶ πολλὰ ἐξωδεύθη, πλὴν ὄχι μόνον καμμίαν θεραπείαν δὲν ἔλαβεν, ἀλλὰ καὶ εἰς τὸ χειρότερον ἐπήγαινε. Λοιπὸν εἰς τοὺς ᾳψπε' 1785 χρόνους, ὢν ἀποφασισμένος εἰς θάνατον καὶ ἀπηλπισμένος ἀπὸ κάθε ἀνθρωπίνην βοήθειαν, ἔρριψε μετὰ πίστεως τὴν ἐλπίδα του ὅλην εἰς τὴν ἁγίαν Μαρκέλλαν, καὶ ἐπειδὴ ἀλλέως ἦτον ἀδύνατον νὰ ὑπάγῃ εἰς τὸν Ναὸν καὶ εἰς τὸ ἁγίασμά της τὸν ἐσήκωσαν οἱ ἄνθρωποι, καὶ οὕτω βαστακτὸν τὸν ἐπῆγαν ἐκεῖ, καὶ τελεσθείσης τῆς θείας μυσταγωγίας, τὸν ἐπῆγαν πάλιν βαστακτὸν εἰς τὸ ἁγίασμα, καὶ νιψάμενος μὲ αὐτὸ ἔλαβε τὴν ὑγείαν του.

Μία γυναῖκα εἶχε τὰ πόδια της ἀπὸ τὴν μέσην καὶ κάτω παραλελυμένα καὶ ξηρά· ἐπάσχισε πολὺ νὰ τὰ θεραπεύσῃ μὲ ἰατρικά, ἀλλὰ δὲν ἐπέτυχε τοῦ ποθουμένου· ἀφοῦ δὲ ἀπηλπίσθη τελείως ἀπὸ ἀνθρωπίνην βοήθειαν, τότε ἐνθυμήθη καὶ τὴν Ἁγίαν Μαρκέλλαν. Λοιπὸν ἐζήτησε νὰ τῆς φέρουν ἀπὸ τὸ ὀγίασμά της, καὶ τὴν νύκτα ἐκείνην φαίνεται εἰς τὸν ὕπνον της ἡ Ἁγία καὶ τῆς λέγει: «Μὴ λυπεῖσαι· ἐγὼ νὰ σοὶ στείλω τὴν ἰατρείαν σου». Τὴν ἀκόλουθον ἡμέραν τῆς ἔφεραν τὸ ἁγίασμα καὶ νίψασα μὲ αὐτὸ τοὺς πόδας της, ὦ τοῦ θαύματος! εἶδε τὴν θεραπείαν αὐτῶν μὲ τὴν χάριν τῆς Ἁγίας, ἧς ταῖς πρεσβείαις, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὁ Θεός, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν

Πόθῳ ἅπαντες, γεραίρομεν τὴν μνήμην σου, **Μαρκέλλα πάνσεμνε**, ὅτι ἀντέστης πατρὶ, τῷ μίξιν ἀθέμιτον ἀφρόνως θέλοντι, ὅθεν ψάλλομεν, εὐλογητὸς εἶ **Κύριε, Θεὸς εἰς τοὺς αἰῶνας.**

Ῥωμαλαίαν, τὴν διάνοιαν ἐκέκτητο παρὰ τοῦ πλάσαντος, τὸν οὐρανὸν καὶ τὴν γῆν, **Μαρκέλλα** ἡ πάντιμος, ὅθεν νενίκηκε, τὸν ἀντίπαλον καὶ συγχορεύει χαίρουσα, τοῖς **Ἀγγέλοις** εἰς αἰῶνας.

Σῶμα ἔλιπες, **Μαρκέλλα παμμακάριστε**, καὶ ἀνελήλυθας, εἰς οὐρανίους σκηνάς, ἐν αἷς πάντες δίκαιοι χαίρουσι ψάλλοντες, ὑπερύμνητε, ὁ τῶν πατέρων **Κύριος** καὶ **Θεὸς** εὐλογητὸς εἶ.

Θεοτοκίον.

Π' **Βασίλισσα**, τοῦ **Κόσμου** ἡ κυήσασα, τὸν **Βασιλέα Χριστόν**, ῥῦσαι φθορᾶς καὶ σεισμοῦ, ἐθνῶν ἐπηρείας τε, τοὺς πίστει ψάλλοντας, ὑπερύμνητε, εὐλογημένος **Πάναγνε**, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Κατοβασία. Ἀβραμιαῖοι ποτε ἐν Βαβυλῶνι παῖδες.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Μέτρωσαι **Μαρκέλλα Ἀθληφόρε**, τῷ πόθῳ τῷ τοῦ **Δεσπότου** σου καὶ ἔρωτι, ὅθεν τῷ γεννήτορι, ἔλεγες πανεύφημε, τὴν τοῦ **Κυρίου** ἐντολήν, οὐ παραβαίνω ποτέ, ὑπάρχω γάρ, οἰκέτις ἐκείνου, ὅνπερ ἀνυμνοῦσι, χοροὶ πάντες ἀγγέλων.

Ὕμνους καὶ δεήσεις τῇ **Μαρκέλλῃ**, προσάξωμεν μετὰ πόθου ταύτῃ κράζοντες, σῶσον ἡμᾶς ἅπαντας, **Μάρτυς** πολυύμνητε, δοξάζοντας τὴν μνήμην σου, ἀεισέβαστον, ὑπάρχομεν γὰρ πάντες σοὶ δοῦλοι, οἱ περιεστῶτες ἐν τῷ σεπτῷ **Ναῷ** σου.

Φωτεινὸν ἀνάκτορον **Χριστοῦ** σύ, ἐγένου τῶν **Ἀθλοφόρων** ἐγκαλλώπισμα λέθριος τῆς ἀθλήσεως, ἐν ᾧπερ κατῴκησεν, ὁ τῶν ἁπάντων **Κύριος**, ὅνπερ ἠγάπησας, ἐκ βρέφους ὡς νυμφίον **Μαρκέλλα**, ᾧ νῦν ἐνωθεῖσα, συγχαίρεις εἰς αἰῶνας.

Θεοτοκίον.

Πολλαῖς προσβολαῖς ἁμαρτημάτων κλονούμενοι, σοῦ πρὸς τὴν ἀκλόνητον σκέπην καταφεύγομεν, στήριξον τοὺς δούλους σου, κατὰ παθῶν ἐνίσχυσον, καὶ ἐκ σεισμοῦ καὶ λοιμοῦ, ἐθνῶν ἐπιδρομῆς τε **Παρθένε**, τοὺς σὲ ἀνυμνοῦντας ὡς ὄντως **Θεοτόκον**.

Καταβασία. Οἱ ἐν Βαβυλῶνι παῖδες

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ὕλόην τῆς ζωῆς, ζητοῦσα πανύμνητε τὸν ἐπουράνιον, βίον τὸν ἐπίκηρον οὐδὲν ἡγήσω, ὅθεν ἐνήθλησας, τῇ κραταιᾷ τοῦ κτίστου σου, δυνάμει πάνσεμνε, ὃν νῦν βλέπεις, πρόσωπον, ὦ **Μαρκέλλα Χριστοῦ** δούλη πάνσεμνε.

Ψάλλων ὁ **Δαυίδ**, **Προφήτης** ἐν πνεύματι, ὦ παμμακάριστε, θυγατέρα λέγει σε, τὸ κατ' εἰκόνα **Θεοῦ** τηρήσασαν, **Μαρκέλλα** καὶ ὁμοίωσιν, ὃν νῦν δυσώπησον, τοῦ ῥυσθῆναι, ἡμᾶς τῆς κολάσεως. ταῖς ἐνθέοις λιταῖς σου, πανεύφημε.

Ὡραία **Χριστοῦ**, νύμφη ἀναδέδειξαι, τῷ τῆς ἀθλήσεως, αἵματι τιμίῳ σου, ᾧ ἐρραντίσθης **Μαρκέλλα** πάνσεμνε, δι' ὅπερ εἰς σκηνώματα τοῦ σοῦ νυμφίου **Χριστοῦ**, ἀνηνέχθης ἐντρυφῶσα τέρψεως, καὶ ἐκείνου ὡς **Μάρτυς** καλλίνικος.

Θεοτοκίον.

Φώτισον ἀγνή, ψυχῆς μου τὰ ὄμματα, παῦσον τὸν κλύδωνα, τὸν ἐπιγινόμενον, ἐκ τῆς δαιμόνων παρενοχλήσεως, καὶ εἰς ὁδὸν κατεύθυνον, τῶν θελημάτων **Χριστοῦ**, τοῦ υἱός μου, **Πάναγνε** τὴν ζόφωσιν, ὅπως πίστει ἀεὶ μακαρίζω σε.

Καταβασία. Ὁ τόκος σου ἄφθορος ἐδείχθη.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τ' νῆσος **Χίος** τέρπεται, παλαίσμασι τῆς **Μάρτυρος**, καὶ πανευφήμου **Μαρκέλλης**, ἣν περ **Χριστὸς** κατεστέφει, σὺν τοῖς προδιαλάμψασι, τρισὶν **Ἁγίοις** πρότερον, **Ἰσιδώρῳ** τῷ **Μάρτυρι**, **Μυρόπῃ** τῇ **Ἀθληφόρῳ** καὶ τῇ **Θαΐδι Ματρώνῃ**

Ῥωσθεῖσα τῇ τοῦ **Πνεύματος**, ἰσχύϊ τάχος ἔφυγες, πατρὸς τοῦ σοῦ τὴν μανίαν, **Μαρκέλλα δούλη Κυρίου**, ἐν θαλασσίοις ὕδασιν, ἐν οἷς τὴν κάραν τέτμησαι· δι' ὅπερ καὶ ἀνέδραμες, εἰς οὐρανίους θαλάμους, ὑπὲρ ἡμῶν δυσωποῦσα.

ΨΗΦΙΑΚΟ ΑΡΧΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΚΑΡΑΒΙΑΣ ΑΝΤΩΡΗΣ ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ

Θεοτοκίον· Μαρία καθαρώτατον.

Εἰς τοὺς Αἴνους, ἰστῶμεν Στιχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ἦφεις τὸν αὐχένα σου σεμνή, ἔτεμε τοκεὺς καὶ γεννήτωρ, ὁ σὸς καὶ ἐδραμες, Μάρτυς εἰς μητρόπολιν τῶν πρωτοτόκων χαρᾷ, καὶ τὰ κάλλη ἐμβλέπεις νῦν, Τριάδος τῆς θείας, ἥνπερ δυσωποῦμέν σε, ἐκλιπαρεῖν ἐκτενῶς, ἵνα σοὺς ἱκέτας λυτρώσῃ, τῆς φρικτῆς ἐκείνης. Μαρκέλλα, καὶ αἰωνιζούσης κατακρίσεως. (Δίς).

Ἔτι τῆς θαλάσσης οἱ ἀφροί, ἐρυθροί, ὦ θαῦμα! ὁρῶνται, Μαρκέλλα πάνσεμνε, ἔνθα σου τὸ πάντιμον, αἷμα ἐκκέχυται. οἷς πιστῶς οἱ χριόμενοι, παθῶν ἐκλυτροῦνται, διὰ τῆς σῆς χάριτος, ἀνευφημοῦντές σε, ὡς Χριστοῦ ἀκήρατον νύμφην, τοῦ σὲ ἐνεργείαις θαυμάτων, ἔνδοξον τοῖς πᾶσιν ἀναδείξαντος.

Θῦμα τῷ Δεσπότῃ σου Χριστῷ, ἦχθης ὦ Μαρκέλλα, εὐῶδες, καὶ παναμώμητον, πάντας ὅθεν εὔφρανας τοὺς οὐρανίους ἀρχάς, καὶ μακάρων ἀοίδιμε, ψυχάς, δι' ὧ πάντες, πρέσβυν πρὸς τὸν Κύριον, πιστοὶ προβάλλομεν σῶσον ἐκβοῶντες κινδύνων καὶ παντοδαπῶν ἐναντίων. Μάρτυς τοῦ Χριστοῦ τοὺς ἀνυμνοῦντάς σε.

Δόξα, ἦχος δ΄.

Τὴν τετράχορδον λύραν τῆς φιλοχριστου Χίου, τῶν φιλεόρτων τὸ σύστημα εὐφημήσωμεν, Ἰσίδωρον τὸν Ἀθλητήν, σὺν τῇ συνάθλῳ Μυρόπῃ καὶ Ματρώνῃ, τῇ ἱερωτάτῃ ὁσίᾳ, μετὰ Μαρκέλλης τῆς παρθενομάρτυρος, ἧς τὴν θείαν μνήμην ἐπιτελοῦμεν σήμερον· θείῳ γὰρ πόθῳ πυρποληθεῖσα, τῷ ἀντάρτῃ ἀντέστη, ὥσπερ ἀσώματος ἡ ἀοίδιμος καὶ τὰς ἐκείνου μηχανάς, ὡς ἰστὸν ἀράχνης, πανσόφως διέλυσε· διὰ γὰρ Χριστὸν, τὸν Νυμφίον αὐτῆς, τῆς οἰκείας ζωῆς μὴ φεισαμένη, ἀνδρειοφρόνως σφαγὴν πυρὰ πατρὸς ἀκολάστου ἐδέξατο· ὅθεν τῇ ἑαυτῆς πατρίδι προστάτις γενέσθαι, σὺν τοῖς λοιποῖς Ἁγίοις, τοῖς ἐν αὐτῇ διαπρέψασι κατηξίωται, μεθ' ὧν πρεσβεύει πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τυπικὰ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας Φωτ γ΄. καὶ σ΄. Ὁ Ἀπόστολος πρὸς Γαλάτας. Ἀδελφοὶ πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μᾶρκον. Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς.

Μεγαλυνάρια.

Χαίροις Νύμφη ἄσπιλε τοῦ Χριστοῦ, ἔνδοξε Μαρκέλλα καλλιμάρτυς νεοφανής, βλάστημα τῆς Χίου, καὶ Δόξα καὶ προστάτις, πάντων παθῶν ἀπαλλαξον τοὺς τιμῶντάς σε.

Πορφυρᾶν ἐξ αἵματος τὴν στολήν, ὡς περικειμένη, καὶ τὸ στέφος ἐν κορυφῇ, ἔχουσα τὸ θεῖον, καὶ τὴν τῆς παρθενίας, λευκοφαῆ λαμπάδα, κρατοῦσα γέγηθας.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ ΚΑΙ ΤΕΧΝΟΛΟΓΙΑΣ
ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ
ΕΠΙΤΡΟΠΟΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

ΘΕΟΦΙΛΟΥ

ΠΟΙΗΜΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ

Τῇ 24 Ἰουλίου ἑορτάζομεν τὴν μνήμην καὶ τὴν ἄθλησιν τοῦ ἁγίου Μάρτυρος ΘΕΟΦΙΛΟΥ καταγομένου ἐκ Ζακύνθου καὶ ἀθλήσαντος ἐν Χίῳ, ἐν ἔτει 1635.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἰστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τοῦ Μηναίου καὶ τὰ παρόντα προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθείς.

Ὡς ἱερεῖον σαυτὸν καὶ θῦμα θεῖον, ἔνδοξε Θεόφιλε, θεῷ προσήγαγες καταφλεχθεὶς γενναιότατε, πυρὶ ἐνύλῳ, καὶ ὁλοκαύτωμα εὐαπόδεκτον, ἐγένου μακάριε τοῦ θείου ἔρωτος, τὴν σὴν ψυχὴν ἀναφλέξαντος, καὶ τὴν καρδίαν, ἐνθέως μάκαρ, δι' ὃ ὑμνοῦμέν σε, ὡς Θεοῦ φίλον γνησιώτατον, ὡς κλεινὸν ἀθλητὴν καὶ περίδοξον, ὡς λαμπρὸν ἀριστέα, καὶ στρατιώτην ὡς ἀήττητον (Δίς).

Κλέος Μαρτύρων καὶ καύχημα καὶ δόξα, ἐδείχθης λαμπρότατε Μάρτυς Θεόφιλε, ἀκαταπλήκτῳ φρονήματι, ψυχῇ γενναίᾳ, καὶ διαπύρῳ γλώττῃ παναθύμαστε. κηρύξας Σωτῆρά τε καὶ πάντων Κύριον, Χριστὸν τὸν μόνον φιλάνθρωπον, τὸν ἐπ' ἐσχάτων, ἐκ τῆς παρθένου σάρκα γενόμενον, ἐπὶ τὸ σῶσαι τὸ ἀνθρώπινον, πρὸ βημάτων ἀνόμων θεόσοφε, μὴ τὸ σύνολον πτήξας, τῶν βασάνων τὴν δριμύτητα.

Πῶν ἐτησίως τελούντων σου τὴν μνήμην, μέμνησο Θεόφιλε, καὶ εὐφημούντων σου, τοὺς τῆς ἀθλήσεως ἔνδοξε, λαμπρούς ἀγῶνας, πικρὰς αἰκίας, ἐν ξύφῳ κάθειρξιν, δεσμά τε καὶ θάνατον τὸν βιαιότατον, ὃν ἐν φλογὶ καρτερόψυχε, πυρὸς ὑπέστης, καὶ θῦμα θεῖον Θεῷ προσήνεξαι, καὶ τῇ Τριάδι ἄρτος γέγονας, ὡς ἠδὺς ὀπτηθεὶς παναοίδιμε, ἣν ἱκέτευε σῶσαι καὶ φωτίσας τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος πλ. β΄. Κορεσίου.

Ζακύνθιον σέλας, ἀξιάγαστε Θεόφιλε, τῆς τοῦ Κυρίου σημαίας ὁπαδὲ γνησιώτατε, καὶ ἀναιρέτα τῶν τῶν Ἀγαρηνῶν λήρων, καὶ τῆς πλάνης στηλιτευτὰ θεόσοφε· χαίροις τὸ τῶν ὁρέων στερρόν, ἐφ' οὗ ὁ οἶκος τοῦ Θεοῦ ᾠκοδόμηται, ὡς ἔφη ὁ ψαλμῳδός· χαίροις θαλερὲ βλαστὲ τοῦ ἀγλαοκάρπου τῆς εὐσεβείας δένδρου, τῇ ἐκμάδι τοῦ πνεύματος κάτοχε, καὶ τοῖς αἵμασι τοῦ Κυρίου πεπαινόμενε· χαίροις ἀκηλίδωτον ἔσοπτρον, τὸ ἀμιγὲς μὲν τῶν κατω χαρακτήρων, τῶν δὲ ἄνω ἔμπλεων· πρέσβευε οὖν ὑπὲρ ἡμῶν, ὅπως καλῶς τῇ εὐσεβείᾳ προσαρμοσθῶμεν, τῇ μεσιτείᾳ Θεόφιλε.

Καὶ νῦν. Τὶς μὴ μακαρίσει σε. Καὶ τὰ Ἀναγνώσματα, ζήτει εἰς τὰς 14 Μαΐου τοῦ Ἁγίου Ἰσιδώρου, ἢ τοῦ Ἁγ. Πολυδώρου, σελ. 13.

Εἰς τὴν Αἰτήν. Ἦχος α'. Νικηφόρου.

Πῷ ζήλῳ τῆς εὐσεβείας ὅλος πυρποληθείς, καὶ τῷ ἀΰλῳ πυρὶ τῆς τοῦ Χριστοῦ ἀγάπης ἀναφλεχθείς, Θεόφιλε μακάριε, σώματος ἠλόγησας, καὶ ζωῆς τῆς προσκαίρου οὐκ ἐφείσω, ἀλλὰ τυράννων ὠμότητα προῦδωκας, καὶ βασάνους παντοίας ὑπενεγκών, εἱρκτὴν ζοφεράν, αἰκισμούς τε ἀνυπόστατους, καὶ τελευταῖον τὸν διὰ πυρὸς ἀοίδιμον θάνατον, ζωῆς αἰωνίου καὶ δόξης ἀνεκφράστου τετύχηκας· καὶ νῦν τῷ θείῳ θρόνῳ παριστάμενος, καὶ ταῖς ἐκεῖθεν πανολβίοις ἐλλαμπόμενος ἀστραπαῖς, πρέσβευε φωτισθῆναι καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, τοῦ αὐτοῦ. Ἦχος πλ. α'.

Πῦρ τὸ νοητὸν τῆς θείας ἀγάπης, ὃ ὁ Κύριος ἦλθε βαλεῖν ἐπὶ γῆς, ἔχων ἐν καρδίᾳ Θεόφιλε, πυρὸς ἐνύλου κατεφρόνησας πανθυμάστε· δι' ὃ καὶ τῶν σαρκῶν τεκμένων σου ἐν αὐτῷ, ὁσμαῖς ἀρρήτοις, ὁ δοξάζων τοὺς αὐτοὺς ἀντιδοξάζοντας Χριστός σε ἐδόξασεν, εὐωδίᾳ αὐτοῦ κατὰ Παῦλον γενόμενον, καὶ στέφει ἀφθαρσίας ἐν οὐρανῷ κατεκόσμησεν· ὧν ἱκετεύων μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἐν ὠδαῖς ἀνυμνούντων τοὺς ἄθλους σου, καὶ ἐν πίστει ἀσπαζομένων τὸ θεῖόν σου Λείψανον· ἔχεις γὰρ τὸ ἀπαράγραπτον εἰς τὸ πρεσβεύειν, ὡς Θεόφιλος ὄντως, καὶ Θεῷ πεφιλημένος. Μάρτυς ἀξιύμνητε.

Καὶ νῦν. Μακαρίζομέν σε.

Εἰς τὸν Στίχ. Κορεσσίου. Ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Δεῦτε φιλομάρτυρες, πνευματικῶς εὐφημήσωμεν, ἑορτὴν πανοσίδιμον, τοῦ γενναίου Μάρτυρος, ὄντως Θεοφίλου, ὕμνοις θεοφίλοις, καταφλεχθέντος τῷ πυρί, διὰ τὴν φλόγα τοῦ θείου ἔρωτος, ὃν περ καὶ ἱκετεύσωμεν, ἡμῖν τὸ θεῖον ἐνάψασθαι, τῆς Χριστοῦ ἀγαπήσεως, πῦρ καὶ φλόγα τὴν ἄϋλον.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὁπότε Θεόφιλος, ὡς τὸ ἀρνίον τὸ ἄκακον, ἀπεινῶς περιείλκετο, ἡ δίκη ὑπόδικος, ὑπ' ἀγρίων λύκων, δηκτικῶν ἀνόμων, ὡς σκύμνος ἦν κατὰ ψυχήν, τοὺς ἀντιθέους μὲν δεδιττόμενος, πυρὶ γὰρ ὑπελάμβανεν, ὥσπερ χρυσὸς βασανίζεσθαι, ταῖς ποιναῖς ἐνηδόμενος, ὁ στερρόφρων καὶ ἄκαμπτος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Ἠνίκα Θεόφιλος, εἱρκταῖς δεινῶς καθειργνύετο, ἀνηλίοις ὡς ἥλιος, αὐτὰς περιήστραπτε, τριλαμπεῖ ἡλίου, ἔχων λαμπηδόνας, δι' ὧν ὁ ζόφος φέρει φῶς, τοῖς τὴν καρδίαν κρύσταλλον ἔχουσιν· αἷς τὸ κατὰ διάμετρον, πρὸς τὸν ἀκήρατον ἥλιον, καὶ τοὺς ἄλλους ἐφαίδρυνεν, ὡς φωστὴρ διαυγέστατος.

Δόξα, ἦχος δ'.

Δεῦτε ἑορτάσωμεν λαοί, τὴν τοῦ Ἀθλοφόρου πανήγυριν, φύσει συσσαμετ' ἐγκωμίων, ὡς ἔφη ὁ Σολομών, καὶ χαρμονὴν λαῶν ἀκατάληκτον, τὴν ὡς ὁ μαγνήτης λίθος τὸν σίδηρον, τοὺς φιλεόρτους ἡμᾶς ἑφελκύσασαν σήμερον· οὐ πάλαις, οὐ δρόμοις, κατεπειγομένους τιμῆσαι αὐτήν, οὐδ' ἄλλοις σωματικοῖς γυμνάσμασιν, ὧν τύφος ὁ στέφανος, καὶ καπνὸς παρερχόμενος, ἀλλὰ τῇ τοῦ Μάρτυρος ἐνθέῳ μιμήσει, πρὸς τὰ τῷ Θεῷ φίλα τε καὶ εὐάρεστα, καὶ ἡμῶν σωτήρια· ἵνα τῇ προαιρέσει Μάρτυρες γενόμενοι, τῶν αὐτῶν ἐκείνῳ ἀξιωθῶμεν μισθῶν, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.

Ἀπολυτίκιον. Ἦχος δ'. Νικηφόρου.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα· ἐν τῇ φλογὶ τοῦ πυρός, ὥσπερ ἐν ὕδατι δροσιζόμενος, ὁ Ἅγιος Μάρτυς Θεόφιλος ἠγάλλετο, καὶ τὸν Χριστὸν μόνον Θεόν, διαπρυσίως ἐκήρυττεν· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα Ἦχος α'. Τὸν Τάφον σου Σωτήρ. Κορεσσίου.

Ἐφλέχθης τῷ πυρί, ὁ πυρίπνους Μαρτύρων, σωζόμενος πυρί, ὑπερφώτου Τριάδος, διό καὶ ἀμαρύγμασι, τούτου πάντας ἐφώτισας, μηδὲν τιθεσθαι, τὴν τοῦ πυρὸς μικρὰν φλόγα, κατοπτρίζοντας, τῆς φεγγοβόλου Τριάδος, τὸ φῶς τὸ ἀνέσπερον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Προστάτις ἐναργής, ἀνεδείχθης τῷ ὄντι, ἡμῶν τῶν ταπεινῶν, Παναμώμητε Κόρη, ὡς Μήτηρ χρηματίσασα, τοῦ Θεοῦ ὑπὲρ ἔννοιαν, ὦ παράδοξον καὶ ἀνερμήνευτον θαῦμα, βροτοῖς ἅπασι, καὶ τοῖς Ἀγγέλοις ὁμοίως, σιγῇ δὲ τιμώμενον.

Μετὰ τὴν β' στιχολογίαν, Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν γενναῖον ὁπλίτην καὶ Ἀθλητήν, ἐντελῶς ὁπλισθέντα ὅπλοις Χριστοῦ φέροντα τὴν ἄμαχον, πανοπλίαν καὶ μάχαιραν, τοῦ Παναγίου Πνεύματος, ἀσπίδα καὶ κόρυθα, οἷς καθεῖλεν ἀνδρείως, ἐχθροῦ μηχανήματα, δεῦτε ἐτησίως εὐφημήσωμεν πάντες, ἐστέφθη γὰρ τὸν στέφανον, στρατιώτης ὡς ἔννομος, καὶ πρεσβεύει τῷ στέψαντι, δοῦναι πᾶσι λύσιν τῶν δεινῶν, καὶ τελείαν πταισμάτων συγχώρησιν, τοῖς ἐκ καρδίας καὶ πόθου τελοῦσι τὴν μνήμην αὐτοῦ.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Μυριώνυμον ἅρμα τὸ τοῦ Δαβίδ, πορφυρόστρωτος κλίνη τοῦ Σολομών, τόμος θεοχάρακτος, Ἡσαΐου καὶ ἔμψυχος· σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχεις, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, Προφητῶν πάντων λάλημα· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς σεβομένοις ἐν πίστει τὸν ἄσπορον τόκον σου.

Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐλαμπρύνθη σήμερον, ἡ νῆσος Χίος, ταῖς αὐγαῖς τῶν ἄθλων σου, Μάρτυς Θεόφιλε σοφέ, τὸν φωτοδότην γεραίρουσα, τὸν σὲ ἀστέρα φαιδρὸν ἀναδείξαντα.

Δόξα. Καὶ νῦν Θεοτοκίον.

Ἐπληγώθην πάθεσιν, ἰάτρευσόν με· ἐν κακοῖς ἀπόλλυμαι, σῶσόν με Δέσποινα Ἁγνή, ἡ τὸν Σωτῆρα κυήσασα, καὶ ἰατῆρα τοῦ Κόσμου Θεόνυμφε.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἦχου. Προκείμενον ἦχος δ'. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει τοῦ Ἁγίου Δημητρίου, τῇ κς'. τοῦ Ὀκτωβρίου. Ὁ Ν'. Δόξα, Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν, Ταῖς τοῖς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός· καὶ τὸ ἰδιόμελον.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΣΕΩΝ ΕΥΑΓΓΕΛΙΣΤΡΙΑΣ ΠΑΠΑΓΡΑΦΟΣ

Ἦχος πλ. δ'.

Σήμερον ἡ προπαιτοῦχος ἑορτὴ τοῦ Ἀθλητοῦ Θεοφίλου, ἡμᾶς συνήγαγεν· ὅπως διεγείρῃ πρὸς ἄθλους κατὰ τῶν ἀκαθάρτων δυνάμεων· καὶ ἀραμένους κατ' ἐκείνων τρόπαια νίκης, ἀξιώσῃ τῆς βασιλείας τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Οἱ Κανόνες τῆς Θεοτόκου εἰς ς'. Εἶτα τοῦ Μηναίου, καὶ τοῦ Μάρτυρος. Ποίημα Νικηφόρου.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Νοός μου τὴν σκότωσιν, ταῖς σαῖς πρεσβείαις πρὸς Κύριον, ὡς Μάρτυς λαμπρότατος, μάκαρ Θεόφιλε, νῦν καταύγασον, τοῦ ἄσαι ἐπαξίως, τὴν μνήμην τὴν πάντιμον τῆς σῆς ἀθλήσεως.

Ἐσχύϊ Θεόφιλε, παντοδυνάμῳ ρωννύμενος, Χριστοῦ καταβέβληκας ἐχθρῶν τὴν δύναμιν, αἰσθητῶν ὁμοῦ, καὶ νοητῶν γενναίως, δι' ὃ σοῦ γεραίρομεν τοὺς ἄθλους σήμερον.

Κυκλοῦντες τιμῶμέν σου, τὸ πανσεβάσμιον λείψανον, Θεόφιλε ἔνδοξε, καὶ μετὰ πίστεως, ἀσπαζόμενοι, τοῦ πνεύματος τὴν χάριν, ἀφθόνως λαμβάνομεν οἱ σοὶ θεράποντες.

Θεοτοκίον.

Πᾶ' Χίος ἡγίασται καὶ μεμακάρισται Ἅγιε, ἐν ᾗ ὑπὲρ πίστεως, στερρῶς ἐνήθλησας, καὶ ἐκήρυξας τὸν ἐκ Παρθένου Κόρης, τεχθέντα Θεόφιλε, Θεὸν παντέλειον.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Φαιδρῶς σου τὴν μνήμην ἐκτελοῦμεν, Θεόφιλε νέε Ἀθλητά, καὶ τοὺς λαμπροὺς ὑμνοῦμέν σου ἀγῶνας καὶ τὰ τρόπαια, ἃ κατ' ἐχθρῶν ἀνήγειρας, τῇ συνεργείᾳ τοῦ Πνεύματος.

Ὁδὸς μαρτυρίου διανύσας, κατέλαβες νῦν τὰ νοητά, ἐν οὐρανῷ σκηνώματα, καὶ χαίρων παναοίδιμε, ἐν τούτοις συνεσκήνωσα, Μαρτύρων δήμοις Θεόφιλε.

Ῥιφεὶς ἐν φλογὶ τῇ βορωτάτῃ, Θεόφιλε πόθῳ τοῦ Χριστοῦ, καὶ τέλος τὸ μακάριον, δεξάμενος ἀπείληφας, τὸ στέφος τῆς ἀθλήσεως, ἐν οὐρανῷ παμμακάριστε.

Θεοτοκίον.

Ὁ Λόγος Θεοῦ ἐκ τοῦ Παρθένε, βροτείαν ἀνείληφε μορφήν, οὐ Μάρτυς ἀπαράτρωτος, τῶν δύο πέλει φύσεων, ὁ ἔνδοξος Θεόφιλος, ὁ ἐκ Ζακύνθου ὁρμώμενος.

Κάθισμα Ἦχος γ'. Θείας πίστεως.

Φλόγα ἄϋλον θείας ἀγάπης, ἐν καρδίᾳ σου ἔχων, τρισμάκαρ, Ἀθλοφόρε Κυρίου Θεόφιλε. φλογὸς ἑύλου τὴν καῦσιν ὑπήνεγκας, καὶ ἐν αὐτῇ φλογιζόμενος ἔκραζες· νῦν τὸ πνεῦμά μου χερσὶ παραδίδωμι, ταῖς σαῖς, Χριστέ, τῶν Μαρτύρων τὸ κραταίωμα.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιστον, πῶς συνεσχέθη, ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν, τῆς θεϊκῆς καὶ ἀτρέπτου θεότητος, Κόρη Πάναγνε, δι' ὃ Θεοτόκον σε πιστῶς κηρύττομεν, ἀεὶ καὶ δοξάζομεν.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ὑπὲρ τὰ ὁρώμενα πάντα τὸν νοῦν, ὑψωσας θεόφρον Θεόφιλε, δι' ὃ οὐδέν σε, τῆς ἀγάπης τοῦ Χριστοῦ, τῆς θείας ἀπεχώρισεν, οὐχ εἰρκτή, οὐ πῦρ, παναοίδιμε.

Ὄντως εὐ μακάριος, ὡς ὁ Δαβίδ, ἐνδοξε, προέφη ἐν πνεύματι, καὶ γὰρ οὐδόλως, ἐπορεύθης ἐν βουλῇ, τῶν ἀσεβῶν Θεοφιλε, οὐδ' ἁμαρτωλῶν τρίβους ὥδευσας.

Κλήσει τε καὶ πράγματι φίλος Θεοῦ, μάκαρ, ἐχρημάτισας γνήσιος, καὶ γὰρ προθύμως, τὴν ψυχήν ὑπὲρ αὐτοῦ, ἔθεσας παναοίδιμε, Μάρτυς ἀθλοφόρε Θεόφιλε.

Θεοτοκίον.

Σὲ τὴν ἀειπάρθενον καὶ ἀληθῆ, ὄντως Θεοτόκον ἐκήρυξεν, ἐν τῷ σταδίῳ, ὁ Θεόφιλος τρανῶς, καὶ ὑπὲρ σοῦ ἐνήθλησε, καὶ ζωοπυρίκαυστος γέγονε.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Πυρὸς κατεφρόνησας, ἐνύλου γενναιότατα, καὶ ὅλως οὐκ ἔπτηξας τὴν θέαν, αὐτοῦ στερρόφρων, Μάρτυς Χριστοῦ τοῦ Θεοῦ, περὶ θείου ἔρωτος σφοδρῶς, ἄϋλῳ φλεγόμενος, καὶ θανεῖν ἐφιέμενος.

Ἀνδρείαν ἀήττητον, ὑπὸ μονὴν ἀνένδοτον, ἀνεδείξας Μάρτυς ἐν βασάνοις, καὶ καρτερίαν ὑπερφυᾶ καὶ φρικτήν, φλεγόμενος Μάρτυς ἐν πυρὶ ἀνθ' ὧν ἀγαλλόμενος, τῷ Θεῷ νῦν παρίστασαι.

Ἐξέστησαν ἄνθρωποι, τηκόμενον ὁρῶντές σε, ἐν μέσῳ φλογὸς ἀνυποστάτου, καὶ τῶν Ἀγγέλων ἐν οὐρανῷ οἱ χοροί, ἐκρότουν Θεόφιλε τὴν σήν, ἄθλησιν γηθόμενοι, καὶ οἱ δαίμονες ἔφριττον.

Θεοτοκίον.

Ἰσχὺν καὶ ὀχύρωμα, σὲ ὁ κλεινὸς Θεόφιλος, ὡς ἔχων Παρθένε ἠγωνίσθη, κατὰ τῆς πλάνης Ἀγαρηνῶν τῆς δεινῆς, καὶ τρόπαια ἤρατο λαμπρά, κατ' αὐτῆς κηρύττων σε, Θεοτόκον πανάμωμον.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Ὅσιῆς ἀρρήτου Θεόφιλε, τὰ πέρατα παραδόξως ἐπλήρωσας, ὅτε καυθεὶς νος, Θεὸν Τρισμάκαρ ἐδόξασας, ὑφ' οὗ ἀντεδοξάσθης, ἐν θείοις θαύμασι.

Τὴν Θεοφίλου πανήγυριν, πιστοὶ θεοφιλῶς ἑορτάζοντες, αὐτὸν δοξάσωμεν, Θεὸν φιλῶν γὰρ ἐνέθλησε, τοῦ σώματος τὸ σύνολον μὴ φεισάμενος.

Φόβῳ καὶ πόθῳ προσέλθωμεν, καὶ χείλεσιν ἁγνοῖς ἀσπασώμεθα, τὸ θεῖον Λείψανον, τοῦ Θεοφίλου, αἰτούμενοι, παθῶν ψυχῆς καὶ σώματος τὰ ἰάματα.

Θεοτοκίον.

Ζωῆς Μητέρα γινώσκων σε, Παρθένε, ὁ θεόφρων Θεόφιλος, ζωῆς ἠλόγησε, τῆς ἐπικήρου τῷ πόθῳ σου, καὶ τοῦ ἐκ σοῦ ἀρρήτως ἐνανθρωπήσαντος.

Κοντάκιον. Ἦχος γ'. Ἡ παρθένος σήμερον.

Χριστοῦ δῆμος ἄσμασιν, ἀνευφημεῖ ἐπαξίως, τοὺς λαμπροὺς ἀγῶνάς σου, Μάρτυς Θεόφιλε θεῖε, ἠγεγκας καὶ γὰρ γενναίως εἰρκτὴν ζοφώδη, ἔφερας πικρὰς οἰκίας καὶ ἀνυπόστους, καὶ τὸν θάνατον ἐδέξω, πυρὸς ἐν μέσῳ, ὡς φίλος ὄντως Θεοῦ.

Ὁ Οἶκος.

Τῷ ἄϋλῳ περὶ τῆς τοῦ Χριστοῦ ἀγάπης πυρποληθεὶς τὴν ψυχήν, Θεόφιλε μακάριε, τοῦ ὑλικοῦ πυρὸς τὴν παφλάζουσαν φλόγα οὐκ ἔδεισας, ἀλλ' εἰσεπήδησας ἐν αὐτῇ χαίρων καὶ ἀγαλλόμενος καὶ τὸν θάνατον ἐν αὐτῇ δεξάμενος μετὰ πικρούς καὶ ἀνυποίστους αἰκισμούς, τὸ στέφος τῆς ἀφθαρσίας καὶ τὴν αἰωνίζουσαν εὔκλειαν ἤλειφας, ὡς φίλος ὄντως Θεοῦ.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΚΔΟΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΠΑΠΑΓΙΑΝΝΗΣ

ΤΩ ΑΥΤΩ ΜΗΝΙ 24 ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

ΘΕΟΦΙΛΟΥ(1)

Στίχοι : Φιλῶν τὸν Θεόν, Θεόφιλος; προθύμως
Πρὸς πῦρ δι' αὐτὸν κινεῖται θαρσαλέως.
Εἰκάδε πμρὶ θάνεν Θεόφιλος, ἡδέ τετάρτῃ.

